1. μουσικῶν P μωσικᾶς CμNΓ — ταῦτα δὲ P — 2. 3. περὶ γ. ἀδ. G_1 om. — 4. Πλ.] epin. 13 — τρισκαιδ.] βιβλίου add. Γ τρεῖς καὶ δ. H — 5. ὅνπερ CNΓ — 6. περισκοπεῖ om. H σκοπεῖ SNΓ — καὶ διορίζεται om. PCμ — 7. χρὴ] δεῖ PCμH — ὄντως om. PC — 8. τὰ G_2 ex το//// [τοὺς?] — προλεχθέντα καὶ διαβεβαιωθέντα SHNΓ, διαλεχθ. μ, προβ. C, πρὸς διαλ. καὶ διαβ. P — 11. ὁμολογίαν CμSHNΓ, Io. Phil. κε — μίαν om. H, εἶναι μίαν καὶ ἀναφ. μ — 13. ὁ λεγόμενος μ — τὰ πάντα SH ἅπαντα NΓ — 14. μανθάνῃ NΓ — τούτ. ἀπ. SHN τὸ τούτ. ἀπ. Γ — 15. ἄλλος mC — τὴν φιλ. NΓ — 17. ταῦτα///// τὰ G, ταῦτα γὰρ τὰ m — 20. τοῦτ. δὴ S — τὸν σοφ. H — 21. τε] ἅμα S — 22. ὅτι] ὡς H — τισιν ἢ SN ἢ καὶ Γ — ἐοίκασι NΓ

μαθήματα διαβιβάζοντα τὴν διάνοιαν ἡμῶν ἀπὸ τῶν αἰσθητῶν καὶ δοξαστῶν ἐπὶ τὰ νοητὰ καὶ ἐπιστημονικὰ καὶ ἀπὸ τῶν συντρόφων ἡμῖν καὶ ἐκ βρεφῶν ὄντων συνήθων ὑλικῶν καὶ σωματικῶν ἐπὶ τὰ ἀσυνήθη τε καὶ ἑτερόφυλα πρὸς τὰς αἰσθήσεις, τῇ δὲ ἀυλίᾳ καὶ ἀιδιότητι συγγενέστερα ταῖς ἡμετέραις ψυχαῖς καὶ πολὺ πρότερον τῷ ἐν αὐταῖς νοητικῷ.

7 καθὰ καὶ ὁ παρὰ Πλάτωνι ἐν τῇ πολιτείᾳ Σωκράτης τοῦ προςδιαλεγομένου αἰτίας τινὰς εὐλόγους ἐπιφέρειν δοκοῦντος τοῖς μαθήμασιν, ὡς εὔχρηστά εἰσι πρὸς τὸν ἀνθρώπινον βίον, ἡ μὲν ἀριθμητικὴ πρὸς λογισμοὺς καὶ διανομὰς καὶ συνειςφορὰς καὶ ἀμείψεις καὶ κοινωνίας, ἡ δὲ γεωμετρία πρὸς στρατοπεδεύσεις πόλεών τε καὶ ἱερῶν συγκτίσεις καὶ γεωμορίας, ἡ δὲ μουσικὴ πρὸς ἑορτὰς καὶ θυμηδίας καὶ θεῶν θρησκείας, σφαιρικὴ δὲ καὶ ἀστρονομία πρὸς γεωργίας τε καὶ ναυτιλίαν καὶ τὰς ἄλλας καταρχὰς τῶν πράξεων εὐχερείας καὶ ἐπιτηδειότητας προδηλοῦσα, P 7 ἐπιπλήττων φησίν· ὡς ἡδὺς εἶ, ὅτι ἔοικας δεδιέναι, μὴ ἄρα ἄχρηστα ταῦτα τὰ μαθήματα προςτάττοιμι· τὸ δέ ἐστι παγχάλεπον, μᾶλλον δὲ ἀδύνατον· ὄμμα γὰρ τῆς ψυχῆς ὑπὸ τῶν ἄλλων ἐπιτη-

---

1. ἡμῶν τὴν δ. S — 4. ὄντων] ἔτι SNΓ, ὄντ. ἔτι H — 5. τε] om. NΓ, μὲν CμS — 7. πρῶτον P — τῶν . . . νοητικῶν P, τῷ . . . νοητῷ NΓ — 8. Πλάτ. cf. polit. VII, 9, 10. — 10. τοῖς μαθ. δοκ. N — εἰσι] ἐστι Γ — 12. διαν. καὶ λογ. NΓ — 13. στρατοπ///δεύσ G (ςς) καὶ add. CμS — 14. συγκήσεις P συγκίσεις S — 16. καὶ ἀστρ. om. S — 17. γεωρ///γίας G -αν SNΓ — ναυτιλίας C — 18. εὐχερείας Gm εὐχρείας P, in mg.: γρ. εὐκαιρίας, quod schol. in ceteros inrepsit. — ἐπιτηδειότητος P — προδηλοῦσαι G_2 -ούσας S — 19. εἶ] ὢ λῷστε add. C λῷστε μ — 19. 20. ἔοικε δεδιέται P — 20. ἄχρηστον P — ταῦτα om. μ τὰ μαθ. ταῦτα NΓ — 22. τῆς om. C

δευμάτων ἀποτυφλούμενον καὶ κατορυττόμενον διὰ τούτων μόνων ἀναζωπυρεῖται καὶ ἀνεγείρεται κρεῖττον ὂν σωθῆναι μυρίων σωματικῶν ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἡ περὶ τοῦ παντὸς ἀλήθεια ὁρᾶται.

δ. Τίνα οὖν ἀναγκαῖον πρωτίστην τῶν τεσσά- IV
ρων τούτων μεθόδων ἐκμανθάνειν; ἢ δηλονότι τὴν
φύσει πασῶν προυπάρχουσαν καὶ κυριωτέραν ἀρχῆς
τε καὶ ῥίζης καὶ οἱονεὶ πρὸς τὰς ἄλλας μητρὸς λόγον
ἐπέχουσαν. ἔστι δὲ αὕτη ἡ ἀριθμητικὴ οὐ μόνον, 2
ὅτι ἔφαμεν αὐτὴν ἐν τῇ τοῦ τεχνίτου θεοῦ διανοίᾳ προυποστῆναι τῶν ἄλλων ὡςανεὶ λόγον τινὰ κοσμικὸν καὶ παραδειγματικόν, πρὸς ὃν ἀπερειδόμενος ὁ τῶν ὅλων δημιουργὸς ὡς πρὸς προκέντημά τι καὶ ἀρχέτυπον παράδειγμα τὰ ἐκ τῆς ὕλης ἀποτελέσματα κοσμεῖ καὶ τοῦ οἰκείου τέλους τυγχάνειν ποιεῖ, ἀλλὰ καὶ ὅτι φύσει προγενεστέρα ὑπάρχει, ὅσῳ συναναιρεῖ μὲν ἑαυτῇ τὰ λοιπά, οὐ συναναιρεῖται δὲ ἐκείνοις· οἷον τὸ ζῷον πρότερον τοῦ ἀνθρώπου φύσει ἐστίν· ἀναιρεθέντος γὰρ τοῦ ζώου ἀναιρεῖται καὶ ὁ ἄνθρωπος, οὐκέτι δὲ ἀναιρεθέντος τοῦ ἀνθρώπου συναναιρεῖται καὶ τὸ ζῷον· καὶ πάλιν ἄνθρωπος προγενέστερος γραμματικοῦ· μὴ γὰρ ὄντος ἀνθρώπου οὐδὲ γραμματικός ἐστι, μὴ ὄντος δὲ γραμματικοῦ δυνατὸν ἄνθρωπον εἶναι· ὥςτε ἐπεὶ συναναι-

---

IV. Io. Phil. λγ—λη. — Iambl. p. 10. 11. — Theon. Smyrn. 2. — Boëth. I. 1. — Schol. *ΝΓ* Nobb. p. 4.

IV,6. *ἐκμαθεῖν Cμ* — 11. *κόσμιον P* — 12. *ἢ παραδ. S* — 14. *ἀποτελ.* om. *P* — 15. *ἀποκοσμεῖ P* *συγκ. CSH* — 16. *προγενέστερος ὑπάρχων P* — 17. *αὐτῇ S* — 19. *ἀνήρηται CS* — *ὁ* om. *G* — 21. *συνανήρηται S* *ἀνήρηται C* — 21. 22. *ὁ ἄνθρ. . . τοῦ γρ. CSH* — 22. *γὰρ* om. *P* — 24. *ἐπεὶ οὐ συναναιρεῖται μS*

3 ρεῖ, διὰ τοῦτο καὶ πρεσβύτερον. καὶ ἐκ τοῦ ἐναντίου δὲ νεώτερον λέγεται καὶ ὑστερογενέστερον, ὃ συνεπιφέρει μὲν ἑαυτῷ τὸ λοιπόν, οὐ συνεπιφέρεται δὲ ἐκείνῳ, οἷον ὁ μουσικός· συνεπιφέρει γὰρ ἑαυτῷ πάντως τὸν ἄνθρωπον· καὶ πάλιν ἵππος· συνεπιφέρεται γὰρ πάντως τὸ ζῶον τούτῳ, οὐκ ἔμπαλιν δέ· ζώου γὰρ ὄντος οὐκ ἀναγκαῖον εἶναι ἵππον οὐδὲ ἀνθρώπου ὑπάρχοντος συνεπιφέρεσθαι μουσι-
4 κόν. οὕτω καὶ ἐπὶ τῶν προλεχθεισῶν ἐπιστημῶν· οὔσης μὲν γὰρ γεωμετρίας ἀνάγκη καὶ τὴν ἀριθμητικὴν συνεπιφέρεσθαι· ἅμα γὰρ ταύτῃ τρίγωνον ἢ τετράγωνον ἢ ὀκτάεδρον ἢ εἰκοσάεδρον ἢ διπλάσιον P
ἢ ὀκταπλάσιον ἢ ἡμιόλιον ἢ ἄλλο τι τοιοῦτον, ὃ γεω- 8
μετρία λέγει, καὶ οὐκ ἄνευ τῶν ἑκάστῳ συνεπιφερομένων ἀριθμῶν ἐπινοεῖσθαι τὰ τοιαῦτα δύναται· πῶς γὰρ οἷόν τε τριπλάσιόν τι εἶναι ἢ λέγεσθαι μὴ προυποκειμένου τοῦ γ ἀριθμοῦ ἢ ὀκταπλάσιον μὴ ὑποκειμένου τοῦ η; ἔμπαλιν δὲ εἴη ἂν τὰ γ καὶ τὰ δ καὶ τὰ ἑξῆς μὴ ὄντων τῶν παρωνύμων σχημάτων.
5 συναναιρεῖ ἄρα ἡ ἀριθμητικὴ τὴν γεωμετρίαν, ἀλλ' οὐ συναναιρεῖται ὑπ' αὐτῆς, καὶ συνεπιφέρεται μὲν ἐκείνῃ, οὐ συνεπιφέρει δὲ αὐτήν.

V ε. Πάλιν δὲ ἐπὶ τῆς μουσικῆς· οὐ γὰρ μόνον

V. Io. Phil. λθ—μα. — Boëth. I. 1.

---

1. πρεσβύτερος Ast. — 3. τὸ om. G_1m, add. G_2 — 5. πάντα G_1m, -ως G_2 cet. — 7. οὐκ G_2 — 8. συνεπιφέρεται μουσικός P — 10. τὴν om. SC — 11. ταύτῃ om. SC — 12. διπλάσιον] ἢ τριπλάσιον ἢ τετραπλάσιον add. CS — 13. ἢ ὀκταπλ. om. C — ἢ ἡμιόλ. om. H — ὃ] ὧν G_2SH — 14. λέγων P — ἑκαστω/// G [ν?] — 15. τὰ τοι.] ταῦτα CS — 16. τε] καὶ add. G — τι om. P — 18. ὑποκειμένου om. CS — 19. τῶν om. P — ὁμωνύμων S — 21. 22. συνεπιφέρεται . . . οὐ om. m — 22. ἐκείνῃ] ὑπ' ἐκείνης CS
V, 23. μόνον om. P

ὅτι προγενέστερον τὸ καθ' αὑτὸ τοῦ πρὸς ἄλλο, καθάπερ τὸ μέγα τοῦ μείζονος καὶ τὸ πλούσιον τοῦ πλουσιωτέρου καὶ ὁ ἄνθρωπος τοῦ πατρός, ἀλλ' ὅτι καὶ αἱ μουσικαὶ συμφωνίαι διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν κατὰ ἀριθμόν εἰσιν ὠνομασμέναι· ὁμοίως καὶ τοὺς ἁρμονικοὺς λόγους ἀριθμητικοὺς πάντως ἔχουσιν, ἡ μὲν διὰ τεσσάρων ἐπίτριτος, ἡ δὲ διὰ πέντε ἡμιόλιος, ἡ δὲ διὰ πασῶν διπλάσιος, τριπλάσιος δὲ ἡ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, τετραπλάσιος δὲ ἡ τελειοτάτη ἡ δὶς διὰ πασῶν. ἐκδηλότερόν γε 2
μὴν ἡ σφαιρικὴ δι' ἀριθμητικῆς τυγχάνει πάντων τῶν προςηκόντων αὐτῇ σκεμμάτων οὐ μόνον, ὅτι γεωμετρίας μεταγενεστέρα ἐστὶν (ἡ γὰρ κίνησις φύσει μετὰ τὴν μονήν), οὐδ' ὅτι ἁρμονίας ἐκ παντὸς ἐμμελοῦς τὰ τῶν ἀστέρων κινήματα τέτευχεν, ἀλλ' ὅτι καὶ ἀριθμῶν περιόδοις καὶ ποσότησιν ἀνατολαί τε καὶ δύσεις καὶ προποδισμοὶ καὶ ἀναποδισμοὶ καὶ ἐπιπροςθήσεις καὶ φάσεις παντοῖαι διαρθροῦνται.

ὡς οὖν προγενεστέρας φύσει καὶ τιμιωτέρας καὶ 3
πρεσβυτέρας ὡςανεὶ μητρὸς καὶ τιθήνης καλῶς προτέραν τὴν τεχνολογίαν ὑπεστησάμεθα, τὴν δὲ ἀρχὴν τῆς τεχνολογίας τοῦ σαφοῦς χάριν ἐντεῦθεν ποιησόμεθα.

1. ἄλλο] ἕτερον *CS* — 4. 5. διὰ] ἡ διὰ ter *H* — 5. ἀριθ G_1 μὸν G_2 — ὀνομαστικαὶ superscr. ἤτοι ὀνομαζόμεναι *S* — 7. ἔχουσι G_1 ν G_2 — 7—9. ἐπίτριτον ... ἡμιόλιον ... διπλάσιον ... τριπλάσιον ... τετραπλάσιον *CSH* — 10. τελειότητα *P* — 11. ἐπιτυγχάνει *H* — 12. ὅτι] ἐπειδὴ *CS* — 13. φύσει] ὑστέρα add. *H* — 16. περίοδον *P* — 18. φάσεις om. *P* φά///σεις *G* φαῦσεις *m* φαύσεις *S* *lunae uariationes* Boëth. — 19. φύσεως *P* — τιμιωτάτας *H*, in mg.: οἶμαι τιμιότητι — 21. τὴν] αὐτῇ *H* — τεχνολ.] αὐτῆς add. *CΓ* — ἐπεστησ. *S*

VI ϛ. *Πάντα τὰ κατὰ τεχνικὴν διέξοδον ὑπὸ φύ-
σεως ἐν τῷ κόσμῳ διατεταγμένα κατὰ μέρος τε καὶ
ὅλα φαίνεται κατὰ ἀριθμὸν ὑπὸ τῆς προνοίας καὶ
τοῦ τὰ ὅλα δημιουργήσαντος νοῦ διακεκρίσθαι τε
καὶ κεκοσμῆσθαι βεβαιουμένου τοῦ παραδείγματος
οἷον λόγον προχαράγματος ἐκ τοῦ ἐπέχειν τὸν
ἀριθμὸν προυποστάντα ἐν τῇ τοῦ κοσμοποιοῦ θεοῦ P
διανοίᾳ, νοητὸν αὐτὸν μόνον καὶ παντάπασιν ἄυλον, 9
οὐσίαν μέντοι τὴν ὄντως τὴν ἀίδιον, ἵνα πρὸς αὐ-
τὸν ὡς λόγον τεχνικὸν ἀποτελεσθῇ τὰ σύμπαντα
ταῦτα, χρόνος, κίνησις, οὐρανός, ἄστρα, ἐξελιγμοὶ
2 παντοῖοι. ἀναγκαῖον ἄρα, τὸν ἐπιστημονικὸν ἤδη
ἀριθμὸν ἐπὶ τῶν τοιούτων ὑπάρχοντα καθ' ἑαυτὸν
3 ἡρμόσθαι καὶ οὐχ ὑπ' ἄλλου, ἀλλ' ὑφ' ἑαυτοῦ. πᾶν
δὲ ἡρμοσμένον ἐξ ἐναντίων πάντως ἥρμοσται καὶ ὄν-
των γε· οὔτε γὰρ τὰ μὴ ὄντα ἁρμοσθῆναι οἷά τε οὔτε
τὰ ὄντα μέν, ὅμοια δὲ ἀλλήλοις, οὔτε τὰ διαφέροντα
μέν, ἄλογα δὲ πρὸς ἄλληλα· ὑπολείπεται δὴ τά, ἐξ
ὧν ἁρμόζεται, καὶ ὄντα εἶναι καὶ διάφορα καὶ λόγον
4 πρὸς ἄλληλα ἔχοντα. ἐκ τοιούτων ἄρα καὶ ὁ ἐπιστη-*

VI. Io. Phil. *μβ—να*. — Boëth. I. 8.

VI, 1. *Πάντα* G_2 in ras. (-*ως*?) — 2. *τεταγμένα S* — 5. *κοσμῆσθαι P διακεκ. CS κατακεκ. H* — *διαβεβ. P* — 6. *ἐκ τοῦ* pro *τῷ*, quod in edit. Wetfl. scripsi, e *P* restitui: „*eo, quod numerus imaginis instar est*". *καὶ οἷον Gm*; post *λόγον* add. *καὶ* G_2 *παράδ. ἐκ τοῦ οἷον ἀρχῆς λόγον πρὸ χαράγματος P οἷον ἀρχὴν καὶ λόγον προχ. C*, idem omisso *οἷον S οἷον* post *λόγον H καὶ οἷον ἀρχῆς λόγον καὶ προχ. Γ ἐκ τοῦ ἀρχῆς λόγον καὶ οἷον προχ.* coni. Ast. *principale in animo conditoris exemplar* Boëth. — 8. *αὐτὸν*] *ὄντα* add. *CS αὐτομόνον G* — 9. *τὴν ἀιδ. Gm καὶ ἀίδ. Cμ* om. cet. — 10. *ἀποτελεσθείη CS* — 12. *τὸν ἐπιστ.*] *καὶ αὐτὸν* praemittunt *Cμ* — *ἤδη*] *δὴ CSH* — 15. *τὸ ἡρμοσμ. CS* — *πάντα m* — 18. *ἄλλογα P* — 20. *ἐκ τούτων P*

μονικὸς ἀριθμός· ἔστι γὰρ τὰ ἐν αὐτῷ πρώτιστα εἴδη δύο οὐσίαν τε ἔχοντα τὴν τῆς ποσότητος καὶ διαφέροντα ἀλλήλων καὶ οὐχ ἑτερογενῆ, περιττὸν καὶ ἄρτιον, καὶ ἐναλλὰξ ὑπὸ θαυμαστῆς καὶ θείας φύσεως διηρμοσμένα ἀλλήλοις ἀχωρίστως καὶ ἑνοειδῶς, ὡς αὐτίκα εἰσόμεθα.

ζ. Ἀριθμός ἐστι πλῆθος ὡρισμένον ἢ μονάδων VII
σύστημα ἢ ποσότητος χύμα ἐκ μονάδων συγκείμενον, τοῦ δὲ ἀριθμοῦ πρώτη τομὴ τὸ μὲν ἄρτιον, τὸ δὲ
περιττόν. ἔστι δὲ ἄρτιον μέν, ὃ οἷόν τε εἰς δύο ἴσα 2
διαιρεθῆναι μονάδος μέσον μὴ παρεμπιπτούσης, περιττὸν δὲ τὸ μὴ δυνάμενον εἰς δύο ἴσα μερισθῆναι διὰ τὴν προειρημένην τῆς μονάδος μεσιτείαν.
οὗτος μὲν οὖν ὁ ὅρος ἐκ τῆς δημώδους ὑπολήψεως· 3
κατὰ δὲ τὸ Πυθαγορικὸν ἄρτιος ἀριθμός ἐστιν ὁ τὴν εἰς τὰ μέγιστα καὶ τὰ ἐλάχιστα κατὰ ταὐτὸ τομὴν ἐπιδεχόμενος, μέγιστα μὲν πηλικότητι, ἐλάχιστα δὲ ποσότητι, κατὰ φυσικὴν τῶν δύο τούτων γενῶν ἀντιπεπόνθησιν, περισσὸς δὲ ὁ μὴ δυνάμενος τοῦτο
παθεῖν, ἀλλ' εἰς ἄνισα δύο τεμνόμενος. ἑτέρῳ δὲ 4
τρόπῳ κατὰ τὸ παλαιὸν ἄρτιός ἐστιν ὁ καὶ εἰς δύο ἴσα τμηθῆναι δυνάμενος καὶ εἰς ἄνισα δύο, πλὴν

VII. Io. Phil. *νβ—ξα.* — Iambl. p. 11 seq. — Theon. 3—5. — Boëth. I. 3. — Schol. *ΝΓ* Nobb. p. 4. 5.

---

2. *τὴν τῆς γῆς ποσότητα* *P* — 4. *θαυμαστοῦ* *P* — 5. *ἡρμοσμ.* *P* *ἐνηρμοσμ.* *CSH*
VII. *Περὶ ἀριθμοῦ* *m*; in *G* lacuna, quam G_2 hisce expleuit uerbis: *Ὅρος ἀριθμοῦ καὶ διαίρεσις.* — *Ὅροι ἀριθμοῦ καὶ τῶν εἰδῶν αὐτοῦ* *μ* — *Ὅρος ἀριθμοῦ* *Γ* — 7. *Ἁπλῶς γὰρ ἀριθμ.* *SH* — *πλῆθ. ὡρ. ἢ* om. *H* *ἢ* om. *S* — 8. *χύμα* *G*, *χῦμα* ceteri, cf. Drac. Straton. 57. 6; 95. 25; 100. 20. — 10. *ἔστι δὲ* om. *S* — *ἄρτιον* cf. Eucl. VII. ὅρ. ϛ, ζ — 11. *μέσης* *CSH* *ἐν μέσῳ* Io. Ph. *νδ* — 12. *μερισθ.*] *διαιρεθῆναι* *CSH* — 18. *τὴν φυσ.* *CSH* — 22. *τμεθῆναι* *P*

*τῆς ἐν αὐτῷ ἀρχοειδοῦς δυάδος θάτερον τὸ διχοτόμημα
μόνον ἐπιδεχομένης τὸ εἰς ἴσα, ἐν ἥτινι οὖν τομῇ πα-
ρεμφαίνων τὸ ἕτερον εἶδος μόνον τοῦ ἀριθμοῦ, ὅπως
ἂν διχασθῇ, ἀμέτοχον τοῦ λοιποῦ· περισσὸς δέ ἐστιν* 4
ἀριθμὸς ὁ καθ' ἡντιναοῦν τομὴν εἰς ἄνισα πάντως P
γινομένην ἀμφότερα ἅμα ἐμφαίνων τὰ τοῦ ἀριθμοῦ 10
δύο εἴδη οὐδέποτε ἄκρατα ἀλλήλων, ἀλλὰ πάντοτε
5 *σὺν ἀλλήλοις. ἐν δὲ τῷ δι' ἀλλήλων ὅρῳ περιττός
ἐστιν ὁ μονάδι ἐφ' ἑκάτερα διαφέρων ἀρτίου ἀριθ-
μοῦ, τουτέστιν ἐπὶ τὸ μεῖζον καὶ ἔλαττον, ἄρτιος δὲ
ὁ μονάδι διαφέρων ἐφ' ἑκάτερον περισσοῦ ἀριθμοῦ,
τουτέστι μονάδι μείζων καὶ μονάδι ἐλάσσων.*

VIII *η. Πᾶς ἀριθμὸς τῶν παρ' ἑκάτερα συντεθέντων
ἅμα ἥμισύς ἐστι καὶ τῶν ὑπὲρ ἕνα ἑκατέρωθεν κει-
μένων ὁμοίως ἥμισύς ἐστι καὶ ἔτι τῶν ὑπὲρ ἐκείνους*
2 *καὶ τοῦτο μέχρις οὗ δυνατόν. μονωτάτη δὲ ἡ μονὰς
διὰ τὸ μὴ ἔχειν ἑκατέρωθεν αὐτὴν δύο ἀριθμοὺς
ἑνὸς μόνου τοῦ παρακειμένου ἥμισύς ἐστιν· ἀρχὴ*
3 *ἄρα πάντων φυσικὴ ἡ μονάς. καθ' ὑποδιαίρεσιν δὲ
τοῦ ἀρτίου τὸ μὲν ἀρτιάκις ἄρτιον, τὸ δὲ περισσάρ-
τιον, τὸ δὲ ἀρτιοπέριττον· ἐναντία μὲν ἀλλήλοις*

VIII. Io. Phil. ξβ—οη. — Iambl. p. 26—29. — Theon. 5. 8. — Boëth. I. 4—6. — Schol. *ΝΓ* Nobb. p. 5. 6.

2. *ἐπιδεχομένου G₁* -*όμενος G₂* — *τομῇ* om. *H* — 5. ////*ἀριθ*. *G* — *ἄνισον P* — 6. *ἐμφαίνοντα, τοῦ ἀρ. P* — 8. *ἀλλήλων*] *G₂* del. *v*. — 9. *ἀριθμοῦ* om. *H* — 11. *ἑκάτερα C* *ἑκάτερα τὰ μέρη* Io. Ph. ξα — *ἀριθμοῦ* om. *SH* — 12. *μονάδι* om. *P* — *ἐλ. τοῦ περισσοῦ H*
VIII. *Ὅτι φύσει ἀρχή ἐστιν ἡ μονὰς τοῦ ἀριθμοῦ H* in mrg. — 13. *ἑκάτερα*] *ἑκατέρου* Io. Phil. ξβ *κειμένων* add. *C* — *συντεθειμένων S* — 14. 15. *καὶ τῶν . . . ἐστι* om. G_1, in mrg. G_2 — 17. *αὐτῆς S* — 19. *μονὰς καθ' αὐτό· διαίρεσις δὲ P*

ὥςπερ ἀκρότητες τὸ ἀρτιάκις ἄρτιον καὶ τὸ ἀρτιοπέρισσον, κοινὸν δὲ ἀμφοτέρων ὥςπερ μεσότης τὸ περισσάρτιον.

Ἀρτιάκις οὖν ἄρτιος ἀριθμός ἐστιν ὁ αὐτός τε 4
*εἰς δύο ἴσα δυνάμενος διχασθῆναι κατὰ τὴν τοῦ
γένους φύσιν καὶ τῶν ἑαυτοῦ μερῶν ὁποτερονοῦν
τοιοῦτον ἔχων δίχα διαιρετόν καὶ πάλιν κατὰ τὰ
αὐτὰ τῶν ἐν ἐκείνῳ μερῶν ὁποτερονοῦν εἰς δύο ἴσα
διαιρετὸν καὶ μέχρις ἂν εἰς τὴν φύσει ἄτομον μονάδα
καταντήσῃ ἡ τῶν ἀεὶ ὑπομερισμῶν διαίρεσις. οἷον* 5
*ὑποδείγματος χάριν ὁ ξδ· τούτου γὰρ ἥμισυς ὁ λβ
καὶ τούτου ὁ ις καὶ τούτου ἥμισυς ὁ η καὶ τούτου ὁ
δ καὶ τούτου ὁ β, ἔπειτα τὸ τελευταῖον μονὰς τούτου
ἡμίσεια, ἥτις φύσει ἄτομος οὖσα οὐκέτι ἐπιδέχεται
τὸ ἥμισυ. παρακολουθεῖ δὲ αὐτῷ καί, ὅ τι ἂν ἐν* 6
*αὐτῷ μέρος ληφθῇ, πάντως ἀρτιάκις ἀρτιώνυμον
εἶναι τὴν προςηγορίαν, τὸ δὲ αὐτὸ καὶ τῇ ποσότητι
τῶν ἐν αὐτῷ μονάδων ἀρτιάκις ἀρτιοδύναμον, μηδέποτε δὲ ἑτέρῳ γένει κοινωνεῖν ἑκάτερον τούτων. μήτοι δὲ ἄρα καὶ παρὰ τοῦτο ἀρτιάκις ἄρ-* 7
*τιος ὠνόμασται, ὅτι αὐτὸς ἄρτιος ὢν καὶ τὰ
μέρη καὶ τὰ τῶν μερῶν μέρη μέχρι μονάδος ἄρ-*

---

1. *καὶ τὸ*] *τὸ* om. *G* — 3. *περισσάρτιον*] *τοῦ τε ἀρτιάκις ἀρτίου καὶ ἀρτιοπερίσσου* add. *S*

VIII, 4. *Ὅρος τοῦ ἀρτιάκις ἀρτίου G* in mrg. *Περὶ ἀρτιάκις ἀρτίου CH*, cf. Eucl. VII, ὅρ. η; Iambl. p. 37. 41; Io. Phil. ξη, praef. p. V. — 5. *διχασθῆναι*] *τμηθῆναι SH* — 7. *ἔχον GP*, om. *C* — *αἱρετὸν* G_1, *δι* add. G_2 — 8. *ἐν* om. G_1P, add. G_2SH — *ἐκείνων m ἐκείνου C* — 9. *φύσ///* G_1 *φύσει* G_2 *φύσιν P* — 10. *ὑποδιαίρεσις S* — 11. *χάριν*] *ἔστω* add. *C* — *τὸ ἥμισυ H* — 12. *ἥμισυς* om. *CH* — 13. *ὁ β*] *πάλιν* praem. *SH* — *εἶτα SH* — 13. 14. *τούτου ἥμισυ H* — 14. *παραδέχεται S* — 17. *τῇ προςηγορίᾳ* G_2CSH, *αὐτῇ* add. *S* — 18. *ἀρτιάκις* om. *P* — 19. *δὲ* om. *G* — 20. *μήτι* G_2CSH *μὴ ἄρα* Io. Phil. ξζ — *ἄρα* om. *C* — 21. 22. *καὶ τὰ μέρη* om. *C*

τια ἀεὶ ἔχει ὀνόματί τε καὶ δυνάμει· καὶ ἑτέρως πᾶν
μέρος, ὃ ἐὰν ἔχῃ, ἀρτιάκις ἄρτιον κατὰ τὸ ὄνομά
ἐστι, τὸ δὲ αὐτὸ καὶ ἀρτιάκις ἄρτιόν ἐστι κατὰ τὴν p. 11
8 δύναμιν. γένεσις δὲ τοῦ ἀρτιάκις ἀρτίου, ὥςτε μη-
δένα διαφυγεῖν, ἀλλ' ἐξ ἑνὸς πάντας ὑποπίπτειν
9 αὐτῇ, εἰ γένοιτο ἂν οὕτως· ἀπὸ μονάδος ὡς ἀπὸ
ῥίζης κατὰ τὸν διπλάσιον λόγον προχωροῦντι μέχρις
ἀπείρου, ὅσοι καὶ ἂν γένωνται, οὗτοι πάντες ἀρτιά-
κις ἄρτιοί εἰσιν, ἄλλους δὲ παρὰ τούτους ἀμήχανόν
ἐστιν εὑρεῖν, οἷον πρὸς ὑπόδειγμα

α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνς, φιβ

10 καὶ ἐφ' ὁσονοῦν. ἕκαστος δὴ τῶν προκειμένων γέ-
γονε μὲν κατὰ τὸν ἀπὸ μονάδος διπλασίονα ἀεὶ λόγον,
ὑπάρχει δὲ ἀρτιάκις ἄρτιος πάντως καὶ πᾶν δὲ μέ-
ρος, ὃ ἂν εὑρεθῇ ἔχων, πάντως καὶ παρώνυμόν
ἐστιν ἑνὸς τῶν ἐντὸς αὐτοῦ καὶ μονάδος σύστημα
ἐν τούτῳ ὑπάρχει τοσοῦτον, ὁπόσος τῶν ἐντὸς αὐ-
τοῦ εἷς τις ἐστί, κατὰ ἀντιπερίστασιν μέντοι καὶ
ἀμοιβήν, ἐὰν μὲν ὦσιν ἄρτιοι αἱ ἐκθέσεις τῶν ἀπὸ
μονάδος διπλασιασμῶν· μία μὲν οὐχ οἷά τε μεσότης
εὑρεθῆναι, πάντως δὲ δύο, ἀφ' ὧν ἀρχομένη ἡ ἀν-
τιπερίστασις καὶ ἀμοιβὴ μερῶν πρὸς δυνάμεις καὶ

---

1. ἀεὶ om. *H* — ἑτέρως] ὅτι add. *PSH* — 2. ἐὰν *GP*. ἂν cet. — 3. ἔσται *H* — ἐστι om. *H* — 2. 3. ἀρτιάκις . . . αὐτὸ καὶ om. *C* — 5. διαφεύγειν *H* ἐκφυγεῖν (διαφεύξεται) Io. Phil. οβ — ἐξ ἑνὸς] ἑξῆς G_2*SH*, ἐξ ἑν. in mrg. *H* — πάντα *H* — 6. εἰ *Gm* καὶ *PH*, om *CS* — ἀπὸ μον. ὡς om. *P* — 8. καὶ om. *CSH* — ἂν om. *P* — γένοιντο *CS* γίνωνται *H* — 10. ἐστιν om. *SH* — εὑρεῖν om. *Gm* — 12. δὴ] γὰρ *mC* δὲ *H* — προκειμ.] προειρημένων *C* — 13. ἀεὶ ω om. *P* — 16. μονάδων *CSH* — 17. ἐν τούτῳ] πρὸς τοῦτο *S* om. *C* — τοσούτων *C* — ὁπόσον *P* -ων *CSH* — 19. μὲν ὦσιν] μέλλωσιν *P* — ἄρτιαι *S* — 20. οὐχ] οὖν praem. G_1, del. G_2

δυνάμεων πρὸς μέρη προχωρήσει τάξει, πρῶτον μὲν ἐπὶ τοὺς παρ' ἑκάτερα δύο, εἶτα ἐπὶ τοὺς ὑπερκειμένους ἑκατέρωθεν, μέχρις ἂν ἐπὶ τοὺς ἀκροτάτους ἀφίκηται, ὥςτε καὶ τὸ ὅλον ἀντιπαρωνυμεῖσθαι τῇ μονάδι καὶ τὴν μονάδα τῷ ὅλῳ· οἷον λόγου χάριν, ἐὰν τὸν ρκη θῶμεν τὸν μέγιστον, ἀρτιογενεῖς ἔσονται αὐτῷ αἱ ἐκθέσεις τῶν ὅρων, ὀκτὼ γὰρ αἱ μέχρις αὐτοῦ πᾶσαι, καὶ μίαν μεσότητα οὐχ ἕξουσιν, ἀδύνατον γὰρ ἐν ἀρτίῳ, ἀλλ' ἀναγκαίως δύο, τήν τε η καὶ τὴν ις, αἵτινες ἀνταποκρινοῦνται ἀλλήλαις παρὰ μέρος· τοῦ γὰρ ὅλου τοῦ ρκη ὄγδοον μέν ἐστι τὰ ις, ἔμπαλιν δὲ ἑκκαιδέκατον τὰ η· καὶ προιόντες ἐφ' ἑκάτερον τέταρτον μὲν τὰ λβ, τριακοστόδυον δὲ τὰ δ, καὶ πάλιν ἥμισυ μὲν τὰ ξδ, ἑξηκοστοτέταρτον δὲ τὰ β, καὶ τελευταῖον κατὰ τὰς ἀκρότητας ἑκατοστοεικοστόγδοον μὲν ἡ μονάς, ὅλον δὲ κατὰ τὴν μονάδα
ἔμπαλιν τὰ ρκή. ἐὰν δὲ ἐν περισσοῖς ὅροις ἡ ἔκθεσις 11
γένηται, οἷον ἐν ἑπτά, προχειρισαμένων ἡμῶν τὰ ξδ,
19 ἡ μεσότης ἀναγκαίως μία ἔσται κατὰ τὴν τῶν περισ-
P σῶν φύσιν καὶ αὐτὴ μὲν ἑαυτῇ ἀνταποκρινεῖται διὰ
12 τὸ σύζυγον μὴ ἔχειν, οἱ δὲ ἑκατέρωθεν αὐτῆς ἀεὶ ἀλλήλοις, μέχρις ἂν εἰς τὰ ἄκρα ἡ ἀνταπόκρισις τελευτήσῃ· οἷον ἑξηκοστοτέταρτον μὲν ἡ μονὰς ἔσται,

---

2. ἐπὶ τὰ P — εἶτα ἐπὶ] εἶτα ὑπὲρ GmPC εἶτα ἐπὶ τοὺς ὑπὲρ- ἐκείνους ὑπερκ. S — 6. ἀρτιογενεῖς] ἀρτιοπληθεῖς C -πλησθεῖς μ -ταγεῖς mSΓ -παγεῖς H — 7. αὐτοῦ CS — 9. 10. τὴν] τὸν bis G_2CSH — ἀλλῆλαι P — 11. τῶν ρκη P — 12. ἑξκαιδ. mG_2 — προιόντες GP (intell. οἱ ἀρτιάκις ἄρτιοι . . ἔχουσι cf. Io. Phil. ογ.) προιόντι ceteri. — 13. ἑκάτερα C — τριακοστόδυο G_1 ν add. G_2 — 14. ἑξηκοντατέταρτον G_1P — 15. ἑκατοστοεικόγδοον P — 18. προχειρησαμένων P — 19. μεσότης] πάντως add. H — 20. αὐτὴ] αὕτη P

ὅλον δὲ κατὰ τὴν μονάδα ξδ, καὶ ἥμισυ μὲν τὰ λβ,
τριακοστόδυον δὲ τὰ β, καὶ τέταρτον μὲν τὰ ις, ἑκ-
καιδέκατον δὲ τὰ δ, ὄγδοον δὲ ἄνευ ἀντιδιαστολῆς
12 αὐτὰ τὰ ή. συμβέβηκε δὲ πάσαις ταῖς ἐκθέσεσι συν-
τεθειμέναις σωρηδὸν ἴσαις εἶναι τῷ μετ' αὐτὰς παρὰ
μονάδα, ὥςτε ἀναγκαίως ἡ ὁπωςοῦν συγκεφαλαίωσις
περισσὸς ἀριθμὸς ἔσται· αἰεὶ γὰρ ὁ παρὰ μονάδα
13 ἴσος τῷ ἀρτίῳ περισσός ἐστι. χρησιμεύσει δ' ἡμῖν
αὕτη ἡ ἐπίγνωσις, ὅσον οὐδέπω, πρὸς τὴν τῶν τε-
λείων ἀριθμῶν σύστασιν· ὑποδείγματος δὲ χάριν
τῷ σνς οἱ ἐντὸς αὐτοῦ μέχρι μονάδος ἴσοι εἰσι συγ-
κεφαλαιωθέντες παρὰ μίαν μονάδα, τῷ δὲ ρκη τῷ
εὐθὺς ὑπ' αὐτὸν οἱ ἐντὸς αὐτοῦ πάντες ὁμοίως εἰ-
σὶν ἴσοι παρὰ μίαν μονάδα καὶ τοῖς συνεχέσι δὲ ἀεὶ
κατὰ τὰ αὐτὰ οἱ ἐντός, καθὰ καὶ αὐτὴ ἡ μονὰς παρὰ
μονάδα ἴση τῷ μετ' αὐτήν, ὅ ἐστι τῷ β, καὶ οἱ συν-
αμφότεροι παρὰ μονάδα τῷ μετ' αὐτοὺς καὶ οἱ
σύντρεις παρὰ μονάδα τῷ ἑξῆς, καὶ τοῦτο ἐπ' ἄπει-
14 ρον προχωροῦν ἄπταιστον εὑρήσεις. κἀκεῖνο δὲ με-
μνῆσθαι ἀναγκαιότατον· ἐὰν μὲν γὰρ ἄρτιοι ὦσιν αἱ
τοῦ προκεχειρισμένου ἀρτιάκις ἀρτίου ἐκθέσεις, πάν-
τως τὸ ὑπὸ τῶν ἄκρων πρὸς ἄλληλα πολυπλασιαζομέ-

---

1. *κατὰ τὴν μον.* om. *SH* *μονάδαν P* — *τὰ ξδ C* — 2. *ἑξκαιδ. mG_2* — 3. *ἀντιδιαστολῆς*] *ἀντὶ G_2* ex altero *ἄνευ* corr., *διαστολῆς SH* — 4. *ή*] om. *G_1* *ὀκτώ* add. *G_2* — *συντιθεμέναις C* — 5. *σωρηδ G_1* *ὸν G_2* — *ἴσας C* — *εἶναι*] *ἑνὶ P* *ἑνὶ ΗΓ*, qui post *μονάδα* add. *γίνεσθαι* — 6. *ὁποσονοῦν G_2* *ὁποσωνοῦν S* *ὁποσοῦν C* — 7. *ἐστι*] *ἔσται SH* — *μονάδ G_1 -α G_2* — *χρησιμεύσῃ P* — *εὑει CSH* — 9. *γνῶσις C* — 11. *τῶ˜ [τῶν] σνς G* *τῶν ˫νς P* — *αὐτοῦ*] *πάντες* add. *CSH* — *ἄχρι H* — *εἰσὶ* om. *S* — 12. *μίαν* om. *S* — 13 *ὑπ'*] *μετ' H* — *πάντες*] *μέχρι μονάδος* add. *H* — 14. *καὶ ἐν τοῖς H* — 18. *σὺν τρεῖς P(G_1?)* — 20 *ἄρτιαι G_2S* — 21. *προκεχειρ.* om. *S* — *ἀρτίου*] *ἀριθμοῦ* add. *H*

νων·συντελούμενον ἴσον ἔσται τῷ ὑπὸ τῶν μέσων πρὸς ἄλληλα, ἐὰν δὲ περισσαί, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου πρὸς ἑαυτό· ἅπαξ γὰρ ρκη ἐν ἀρτίαις ἐκθέσεσιν ἴσόν ἐστι τῷ ὀκτάκις ις καὶ ἔτι τῷ δὶς ξδ καὶ πάλιν τῷ τετράκις λβ καὶ τοῦτο δι' ὅλου· ἐν δὲ περισσαῖς ἐκθέσεσιν ἴσον τὸ ἅπαξ ξδ τῷ δὶς λβ καὶ τοῦτο τῷ τετράκις ις καὶ τοῦτο πάλιν τῷ ὀκτάκις η μόνον μέσου πρὸς ἑαυτὸν πολλαπλασιαζομένου.

θ. Ἀρτιοπέριττος δέ ἐστιν ἀριθμὸς ὁ τῷ γένει IX
καὶ αὐτὸς ἄρτιος ὤν, ἀντιδιαστελλόμενος δὲ ἰδικῶς
τῷ προφρασθέντι ἀρτιάκις ἀρτίῳ, ὁ τὴν μὲν εἰς δύο
ἴσα διαίρεσιν ἐπιδεχόμενος κατὰ τὸ κοινὸν γένος,
τῶν μέντοι μερῶν ἑκάτερον εὐθὺς εἰς δύο ἴσα ἄτμη-
P τον ἔχων, οἷον

ὁ ς, ὁ ι, ὁ ιδ, ὁ ιη, ἡ κβ, ὁ κς,

οἱ ὅμοιοι· μετὰ γὰρ τὸ διχασθῆναι ἕκαστον τούτων
ἀδίχαστα εὐθὺς τὰ μέρη εὑρίσκεται. συμβέβηκε δὲ 2
αὐτῷ πᾶν, ὃ ἐὰν εὑρεθῇ μέρος ἔχων, ἐναντιώνυμον
τῇ δυνάμει εἶναι καὶ πᾶσαν μέρους ποσότητα ἐναν-
τιοδύναμον τῷ ὀνόματι, μηδέποτε δὲ μηδενὶ τρόπῳ

IX. Io. Phil. οθ—πη. — Iambl. p. 29—31. — Theon. 9. — Boëth. I. 7. — Schol. *ΝΓ* Nobb. p. 6.

---

1. *ἔστι S* — *ὑπὸ*] *ἀπὸ P* — 3. *ὁ ρκη PC* — *ἐν ἀρτ.*] *ἐναντίαις H* — 4. *ἴσος PC* — 7. *πάλιν* om. *H* — 8. *μόνον G μόνου τοῦ* ceteri — *ἑαυτὸ μ* — *πολλαπλασιαζ. P*, ante *μόνον* G_2, *πολυπλ. ΗΓ*, om. G_1*mCμS*

IX. *Περὶ ἀρτιοπερίσσου mCμΗΓ Περὶ τοῦ ἀρτιοπ. S* — 10. *εἰδικῶς CSH* — 13. *ἑκάτερον* G_2 [α?] — *εὐθὺς* om. *S* — 15. *ὁ ς, ὁ ι* om. *H* — 16. *καὶ οἱ ὅμ. CH* — 17. *εὑρεθήσεται H* (*εὑρίσκ.* in mrg.) — 18. *ἂν CSH* — *ἔχον Gm* — 19. *εἶναι* om. *H* — *πᾶσαν μέρ. mCS πᾶσαν τὴν τοῦ μ. G πᾶσαν τὴν τοῦ μ. PH* — 20. *δὲ* om. *G*

ὁμογενῆ τὴν δύναμιν τοῦ μέρους τῷ αὐτῷ ὀνόματι
ὑπάρχειν· οἷον ἐφ' ἑνὸς τοῦ ιη τὸ μὲν ἥμισυ ἀρ-
τιακῶς ὠνομασμένον ὑπάρχει ϑ, περισσὸν τῇ δυνά-
μει, τὸ δὲ τρίτον ἔμπαλιν περισσῶς ὀνοματοπεποιη-
μένον ς ἄρτιον τῇ δυνάμει· τὸ δὲ ς^{ον} ἐξ ἀντιστρο-
φῆς γ καὶ τὸ ϑ^{ον} β, κἀπὶ τῶν ἑτέρων ὁ αὐτὸς
3 εὑρεθήσεται τρόπος. μήτοι δὲ ἄρα καὶ παρὰ τοῦτο
τοιαύτης προσηγορίας τέτευχεν, ὅτι ἄρτιος ὢν περισ-
4 σῶν τῶν ἡμισευμάτων εὐθὺς τετύχηκε. γεννᾶται
δὲ καὶ οὗτος τῶν ἀπὸ μονάδος δυάδι διαφερόντων,
ὅ ἐστι περισσῶν, εὐτάκτως ἐκτεθέντων, μέχρις οὗ
βούλει, δυάδι πολυπλασιασθέντων· οἱ γὰρ ἀποτε-
λούμενοι γένοιντο ἂν τάξει οὗτοι

ς, ι, ιδ, ιη, κβ, κς, λ,

καὶ μέχρις ἂν προχωρεῖν ἐθέλῃς· διαφέρουσι δὲ
ἀλλήλων τετράδι οἱ μείζονες ἀεὶ τῶν ἐγγὺς ἐλατ-
τόνων· αἴτιον δὲ τούτου, ὅτι οἱ ἐξ ἀρχῆς γνώμονες
αὐτῶν, τουτέστιν οἱ περισσοί, δυάδι ἀλλήλων ὑπερ-
5 φέροντες δυάδι ἐμηκύνθησαν, ἵνα οὗτοι γένωνται,
δυὰς δὲ δυάδα πολυπλασιάσασα τετράδα ποιεῖ. ἐν
οὖν τῷ φυσικῷ ὕφει τοῦ ἀριθμοῦ εὑρεθήσονται οἱ
ἀρτιοπέρισσοι πέμπτοι μὲν ἀπ' ἀλλήλων, τετράδι δὲ
ὑπερέχοντες, τρεῖς δὲ ὑπερβαίνοντες, δυάδι δὲ μη-

---

1. αὐτοῦ S ἑαυτοῦ C — 3. ὀνομασμ. G — τὸ δὲ ϑ περ. S ὁ δὲ ϑ περισσὸς H — 4. ὠνοματοπεποιημένον G — 5. δυνάμει Gm (H in mrg.) ὑποστάσει PCSH — ς G_1 ον G_2 — ἀντιστρόφου mC ἀναστρόφου P ἀναστροφῆς S — 6. ϑ G_1 -ον G_2 — 7. μήτι (τοι) ἄρα S — 12. διάδι G — πολλαπλασ. CS — 15. ἐθέλοις C ϑέλῃς S — 16. ἐγγὺς] μ add.: σχόλιον τινὸς ἀνωνύμου· ἀναγκαῖον κτλ. seq. Io. Phil. Schol. πδ. — 18. ὑπερέχοντες C — 19. ἐ///μικ///ύνθησαν G_1 ι in η mut. G_2 — γενῶνται P γεννῶνται S — 23. τρεῖς] τριάδι PH — δυάδι δὲ] δὲ om. G

κυνομένων τῶν περισσῶν γεννώμενοι. ἐναντιοπαθεῖν δὲ λέγονται τοῖς ἀρτιάκις ἀρτίοις, ὅτι τούτων μὲν τὸ μέγιστον ἄκρον μόνον διαιρετόν, ἐκείνων δὲ τὸ ἐλάχιστον μόνον ἦν ἀδιαίρετον· καὶ δὴ καί, ὅτι ἐπ' ἐκείνων μὲν ἡ ἀντιπερίστασις τῶν μερῶν ἀπ' ἀκροτήτων εἰς μεσότητα ἢ μεσόσητας ἀπετέλει τὸ ὑπό- ἴσον τῷ ἀπό- ἢ τῷ ὑπό-· τούτων δὲ κατὰ τὴν αὐτὴν ἀμοιβὴν καὶ ἐξέτασιν ὑποδιπλάσιον τὸ μέσον τῶν δύο ἄκρων συντεθέντων, ἢ εἰ δύο εἴη τὰ μέσα, καὶ αὐτὰ ἴσα ἀμφότερα τοῖς δυσὶν ἄκροις. 6

ι. Περισσάρτιος δέ ἐστιν ἀριθμὸς ὁ τὸ τρίτον X
P εἶδος τοῦ ἀρτίου ἐμφαίνων, κοινὸς ὢν ἀμφοτέρων
14 τῶν εἰρημένων ὡσανεὶ δύο ἀκροτήτων. μία τις ὢν αὐτὸς μεσότης· ὅμοιος γὰρ κατὰ μέν τι τῷ ἀρτιάκις ἀρτίῳ ὑπάρχει, κατὰ δέ τι τῷ ἀρτιοπερίσσῳ, καὶ ᾧ μὲν τοῦ ἑτέρου ἀπήλλακται, τούτῳ κοινωνεῖ τῷ λοιπῷ, ᾧ δὲ κοινόν τι ἔχει πρὸς ἕτερον, τούτῳ διαφέρει τοῦ λοιποῦ. ἔστι δέ, ὅταν ἀριθμὸς ἄρτιος 2

X. Io. Phil. πθ—λε. — Iambl. p. 31—35. — Theon. 10. — Boëth. I. 8. — Schol. ΝΓ Nobb. p. 6. 7.

---

1. γενόμενοι C (γεννώμ. in mrg.) *procreati* Boëth. — 2. ἀρτιάκοις ἀρτ. GP — 4. ἦν om. SH — 6.7. τοῖς ὑπὸ ἢ τῷ ἀπὸ G_2 τῷ ὑπὸ ἢ ἀπὸ C τὸ ἀπὸ ἴσον τῷ ἀπὸ τῷ μείζῳ ἢ τοῖς ὑπὸ τοῦ μέσου P, in mrg. †. intellegendum τὸ ὑπὸ τῶν ἀκροτήτων ἴσον τῷ ἀπὸ τῆς μεσότητος ἢ τῷ ὑπὸ τῶν μεσοτήτων — 7. τούτων] ἐπὶ praemitt. G_2H ἐπὶ τῶν ἀρτιοπερίσσων add. S — 8. ἀντεξέτασιν G_2CH καὶ κατ' ἐξέτασιν S — 9. εἰ om. G_1m — ἢ καὶ δύο εἰσί P — 10. δύο H

X. Περὶ περισσαρτίου codd. tit. om. P — 12. ὢν om. CSH — 13. προειρημένων SH — 15. ὑπάρχει om. H — 16. ἀπήλλακται P — 17. ᾧ] ὃ H — τὸν ἕτερον H τὸ C — 18. λοιποῦ] ἑτέρου SH

εἰς δύο ἴσα διαιρεθῆναι δυνάμενος διαιρούμενα ὁμοίως τὰ ἑαυτοῦ μέρη ἔχῃ, ἔστι δ' ὅτε καὶ τῶν μερῶν τὰ μέρη, μέχρι μέντοι μονάδος μὴ δυνάμενος τὴν τῶν μερῶν λύσιν ἀγαγεῖν· οἷός ἐστιν

ὁ κδ, ὁ κη, ὁ μ·

ἥμισυ μὲν γὰρ ἕκαστος τούτων ἴδιον ἔχει καὶ πάντως ἡμίσους ἥμισυ· ἔστι δ' ὅτε ἐν αὐτοῖς τις εὑρίσκεται καὶ ἐπὶ πλέον τὸν διχασμὸν ἐπιδεχόμενος εἰς τὰ μέρη, οὐδεὶς μέντοι τὸ παράπαν μέχρι τῆς φύσει
3 ἀτόμου μονάδος τὰ μέρη μεριστὰ εἰς ἡμίση ἕξει. τῷ
μὲν οὖν πλείονας μιᾶς τομῆς ἐπιδέχεσθαι ὁμοιοῦται μὲν τῷ ἀρτιάκις ἀρτίῳ, ἀφίσταται δὲ τοῦ ἀρτιοπερίσσου, τῷ δὲ μὴ ἀπολήγειν ποτὲ εἰς μονάδα αὐτοῦ τὰς τομὰς ὁμοιοῦται μὲν τῷ ἀρτιοπερίσσῳ, ἀφί-
4 σταται δὲ τοῦ ἀρτιάκις ἀρτίου. συμβέκηκε δ' αὐτῷ
μόνῳ ὑφ' ἓν τὰ ἑκατέρῳ ἐκείνων ἰδίως συμβεβηκότα καὶ πάλιν ἃ μηδετέρῳ· καὶ γὰρ ἐκείνων ὁ μὲν τὸ μέγιστον μόνον μέρος εἶχε τμητόν, ὁ δὲ τὸ μικρότατον μόνον ἄτμητον, οὗτος δὲ οὐδέτερον· πλείονα μὲν γὰρ τοῦ ἑνὸς τμήματα ἐν τῷ μείζονι μέρει ἔχων ὁρᾶται, πλείονα δὲ τοῦ ἑνὸς ἄτμητα ἐν τῷ ἐλάττονι.
5 καὶ πάλιν ἐστὶν ἐν αὐτῷ τινα μὲν μέρη μὴ ἐναντιωνυμοῦντα ταῖς δυνάμεσι μηδ' ἑτερογενοῦντα πρὸς

---

1. διαιρούμενος P — 2. ἔχει P ἔχων C — 2. 3. ἔστι δ' . . . μέρη om. H — 3. ἄχρι H — μέντοι om. G_1; tuetur Io.Phil. ϟα — 4. λῦσιν G — 5. ὁ κδ] ὁ ιβ praemittit P — μ] μη PH — 7. ἐν αὐτοῖς] καὶ τῶν ἐν αὐτῷ H — 8. ἐπιδεχόμενον P — 9. φύσει om. H — 10. ἀτόμου om. S — ἥμισυ P — 11. τομὰς H τὰς τομὰς S — 13. μονάδας H — 16. μόνῳ om. C — ὑφ' ἓν ἔχειν τὰς ἐκ. ἐκείνῳ P — 17. ἃ] τὰ S — μηδετέρῳ] ἔχειν add. G_2 — καὶ γάρ] ὅτι S — 19. οὗτος δὲ οὐδ.] τούτῳ δὲ οὐδέτερον τούτων ὑπάρχει P id. S, om. τούτων — 20. τμήματος P — 20. 21. ἐν τῷ μ. . . . ἄτμητα om. $G_1 m P$ — 21. ὁρᾶται] ὑπάρχει S — 22. ἐστὶν] πάντως add. $G_2 CSH$

αὐτὰς κατ' εἰκόνα τοῦ ἀρτιάκις ἀρτίου, ἔνεστι δὲ πάντως καὶ ἕτερα ἐναντιωνυμούμενα ἑτερογενῶς ὑπὸ τῶν δυνάμεων κατ' εἰκόνα τοῦ ἀρτιοπερίσσου· οἷον ἐν τῷ κδ οὐκ ἐναντιωνυμεῖ μὲν μέρη δυνάμεσι, τέταρτον ς, ἥμισυ ιβ, ἕκτον δ, δωδέκατον β, ἐναντιοπαθεῖ δὲ τρίτον η, ὄγδοον γ, εἰκοστοτέταρτον α· καὶ ἐπὶ τῶν λοιπῶν παραπλησίως. γεννᾶται δὲ 6
οὗτος ἐφόδῳ τινὶ ποικιλωτέρᾳ σημαίνων τρόπον τινὰ καὶ ἐν τῇ γενέσει αὐτοῦ, ὅτι μῖγμα ἀμφοτέρων ἐστίν· ἐπειδὴ γὰρ ὁ μὲν ἀρτιάκις ἄρτιος ἐξ ἀρτίων ὑφίσταται τῶν ἀπὸ μονάδος διπλασίων ἐς ἀεί, ὁ δὲ ἀρ-
p τιοπέρισσος ἀπὸ περισσῶν τῶν ἀπὸ τριάδος προιόντων ἐς ἀεί, ἀναγκαῖον τοῦτον ἐξ ἀμφοτέρων τῶν γενῶν συνυφαίνεσθαι, ὡς κοινὸν ἀμφοτέρων. ἐκθώ- 7
μεθα δὴ τοὺς ἀπὸ τριάδος περιττοὺς ἰδίᾳ εὐτάκτως ἐν ἑνὶ στίχῳ

γ, ε, ζ, θ, ια, ιγ, ιε, ιζ, ιθ

καὶ ἑφεξῆς, τοὺς δὲ ἀπὸ τετράδος ἀρτιάκις ἀρτίους πάλιν ἑφεξῆς ἐν ἑτέρῳ στίχῳ κατὰ τὴν τάξιν τὴν αὐτῶν

δ, η, ις, λβ, ξδ, ρκη, σνς

καὶ ἑφεξῆς, μέχρις οὗ βούλει. ἀπὸ ὁποτέρου δὴ 8
στίχου (ἀδιάφορον γάρ) τῷ πρώτῳ κειμένῳ ἀριθμῷ πολυπλασίαζε ἐξ ἀρχῆς πάντας ἑξῆς τοὺς ἐν τῷ λοιπῷ στίχῳ καὶ τοὺς ἀποτελουμένους σημειοῦ, εἶτα

2. καὶ G_2 in ras., καὶ ante ὑπὸ eras. G — 4. οὐκ om. G_1mP — μέρος Gm μέρει S — 6. ὄγδ. γ om. H — 7. παραπλησ.] ὁμοίως H — δὲ] καὶ add. P — 8. τινὶ om. H — 10. καὶ ἐξ P — ὑφίστατο mCH *nascebantur* Boëth. — 11. διπλασίον G — 13. ἐς om. m — 14. συνυφάνεσθαι G συνυφίστασθαι H — 17. ιθ] κα, κγ, κε, κζ add. H — 18. ἀρτίον P — 19. ἐν om. G — κατὰ τὴν ἑαυτῶν τάξιν CSH — 21. σκη, ͱνς P φιβ add. CS φιβ, ͵ακδ ΗΓ — 24. πολλαπλ. S

πάλιν τοῦ αὐτοῦ στίχου τῷ δευτέρῳ ἀριθμῷ πολυπλασίαζε τοὺς αὐτοὺς ἄνωθεν, μέχρις οὗ ἔχεις, καὶ τοὺς γινομένους ἀπογράφου· εἶτα τῷ τρίτῳ πάλιν ἀριθμῷ τοὺς αὐτοὺς ἄνωθεν, καὶ μέχρις ἂν προχωρῇς, οὐδένες ἄλλοι σοι ἀπογεννήσονται πλὴν οἱ περισσάρτιοι.
9 χάριν δὲ ὑποδείγματος χρησώμεθα τῷ πρώτῳ ἀριθμῷ τοῦ στίχου τῶν περισσῶν καὶ πολυπλασιάσωμεν αὐτῷ τοὺς ἐν τῷ ἑτέρῳ στίχῳ τάξει πάντας,

τρὶς δ, τρὶς η, τρὶς ιϛ, τρὶς λβ,

καὶ τοῦτο μέχρις ἀπείρου· ἔσονται γὰρ

ιβ, κδ, μη, ϟϛ,

οὓς δεῖ σημειώσασθαι ἐν ἑνὶ στίχῳ· εἶτα ἀπ' ἄλλης ἀρχῆς πάλιν τῷ δευτέρῳ ἀριθμῷ τὸ αὐτὸ ποίει,

πεντάκις δ, πεντάκις η, πεντάκις ιϛ, πεντάκις λβ·

ἀποτελεσθήσονται γὰρ οἵδε

κ, μ, π, ρξ·

εἶτα πάλιν τῷ τρίτῳ ἀριθμῷ τῷ ζ τὸ αὐτὸ ποίει,

ἑπτάκις δ, ἑπτάκις η, ἑπτάκις ιϛ, ἑπτάκις λβ·

οἱ γὰρ γινόμενοί εἰσιν

κη, νϛ, ριβ, σκδ,

καὶ κατὰ τὰ αὐτά, μέχρις οὗ βούλει, προχωρεῖν συμφωνήσει σοι·

---

2. αὐτοὺς om. *H* — 2—4. μέχρις . . . ἄνωθεν om. *P* — 2. οὗ ἔχεις] ὅτου ἔχεις *C* ὅτου ἔχῃς *H* — 2. 3. καὶ τοὺς γεννωμένους ἀπογρ. post ἄνωθεν *H* — 3. πάλιν om. *H* — 4. προχωρῇς *S* -ῇ ceteri. — 5. ἀπογενήσονται *GP* — 6. χρησόμεθα *H* — 7. στίχου] τοῦ add. *S* — πολυπλασιάσομεν *H* — 13. δεῖ] δὴ *H* — ἔν τινι στίχῳ *S* — 14. ποιεὶν *CSH* — 18. τρίτῳ om *P* — ποιήσεις *CS* ποιεῖν *H* — 22. καὶ om. *P*

	γ	ε	ζ	ϑ	ια	ιγ	ιε
	δ	η	ις	λβ	ξδ	ρκη	σνς
πλάτος.	ιβ	κδ	μη	ϟς	ρϟβ	τπδ	ψξη
	κ	μ	π	ρξ	τκ	χμ	,ασπ
	κη	νς	ριβ	σκδ	υμη	ωϟς	,αψϟβ
	λς	οβ	ρμδ	σπη	φος	,αρνβ	,βτδ
	μδ	πη	ρος	τνβ	ψδ	,ανη	,βωις

(first two rows:) οἱ γνώμονες τοῦ περισσαρτίου.

(remaining rows:) οἱ περισσάρτιοι.

μῆκος.

ὅταν δὴ τοὺς ἐξ ἑκάστου πολυπλασιασμοὺς ἐν ἰδίῳ στίχῳ τάξῃς παραλλήλους ποιούμενος τοὺς στίχους, φανήσεταί σοι θαυμαστῶς κατὰ μὲν τὸ πλάτος συμβαῖνον τὸ τῶν ἀρτιοπερίσσων ἰδίωμα, ὅτι ἀεὶ τῶν ἄκρων ὁ μέσος ὑποδιπλάσιος, εἰ εἷς εἴη, εἰ δὲ δύο μέσοι, ἶσοι κατὰ σύνθεσιν· κατὰ δὲ τὸ μῆκος τὸ τῶν ἀρτιάκις ἀρτίων· τὸ γὰρ ὑπό¯ ἶσον τῷ ἀπό¯, εἰ μία εἴη μεσότης, ἢ τῷ ὑπό¯, εἰ δύο εἴησαν· ὥςτε τὰ ἀμφοτέρων ἰδιώματα τούτῳ μόνῳ συμβέβηκεν, ὡς ὄντι φυσικῷ μίγματι αὐτῶν. 10

ια. Τοῦ δὲ περισσοῦ καὶ πάλιν καθ' ὑποδιαίρεσιν διακεκριμένου πρὸς τὸν ἄρτιον καὶ κατὰ μηδὲν XI

XI. Io. Phil. ϟς—ϟζ. — Iambl. p. 35—37. — Theon. 5. 6. — Boëth. I. 9. 10. — Schol. *ΝΓ* Nobb. p. 7.

1—8. Schema praebent *G,CμSΓ*, cf. Iambl. p. 35. — 9. *πολυπλασιασμοῦ PCSH* — 10. *τάξις m ἐκτάξῃς P ἐντάξῃς S* — *παραλλήλως PH* — 12. 13. *τοῖς ἄκροις ὁ μέσος διπλάσει P* — 13. *εἴη C ᾖ* cet. — 14. *ἶσοι] εἰσι κατὰ σύνθ. τοῖς δυσὶν ἄκροις H* — 16. *ἢ τοῖς ὑπὸ H* — *εἴησαν* om. *H* — *τὰ] τῶν* add. *H*
XI. *Περὶ τοῦ περισσοῦ GmH*, *Διαίρεσις τοῦ περιττοῦ N*, *Περὶ περισσοῦ ἀριθμοῦ Γ*, om. cet. — 19. *περ. ἀριθμοῦ πάλιν S* — *καθ' ὑποδ.* om. *H* — 20. *διακεκριμμένου P διακρινομένου C*

κοινωνοῦντος, εἴπερ ἐκεῖνος μὲν διχῇ εἰς ἴσα διαιρετός, οὗτος δὲ εἰς δύο ἴσα ἀδιαίρετος, τρία ὁμοίως p 16 εἴδη εὑρίσκεται ἀλλήλων διαφέροντα, ὧν τὸ μὲν καλεῖται πρῶτον καὶ ἀσύνθετον, τὸ δὲ ἀντικείμενον τούτῳ δεύτερον καὶ σύνθετον, τὸ δὲ ἐν μεταιχμίῳ ἀμφοῖν τούτοιν θεωρούμενον ὡς μεσότης ἐν ἀκρότησιν, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον.

2 Τὸ μὲν οὖν πρώτιστον εἶδος τὸ πρῶτον καὶ ἀσύνθετον γίνεται, ὅταν ἀριθμὸς περισσὸς μόριον μηδὲν ἕτερον ἐπιδέχηται, εἰ μὴ τὸ παρώνυμον ἑαυτῷ, ὃ καὶ ἐξ ἀνάγκης μονὰς ἔσται, οἷον

ὁ γ, ὁ ε, ὁ ζ, ὁ ια, ὁ ιγ, ὁ ιζ, ὁ ιθ, ὁ κγ, ὁ κθ, ὁ λα·

τούτων δὲ ἕκαστος οὐδεμιᾷ μηχανῇ εὑρεθήσεται ἔχων ἑτερώνυμον μόριον, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον καὶ τοῦτο μονάδα πάντως ἐν ἑκάστῳ· ὁ μὲν γὰρ γ μόνον τρίτον [τὸ ἑαυτοῦ παρώνυμον καὶ τοῦτο πάντως μονάδα], ὁ δὲ ε μόνον πέμπτον καὶ ὁ ζ μόνον ἕβδομον καὶ ὁ ια μόνον ἑνδέκατον, καὶ ἐν
3 πᾶσι ταῦτα τὰ μέρη μονὰς ὑπάρχει. τέτευχε δὲ τοῦ ὀνόματος τούτου, ὅτι τῷ κοινῷ πάντων ἀριθμῷ καὶ

---

1. διαιρετός] ὁ ἄρτιος add. *H* — 2. οὗτος δὲ] πάντως add. *S* — ἀδιαίρ.] διαίρ. G_1 — 4. ἀντικείμενον] ἀντίθετον *S* — 7. ὃ om. *H*

XI, 2. Περὶ πρώτου καὶ ἀσυνθέτου *C* — 11. ἑαυτοῦ *SH* — 13. artic. abest a libr. Mon. — 14. δὲ] γὰρ G_2 in ras., *CSH* — 15. μόνον] μόριον Ast. — ἑαυτοῦ *SH* — 17. γὰρ om. *CS* — γ om. *P* — τὸ ἑαυτ. παρ. om. *C*, om. ἑαυτ. superscr. *S* — 17. 18. [τὸ . . . μονάδα] delenda censeo. — 18. πάντως om. *CS* — 18. 19. καὶ ὁ ζ μόν. ἕβδ. *C* sol. — 19. ἑνδέκατον] καὶ ὁ τριάκοντα, ἓν τριακοστὸν μόνον add. *P* καὶ ὁ λα τριακοστομόνον *SH* — 20. ταῦτα] πάντα add. *CS* — μονὰς] μόνα Ast, *haec (pars) unitas* Boëth. I. 10 — 21. ἀριθμῷ] μέτρῳ G_2CSH *nullus numerus metietur* Boëth. I. 10, cf. Io. Phil. ϛς

πρωτίστῳ μονάδι μόνῃ δύναται μετρεῖσθαι, ἑτέρῳ δὲ οὐδενί, ἀλλὰ καὶ ὑπ' οὐδενὸς ἑτέρου ἀριθμοῦ ἑαυτῷ συντεθέντος γεγένηται, ἀλλὰ μόνης μονάδος, πεντάκις μὲν συντεθείσης ὁ ε, ἑπτάκις δὲ ὁ ζ, καὶ οἱ λοιποὶ κατὰ τὴν ἑαυτῶν ποσότητα· αὐτῶν μέντοι συντεθέντων ἑαυτοῖς δύναιντ' ἂν ἄλλοι γενέσθαι ἀπὸ πηγῆς ὡςανεὶ καὶ ῥίζης αὐτῶν τούτων ἀρχόμενοι, διόπερ πρῶτοι καλοῦνται ὡςανεὶ ἀρχαὶ ἐκείνων προυποκείμενοι· ἀρχὴ δὲ πᾶσα στοιχειώδης καὶ ἀσύνθετος, εἰς ἣν πάντα ἀναλύεται καὶ ἐξ ἧς πάντα συνίσταται, αὐτὴ δὲ εἰς οὐδὲν καὶ ἐξ οὐδενός.

ιβ. Δεύτερος δὲ καὶ σύνθετός ἐστιν ἀριθμὸς XII
περισσὸς μὲν διὰ τὸ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ γένους διακεκρίσθαι, ἀρχοειδὲς δὲ οὐδὲν ἔχων ἐν ἑαυτῷ· συντεθέντος γὰρ ἑτέρου τινὸς τὴν γένεσιν αὐτὸς ἔσχε· διόπερ συμβαίνει αὐτῷ πρὸς τῷ παρωνύμῳ μέρει ἔτι καὶ ἑτερώνυμον ἢ ἑτερώνυμα κεκτῆσθαι, τὸ μὲν παρώνυμον καθὰ καὶ ἐπὶ πάντων μονάδα εἶναι πάντως, τὸ δὲ ἑτερώνυμον ἢ ἑτερώνυμα οὐδέποτε μονάδα, ἀλλὰ πάντως ἢ ἐκεῖνον ἢ ἐκείνους, ὧν συντεθέντων ἀπετελέσθη, οἷον

Io. Phil. ϗη, ϗϑ. — Iambl. p. 37, 38. — Theon. 7. — Boëth. I. 11.

---

2. ὑπ' om. *H* — ἑτέρου om. *P* — 3. συντεθέντος] αὐτὸς add. *SC* — γένηται *P* — 5. ἑαυτῶν] αὐτῶν *PC* — 6. ἂν om. *GP* — 9. προυποκείμεναι *PC* — 10. 11. ἀναλύονται . . . συνίστανται *P* ἐξ οὗ . . συνίστανται *Gm* — 9—11. στοιχειῶδες καὶ ἀσύνθετον, εἰς ὃ . . . καὶ ἐξ οὗ . . ., αὐτὸ *SH*

XII. Περὶ β̄ου καὶ συνθέτου *Cμ* — 12. δὲ καὶ] καὶ om. *G* — 16. πρὸς om. *P* — 17. ἑτερώνυμα] μέρη add. *μ* — 18. καθὸ *S* — 19. εἶναι om. *C* — 20. ἢ ἐκεῖνο ἢ *S* πάντ. ἢ ἐκείνοις ὧν *P*

ϑ, ιε, κα, κε, κζ, λγ, λε, λϑ·

τούτων γὰρ ἕκαστος καὶ ὑπὸ μονάδος μετρεῖται ὡς οἱ ἕτεροι καὶ παρώνυμον ἔχει μέρος ὡς κἀκεῖνοι διὰ τὴν τοῦ κοινοῦ· γένους φύσιν, ἐξηλλαγμένως δὲ καὶ ἰδιαίτερον ἔτι καὶ ἑτερωνύμῳ μέρει ἢ μέρεσι χρῆται, ὁ μὲν ϑ πρὸς τῷ ἐνάτῳ ἔτι καὶ τρίτῳ, ὁ δὲ ιε ἔτι καὶ τρίτῳ καὶ πέμπτῳ πρὸς τῷ ιε^ῳ, ὁ δὲ κα καὶ ἑβδόμῳ καὶ τρίτῳ πρὸς τῷ εἰκοστοπρώτῳ, ὁ δὲ κε πρὸς τῷ εἰκοστοπέμπτῳ τῷ παρωνύμῳ ἔτι καὶ
2 ἑτερωνύμῳ χρῆται τῷ πέμπτῳ. δεύτερος οὖν λέγεται, ὅτι καὶ ἄλλῳ σὺν τῇ μονάδι μέτρῳ δύναται χρῆσθαι, καὶ ὅτι οὐκ ἀρχοειδής, ἀλλ' ἑτέρου προστεθέντος πρὸς ἑαυτὸν ἢ πρὸς ἕτερον συντεθέντος αὐτὸς ἐγένετο, ὁ μὲν ϑ τοῦ γ, ὁ δὲ ιε τοῦ ε ἢ νὴ Δία τοῦ γ, καὶ οἱ ἐφεξῆς κατὰ τὸν αὐτὸν λόγον· σύνθετος δὲ ἐκ τοιαύτης αἰτίας, ὅτι διαλυθείη ἂν εἰς ἐκείνους, ἐξ ὧν συνέστηκεν, εἴπερ καὶ μετρηθείη ἂν ὑπ' αὐτῶν· οὐδὲν δὲ διαλυτὸν ἀσύνθετον, ἀλλὰ πάντως σύνθετον.

XIII ιγ. Ἀντικειμένων δὴ ἀλλήλοις τῶν δύο τούτων εἰ-

XIII. Io. Phil. ρ—ριγ. — Iambl. p. 38—41. — Boëth. I. 12—14. — Schol. *ΝΓ* Nobb. p. 7—9.

---

3. *μέρος*] *γένος G* — 5. *ἰδιαίτως P* — 6. *ἐνάτῳ GP* — *ἔτι καὶ τρίτῳ*] *χρᾶται ἤτοι τῇ τριάδι S* — 7. *ιε ἔτι*] *ιε καὶ τρ. ἅμα C* *ιε αμα κ. τρ. S* — 8. *ἐκδόμῳ P* — *εἰκοστομόνῳ CH* — 9. *παρωνύμ.*] *ἑαυτοῦ* praem. *CH* — 12. 13. *προστεθέντος* om. *CS* *πρὸς ἑαυτὸν . . . συντεθ.* om. *P* *προστεθ. . . . ἕτερον* om. *H* — 14. *αὐτὸς*] *οὗτος CS* — 14. 15. *ἐκ τοῦ ε . . ἐκ τοῦ γ H* — *ἢ νὴ Δία τοῦ γ*] *καὶ τοῦ γ C* *ἢ τοῦ γ S* — 16. *τοιαύτης*] *τῆς αὐτῆς CSH* — 17. *εἰς ἐκεῖνα P* *εἰς τοὺς αὐτοὺς H* — *συνέστημεν P* — 18. *ἂν* om. *CSH* — *ὑπ'*] *παρ' H*

XIII. *Περὶ τοῦ καθ' ἑαυτὸ* [*αὐτὸ μ*] *μὲν συνθέτου, πρὸς* [om. *μ*] *ἄλλο* [*ἀλλὸ μ*] *δὲ ἀσυνθέτου C* — 20. *δύο τούτων* om. *GmP*

δῶν τοῦ περισσοῦ τρίτον ἀνὰ μέσον τι θεωρεῖται οἱονεὶ ἐξ ἀμφοτέρων εἰδοποιούμενον. τὸ καθ' αὑτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ὅταν ἀριθμὸς πρὸς τῷ κοινῷ μέτρῳ τῇ μονάδι ἔτι καὶ ἑτέρῳ μετρεῖταί τινι μέτρῳ καὶ διὰ τοῦτο δυνάμενος καὶ ἑτερώνυμον μέρος ἢ μέρη ἐπιδέξασθαι πρὸς τῷ παρωνύμῳ, πρὸς ἄλλον τινὰ ὁμοίως ἔχοντα ἀντεξεταζόμενος εὑρίσκεται μήτε κοινῷ μέτρῳ μετρηθῆναι δυνάμενος πρὸς ἐκεῖνον, μήτε τὸ αὐτὸ ὁμώνυμον μέρος ἔχων τῶν ἁπλῶς ἐν ἐκείνῳ· οἷον ὁ θ πρὸς τὸν κε· ἑκάτερος γὰρ καθ' ἑαυτὸν δεύτερός ἐστι καὶ σύνθετος, πρὸς δὲ ἀλλήλους μονάδι μόνῃ κοινῷ μέτρῳ χρῶνται καὶ οὐδὲν μόριον ὁμωνυμεῖ ἐν ἀμφοτέροις, ἀλλὰ τὸ ἐν τούτῳ τρίτον οὐκ ἔστιν ἐν ἐκείνῳ οὐδὲ τὸ ἐν ἐκείνῳ πέμπτον ἐν τούτῳ εὑρίσκεται.

Ἡ δὲ τούτων γένεσις ὑπὸ Ἐρατοσθένους καλεῖ- 2
ται κόσκινον, ἐπειδὴ ἀναπεφυρμένους τοὺς περισσοὺς λαβόντες καὶ ἀδιακρίτους ἐξ αὐτῶν τῇ τῆς γενέσεως μεθόδῳ ταύτῃ διαχωρίζομεν, ὡς δι' ὀργάνου ἢ κοσκίνου τινὸς καὶ ἰδίᾳ μὲν τοὺς πρώτους καὶ ἀσυνθέτους, ἰδίᾳ δὲ τοὺς δευτέρους καὶ συνθέ-

---

2. κατ' αὐτὸ m — 4. κοινῷ μ.] μέτρῳ om. S — 5. ἔτι om. H — μετρῆται C μετρούμενος H — τινὶ μ.] μέτρῳ om. C — 8. παρεξεταζόμενος S ἐξεταζ. H — εὑρίσκηται C — 9. 10. τὸ αὐτὸ om. CS — 10. παρώνυμον S — ἔχειν SH — τοῖν ἁπλ. P — 11. ἑκάτερ G_1 ος G_2 — 15. 16. ἐν τούτῳ om. H

XIII. 2. Περὶ τῆς γενέσεως τῶν τρίων τούτων εἰδῶν τοῦ περισσοῦ μ — 19. λαβόντον P λαμβάνοντες S — 21. μὲν G_2 ex ἐς

3 τους, χωρὶς δὲ τοὺς μικτοὺς εὑρίσκομεν. ἔστι δὲ ὁ τρόπος τοῦ κοσκίνου τοιοῦτος· ἐκθέμενος τοὺς ἀπὸ

---

2. *G* hoc apponit schema:

γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ	κα	κγ	κε	κζ	κϑ	λα	λγ	λε	λζ	λϑ	μα

τὸ Ἐρατοσθένειον κόσκινον τοιοῦτόν ἐστι.

et paullo infra hocce:

γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ	κα	κγ	κε	κζ	κϑ	λα	λγ	λε	λζ	λϑ	μα
		μγ	με	μζ	μϑ	να	νγ	νε	νζ	νϑ	ξα	ξγ	ξε	ξζ	ξϑ	οα	ογ	οε	οζ
		οϑ	πα	πγ	πε	πζ	πϑ	ϙα	ϙγ	ϙε	ϙζ	ϙϑ	ρα	ργ	ρε	ρζ	ρϑ	ρια	ριγ
		ριε	ριζ	ριϑ	ρκα	ρκγ	ρκε	ρκζ	ρκϑ	ρλα	ρλγ	ρλε	ρλζ	ρλϑ	ρμα	ρμγ	ρμε	ρμζ	ρμϑ

Ἐρατοσθένειον καὶ τοῦτο κόσκινον.

18 τριάδος πάντας ἐφεξῆς περισσοὺς ὡς δυνατὸν μάλιστα ἐπὶ μήκιστον στίχον, ἀρξάμενος ἀπὸ τοῦ πρώτου ἐπισκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω δυνατὸν ὄντα τοὺς δύο μέσους παραλείποντας μετρεῖν, μέχρις οὗ ἂν προχωρεῖν ἐθέλωμεν, οὐχ

---

ex eorum, quae in cod. reliquis reperiuntur, numero id sufficiat adponere diagramma, quod cod. Ciz. praebet:

τὸ Ἐρατοσθένειον κόσκινον.

γ	ε	ζ	γ ϑ γ	ια	ιγ	γ ιε ε	ιζ
ιϑ	γ κα ζ	κγ	ε κε ε	γ κζ ϑ	κϑ	λα	γ λγ ια
ε λε ζ	λζ	γ λϑ ιγ	μα	μγ	γ ε με ιε ϑ	μζ	ζ μϑ ζ
γ να ιζ	νγ	ε νε ια	γ νζ ιϑ	νϑ	ξα	γ ζ ξγ κα ϑ	ε ξε ιγ
ξζ	γ ξϑ κγ	οα	ογ	γ [ε] οε κε [ιγ]	οζ	οϑ	ϑ γ πα ϑ κζ
πγ	[ε] πε [ιε]	[γ] πζ [κϑ]	πϑ	[ζ] ϟα [ιε]	[γ] ϟγ [λα]	[ε] ϟε [ιϑ]	ϟζ

uncis inclusa addidi. de cribro Eratosthenis conf. Mich. Constantini Pselli *σύνταγμα εἰς τὰς τέσσαρας μαθηματικὰς ἐπιστήμας, ἀριθμητικὴν κτλ.* ed. G. Xylander, Basil. 1556. p. 4.

1. *ἐφεξῆς*] *τοὺς* add. *G* *ἀριθμοὺς* add. *S* — 2. *στίχον* om. *H* — *πρωτίστου* *SH* Io. Phil. ρ — 3. *οἷόν τε* G_1m *οἷός τε* PG_2CSH Io. Phil. ρ. — *μετρεῖν*] *ἕκαστος* add. *PCSH* — 4. *δυνατὸν ὄντα* om. *C* *τὸν πρῶτον ἤτοι τὸν γ* subiciunt PG_2CS, praem. *H* — *παραλείποντας* recte Ast; *παραλείποντα* *GP* *διαλείποντας* *C* Io. Phil. ρ. ρα *διαλείποντα* *SH* *παραλιπόντας* Iambl. 39. — 5. *μετρεῖν* om. *H* — *ἂν* om. *GP* *ἐθέλομεν* *P* *ἐθέλοιμεν* *C*

*ὡς ἔτυχε δὲ καὶ εἰκῆ μετροῦντα, ἀλλὰ τὸν μὲν πρώ-
τως κείμενον, τουτέστι τὸν δύο μέσους ὑπερβαίνοντα
κατὰ τὴν τοῦ πρωτίστου ἐν τῷ στίχῳ κειμένου πο-
σότητα μετρήσει, τουτέστι κατὰ τὴν ἑαυτοῦ· τρὶς
γάρ· τὸν δ' ἀπ' ἐκείνου δύο διαλείποντα κατὰ τὴν
τοῦ δευτέρου τεταγμένου· πεντάκις γάρ· τὸν δὲ
περαιτέρω πάλιν δύο διαλείποντα κατὰ τὴν τοῦ τρι-
του τεταγμένου· ἑπτάκις γάρ· τὸν δὲ ἔτι περαιτέρω
ὑπὲρ δύο κείμενον κατὰ τὴν τοῦ τετάρτου τεταγ-
μένου· ἐνάκις γάρ· καὶ ἐπ' ἄπειρον τῷ αὐτῷ τρόπῳ.
4 εἶτα μετὰ τοῦτον ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὸν δεύτερον
ἐλθὼν σκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω
πάντας τοὺς τετράδα διαλείποντας, ἀλλὰ τὸν μὲν
πρῶτον κατὰ τὴν τοῦ ἐν τῷ στίχῳ πρώτου τεταγ-
μένου ποσότητα· τρὶς γάρ· τὸν δὲ δεύτερον κατὰ
τὴν τοῦ δευτέρου· πεντάκις γάρ· τὸν δὲ τρίτον
κατὰ τὴν τοῦ τρίτου· ἑπτάκις γάρ· καὶ τοῦτο ἐφε-
5 ξῆς ἀεί. πάλιν δὲ ἄνωθεν ὁ τρίτος ὁ ζ ὁ τὸ μέτρον
παραλαβὼν μετρήσει τοὺς ἓξ διαλείποντας, ἀλλὰ
τὸν μὲν πρώτιστον κατὰ τὴν τοῦ γ ποσότητα πρώ-
του κειμένου, τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ ε· δευ-
τεροταγὴς γὰρ οὗτος· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ ζ·
6 τρίτην γὰρ ἔχει καὶ οὗτος τάξιν ἐν τῷ στίχῳ. καὶ*

1. πρώτως] αὐτῶν add. *P* πρῶτον *H* Io. Phil. ρ — 2. τὸν δύο *m* ex τοὺς δύο corr. G_2 τὸν τοὺς δύο *PH* 3. 4. κειμένην . . μετρεῖ Io. Phil. ρ κειμένου Io. Phil. ρβ — 4. ἑαυτοῦ] ποσότητα add. *H* — 5. τὸν δ' ἀπ'] τὸν δὲ περαιτέρω πάλιν ἀπ' *C* — λείποντα *Gm* — κατὰ τὰ *m* — 7. περαιτέρου om. *CSH* — πάλιν] ἀπ' ἐκείνου add. *SH* — 8. τεταγμένου] ποσότητα add. *S* — ἑπτάκις γὰρ om. *H* — 10. ἐννεάκις *CSH* — 11. τοῦτο *H* — 12. οἷόν τε *GmP* — 13. τετράδα recte Ast, τετράδι codd. — 15. τρι^α *G* — 16. 17. τὸν δὲ τρ. . . γὰρ om. *H* — 20. τὸ μὲν *G* — γ] τρίτον *m* — 22. γὰρ G_2 in ras.

κατὰ τὴν αὐτὴν ἀναλογίαν διόλου ἀπαρεμπόδιστον προχωρήσει σοι τοῦτο, ὥςτε τὸ μὲν μετρεῖν διαδέξονται κατὰ τὴν ἐν τῷ στίχῳ αὐτῶν ἐγκειμένην τάξιν, τὸ δὲ πόσους διαλείποντας κατὰ τὴν ἀπὸ δυάδος ἐπ' ἄπειρον εὔτακτον τῶν ἀρτίων προκοπὴν ἢ κατὰ τὴν τῆς χώρας διπλασίασιν, καθ' ἣν ὁ μετρῶν τέτακται, τὸ δὲ ποσάκις κατὰ τὴν τῶν ἀπὸ τριάδος περισσῶν εὔτακτον προχώρησιν. ἐὰν οὖν σημείοις 7
τισὶν ἐπιστίξῃς τοὺς ἀριθμούς, εὑρήσεις τοὺς μεταλαμβάνοντας τὸ μετρεῖν οὔτε ἅμα πάντας τὸν αὐτόν ποτε μετροῦντας, ἔστι δὲ ὅτε οὐδὲ δύο τὸν αὐτόν,
p *οὔτε πάντας ἁπλῶς τοὺς ἐκκειμένους ὑποπίπτοντας*
19 *μέτρῳ τινὶ αὐτῶν, ἀλλὰ τινὰς μὲν παντελῶς διαφεύγοντας τὸ μετρηθῆναι ὑφ' οὑτινοςοῦν, τινὰς δὲ ὑπὸ ἑνὸς μόνου μετρουμένους, τινὰς δὲ ὑπὸ δύο ἢ καὶ πλειόνων. οἱ μὲν οὖν μηδαμῶς μετρηθέντες, ἀλλὰ* 8
διαφυγόντες τοῦτο πρῶτοί εἰσι καὶ ἀσύνθετοι, ὡς ὑπὸ κοσκίνου διακριθέντες, οἱ δὲ ὑπὸ ἑνὸς μόνου μετρηθέντες κατὰ τὴν ἑαυτῶν ποσότητα, ἓν μόνον μόριον ἑτερώνυμον ἕξουσι πρὸς τῷ παρωνύμῳ, οἱ δὲ ὑπὸ ἑνὸς μέν, ἑτέρου δὲ ποσότητι καὶ μὴ τῇ ἑαυτοῦ ἢ ὑπὸ δύο ὁμοῦ μετρηθέντες πλείονα ἕξουσι τὰ ἑτερώνυμα μέρη πρὸς τῷ παρωνύμῳ· οὗτοι οὖν ἔσονται δεύτεροι καὶ σύνθετοι. τὸ δὲ τρίτον μέρος τὸ κοινὸν 9

---

1. *αὐτὴν* G_2 corr. ex *αὐτοῦ* — *δι' ὅλον* *P* — 1. 2. *ἀπαραπόδιστον χωρήσει* *SH* — 3. *ἐγκειμένην* om. *CSH* — 4. *πόσους*] *τοσούτους* *C* — *ἀπὸ* G_2 ex *ὑπό* — 5. *τῶν* om. *P* — 8. *εὔτακτον*] *ἐπ' ἄπειρον* add. *SH* — 12. *κειμένους* *H* — 16. *οὐδαμῶς* *PC* — 18. *μόνου* om. *H* — 19. *μετρηθέντες*] *μέτρου* add. *H* — *ἑαυτοῦ* G_1 *ἐν αὐτῷ* *C* — 20. *ἑτερώνυμον* om. *C* — 21. *μὲν* om. G_1 — 23. 24. *οὗτοι . . . σύνθετοι* om. *GmH* *τοῦτοι* *PS* *οἱ δεύτ.* *S* *οὗτοι δὲ πάντες δεύτεροί εἰσι καὶ σύνθ.* *C* in mrg. — 24. *μέρος*] *εἶδος* *CSH*

ἀμφοτέρων, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθε-
τον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ἔσονται
οἱ ἀποτελούμενοι ἀριθμοὶ κατὰ τὴν ἑαυτοῦ ποσό-
τητα πρώτου καὶ ἀσυνθέτου μετρήσαντός τινος, εἴ
τις γενόμενος συγκρίνοιτο πρὸς ἄλλον ὡςαύτως τὴν
γένεσιν ἔχοντα· ὥςπερ ὁ θ (ἐγίνετο ἐκ τοῦ γ κατὰ
τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, τρὶς γάρ), εἰ
συγκρίνοιτο πρὸς τὸν κε (ἐγίνετο ἐκ τοῦ ε κατὰ τὴν
ἑαυτοῦ ποσότητα μετρήσαντος, πεντάκις γάρ), κοι-
10 νὸν μέτρον τούτοις οὐδέν, εἰ μὴ μονάς. ὡς δ' ἂν
καὶ μέθοδον ἔχοιμεν διαγνωστικὴν τῶν πρὸς ἀλλή-
λους ἤτοι πρώτων καὶ ἀσυνθέτων ἢ δευτέρων καὶ
συνθέτων, ὅτι ἐκείνων μὲν κοινὸν μέτρον μονάς ἐστι,
τούτων δὲ πρὸς τῇ μονάδι καὶ ἕτερός τις ἀριθμός,
11 καὶ ποῖος οὗτος ὑπάρχει. εἰ ὁρισθείησαν ἡμῖν δύο
περισσοὶ ἀριθμοί, προτείναντός τινος καὶ ἐπιτάξαν-
τος διαγνῶναι, πότερον πρῶτοι πρὸς ἀλλήλους καὶ
ἀσύνθετοί εἰσιν ἢ δεύτεροι καὶ σύνθετοι, καὶ εἰ
δεύτεροι καὶ σύνθετοι, ποῖος ἀριθμὸς αὐτῶν κοινὸν
μέτρον ἐστί, χρὴ ἀντισυγκρίνειν τοὺς προτεθέντας
ἀριθμοὺς καὶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος ἀεὶ
ἀφαιρεῖν, ὁσάκις δυνατόν, εἶτα τούτου ἀφαιρεθέν-
τος ἀνταφαιρεῖν ἀπὸ τοῦ λοιποῦ, ὁσάκις πάλιν δυ-

---

1. 2. οἱ καθ' ἑαυτοὺς μὲν δεύτεροι καὶ σύνθετοι, πρὸς ἄλλους [ἀλλήλους H] δὲ πρῶτοι καὶ ἀσύνθετοι SH — 4. πρ. καὶ ἀσύνθ. om. C — 6. ἐγίνετο Gm — τοῦ γ] τοῦ τρίτου P — 8. ἐγίνετο ἐκ addidi; ἐγένετο γὰρ καὶ οὗτος ἐκ τοῦ ε CS om. rel. — 10. ἐν τούτοις C — οὐδὲν] ἕτερόν ἐστιν add. CS οὐκ ἔσται PH — μόνη μονὰς CS μόνη ἡ μον. PH — ὥςτ' ἂν Ast. — 11. μέθοδον] ἔφοδον CSH S in mrg. διδασκαλίας μέθοδον, cf. Io. Phil. ριγ. — 13. μόνη μονὰς C μόνον μον. S — 15. ὑπάρχῃ G — 16. περισσοὶ om. C — 22. ὑφαιρεῖν G_1mP — 22. 23. εἶτα . . . . δυνατὸν om. H

νατόν· ἡ γὰρ ἀντιπερίστασις αὕτη καὶ ἀνταφαίρεσις
ἀναγκαίως ἤτοι ἐπὶ μονάδα καταλήξει ἢ ἐπί τινα
ἕνα καὶ τὸν αὐτὸν ἀριθμόν, ἀναγκαίως δὲ περισσόν.
ὅταν μὲν οὖν ἐπὶ μονάδα αἱ ἀφαιρέσεις περαιωθῶσι, 12
p πρώτους καὶ ἀσυνθέτους αὐτοὺς ἀποφαίνουσι πρὸς
20 ἀλλήλους, ὅταν δὲ ἐπὶ ἕτερόν τινα ἀριθμὸν περισσὸν
τῇ ποσότητι διφορούμενον, δευτέρους λέγε εἶναι
πρὸς ἀλλήλους καὶ συνθέτους καὶ κοινὸν αὐτοῖς
εἶναι μέτρον αὐτὸν ἐκεῖνον τὸν διφορούμενον ἀριθ-
μόν· οἷον ἐὰν ὁ κγ προεβλήθη ἡμῖν καὶ ὁ με, ἄφελε
τὸν κγ ἀπὸ τοῦ με, λειφθήσεται κβ· τοῦτον ἀνταφ-
αιρῶν ἀπὸ τοῦ κγ, λοιπὴ μονάς· ταύτην ἀφαιρῶν
ἀπὸ τοῦ κβ, ὁσάκις δυνατόν, εἰς μονάδα καταλήξεις·
διὰ τοῦτο πρῶτοι καὶ ἀσύνθετοι πρὸς ἀλλήλους εἰσὶ
καὶ κοινὸν αὐτῶν μέτρον ἡ ἀπολειφθεῖσα μονάς.
εἰ δὲ ἑτέρους ἀριθμοὺς προθείη τις, τὸν κα καὶ τὸν 13
μθ, ἀφαιρῶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος· λείπεται
κη· εἶτα πάλιν ἐκ τούτου ἀφαιρῶ τὸν αὐτὸν κα
(δυνατὸν γάρ), λείπεται ζ· ταῦτα ἀνταφαιρῶ ἀπὸ
τοῦ κα, καταλείπεται ιδ· ἐξ ὧν πάλιν τὰ ζ ἀφαιρῶ
(δυνατὸν γάρ), λειφθήσεται ζ, ἑβδομάδα δὲ ἀπο

1. ἀντιπερίστασις] ἀντίβασις CSH — 2. καταλήξοι S — 3. καὶ τὸν αὐτὸν om. P — 4. μονάδος G — 5. ἀποφαίνου εἶναι PCSH — 6. ὅτε P — 7. ποσότητι] ἰσότητι H — 7. et 9. διφορούμενον] = iteratum. διαφορούμενον G_1mPS, ἀδιαφ., in mrg.: γρ. διφορούμενον G_2H; διφορ. C, in mrg. ἀδιαφορ. (cf. Camerar. explic. in Nicom. p. 12.) — 7. λέγει P — 10. ἐὰν om. H — προβληθῇ PCSH — ἄφελε] ἄφειλον H, in mrg. ἄφελε. ἀφαιρῶ C — 11. ἐλείφθησαν κβ S — ἀν' ἀφαιρῶ P ἀνταφαιρῶ C ἀφαιρῶ H — 12. ἀνταφαιρῶ CS ἀφαιρῶ H — 13. καταλήγει C — 15. αὐτοῖς S — μετρῶν H — ἀποληφθ. C — 16. προςθείη PS — 17. ἀφαιρῶν G — 18. εἶτα] εἰ P — ἀφαιρῶ] ἐπαφ. S — 20. καταλείπεται P καταλίποιτο Gm λείπεται C λειφθήσεται SH — τὰ αὐτὰ ζ CS τὰ ζ ἐπεὶ P — 21. λείπεται C — ἑβδομὰς . . . δύναται SH ἐκδ. P ut solet.

ἑβδομάδος οὐ δυνατόν ἀφαιρεθῆναι· ἡ ἄρα κατάληξις αὐτῶν εἰς διφορούμενον τὸν ζ ἐπεραιώθη, δευτέρους δὲ καὶ συνθέτους πρὸς ἀλλήλους ἀποφαίνου τοὺς ἐξ ἀρχῆς τὸν κα καὶ τὸν μθ καὶ κοινὸν αὐτῶν μέτρον πρὸς τῇ καθολικῇ μονάδι τὸν ζ.

XIV *ιδ. Πάλιν δὲ ἄνωθεν· τῶν ἁπλῶς ἀρτίων ἀριθ-*
μῶν οἱ μέν εἰσιν ὑπερτελεῖς, οἱ δὲ ἐλλιπεῖς, καθάπερ
ἀκρότητες ἀντικείμεναι ἀλλήλαις, οἱ δὲ ἀνὰ μέσον
2 *ἀμφοτέρων, οἳ καὶ λέγονται τέλειοι. καὶ εἰσὶν οἱ*
μὲν ἀντικεῖσθαι λεγόμενοι ἀλλήλοις ὑπερτελεῖς τε
καὶ ἐλλιπεῖς ἐν τῇ τῆς ἀνισότητος σχέσει διαι-
ρούμενοι εἴς τε τὸ πλέον καὶ εἰς τὸ ἔλαττον·
ἕτερος γὰρ παρὰ ταῦτα τρόπος ἀνισότητος οὐκ ἂν
ἐπινοηθείη, καθάπερ οὔτε κακία οὔτε νόσος οὔτε
ἀσυμμετρία οὔτε ἀπρέπεια οὔτε τῶν τοιούτων ἕκαστον·
ἐν μὲν γὰρ τῷ πλείονι αἵ τε ὑπερβολαὶ καὶ πλεο-
νεξίαι καὶ ὑπερεκπτώσεις καὶ περισσότητες γίνονται,
ἐν δὲ τῷ ἐλάττονι αἱ ἔνδειαι καὶ ἐλλείψεις καὶ στε-
ρήσεις καὶ ὀλιγοεξίαι, ἐν δὲ τῷ μεταξὺ τοῦ πλέον
καὶ τοῦ ἔλαττον κειμένῳ, ὅ ἐστιν ἴσῳ, ἀρεταί τε καὶ

XIV. Io. Phil. *ριδ.* — Iambl. p. 42. 43. — Theon. 32. — Boëth. I. 15. — Schol. *ΝΓ* Nobb. p. 9.

---

2. *διφορούμενον GmC διαφορ. P ἀδιαφορ. SH* — 3. *δὲ Gm ὁ P οὖν CSH* — *ἀποφαίνομαι C -ω S* — 4. *ἀρχῆς*] *ἀριθμοὺς* add. *H*

XIV. *Περὶ τῶν τοῦ ἀρτίου εἰδῶν κατὰ δεύτερον [δευτέραν m] διαίρεσιν Gm κατ' ἐπιδιαίρεσιν C Ἐπιδιαίρεσις τῶν τριῶν. περὶ ἀριθμοῦ τελείου, ὑπερτελοῦς καὶ ἐλλιποῦς S Περὶ τελείων καὶ ὑπερτελῶν καὶ ἐλλιπῶν H* — 8. *ἀντικείμενοι ἀλλήλοις SH* — 9. *τέλειοι καὶ εἰσίν. οἱ GP* — 11. *ἀνισότητ* G_1 *ος* G_2 — 11. *διαιρούμενον P* — 15. *οὔτε ἀπρέπ.*] *ἢ ἀπρέπ. S* — 19. *ὀλιγεξίαι C* — *πλέονος P πλείονος CH* 20. *ἐλάττονος PCH* — *ἴσον P*

ὑγεῖαι καὶ μετριότητες καὶ εὐπρέπειαι καὶ κάλλη καὶ τὰ ὅμοια· ὧν γενικώτατον τὸ λεχθὲν τοῦ ἀριθμοῦ εἶδος τὸ τέλειον.

Ὑπερτελὴς μὲν οὖν ἀριθμὸς ὁ ὑπὲρ τὰ προσή- 3
P κοντα αὐτῷ καὶ ἐπιβάλλοντα μέρη ἔχων ἕτερα πλεί-
21 ονα· ὡς ἂν εἴ τι ζῷον πλείοσι μέρεσιν ἢ μέλεσι τελεσιουργούμενον εἴη, δέκα μὲν γλώσσας ἔχον κατὰ τὸν ποιητήν, δέκα δὲ στόματα, ἢ ἐννεάχειλον ἢ τριστοίχοις κεχρημένον ὀδοῦσιν ἢ ἑκατόγχειρον ἢ πλείονας δακτύλους ἐν ἑτέρᾳ τῶν χειρῶν ἔχον, οὕτω καὶ εἴ τις ἀριθμὸς πάντων τῶν ἐν αὐτῷ μερῶν ἐξετασθέντων καὶ εἰς ἓν ἄθροισμα συγκεφαλαιωθέντων ἀντεξεταζόμενος εὑρίσκοιτο πλείονα τὰ ἴδια μέρη ἑαυτοῦ ἔχων, ὑπερτελὴς οὗτος καλεῖται· ὑπερβαίνει γὰρ τὴν τοῦ τελείου πρὸς τὰ ἑαυτοῦ μέρη συμμετρίαν· οἷός ἐστιν ὁ ιβ, ὁ κδ καὶ ἄλλοι τινές· ἔχει μὲν γὰρ ὁ ιβ ἥμισυ ς, τρίτον δ, τέταρτον γ, ἕκτον β, δωδέκατον α, ἅπερ ὁμοῦ συγκεφαλαιωθέντα ποιεῖ ις, ὅς πλείων ἐστὶ τοῦ ἐξ ἀρχῆς ιβ· τὰ ἄρα μέρη αὐτοῦ πλείονα τοῦ ὅλου ὑπάρχει. ὁ δὲ κδ ἔχει καὶ 4
αὐτὸς ἥμισυ, τρίτον, τέταρτον, ἕκτον, ὄγδοον, δωδέκατον, εἰκοστοτέταρτον, ἅπερ ὑπάρχει

ιβ, η, ς, δ, γ, β, α·

XIV, 3. *Περὶ τοῦ ὑπερτελοῦς ἀριθμοῦ G* [τοῦ om. *mCSHμ* ἀρ. om. *CSH*] — 4. ἀριθμὸς] ἐστιν add. *PCSH* — 5. ἐπιβάλοντα *P* — 6. ὡςανεὶ εἴ τι *P* — 7. τελεσιουργημένον C_2 τελεσιουργημένον C_1 τετελεσιουργημένον *H* — 8. ποιητὴν] cf. Hom. Od. XII, 89 seq. — τριστίχοις *CH* — 9. ἑκατόγγειρον *P* ἑκατοντάχειρον *H* — 13. ἴδια om. *H* — 14. αὐτοῦ *Gm*, om. *P* — καλεῖται] κλητέος *SH* κλητέον *μ* — ὑπερβάλλει *S* — 16. οἷόν *P* — 17. δ] δευτέρῳ *P* — 17. 18. ς, δ, γ, β, α om. *H* post δωδ. add. ἅπερ ἐστὶ ς, δ, γ, β, α. — 18. ὁμοῦ] πάντα add. *S* — 20. τοῦ ὅλου] τοῦ ιβ *C* — 21—23. ἥμισυ ... α] ἥμ. ιβ, τρ. η, τέτ. ς, ἕκτ. δ, ὄγδ. γ, δωδ. β, εἰκοστ. α

συγκεφαλαιωθέντα δὲ συνάγει τὸν λς, ὃς συγκρινόμενος τῷ ἐξ ἀρχῆς τῷ κδ μείζων αὐτοῦ εὑρίσκεται, καίτοι ἐκ τῶν ἐκείνου μερῶν μόνων συντεθείς· πλείονα ἄρα κἀνταῦθα τὰ μέρη τοῦ ὅλου.

XV *ιε. Ἐλλιπὴς δὲ ἀριθμός ἐστιν ὁ τὸ ἐναντίον τοῖς δειχθεῖσι πεπονθὼς καὶ τὰ ἑαυτοῦ μέρη συντεθέντα ὑφ' ἓν κατὰ σύγκρισιν ἑαυτοῦ ἐλάττονα κεκτημένος, ὡς εἴ τι ζῶον τῶν κατὰ φύσιν μελῶν ἢ μερῶν ἐλαττοῦται, ἢ εἴ τις μονόφθαλμος εἴη, ὡς τὸ*

κυκλοτερὴς δ' ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ,

ἢ εἴ τις μονόχειρ εἴη ἢ ἐν ἑτέρᾳ τῶν χειρῶν ἐλάττονας τῶν ε δακτύλους κεκτημένος εἴη ἢ ἄγλωσσος ἢ τοιούτου τινὸς ἐστερημένος, ἐλλιπὴς ἂν ὁ τοιοῦτος λέγοιτο καὶ οἱονεὶ πηρὸς κατὰ τὴν τοῦ ἀριθμοῦ ἰδιότητα τοῦ ἔχοντος τὰ ἴδια μέρη ἐλάττονα ἑαυτοῦ· οἷός ἐστιν ὁ η, ὁ ιδ· ὁ μὲν γὰρ η μέρος ἔχει ἥμισυ, τέταρτον, ὄγδοον, ἅπερ ἐστὶ

δ, β, α,

συγκεφαλαιωθέντα δὲ εἰς τὸ αὐτὸ ζ γίνονται καὶ ἐλάττονα τοῦ ἐξ ἀρχῆς· τὰ ἄρα μέρη ἐλλείπει πρὸς

2 *τὴν τοῦ ὅλου συμπλήρωσιν. πάλιν ὁ ιδ ἔχει ἥμισυ, ἕβδομον, τεσσαρεσκαιδέκατον, ἅπερ εἰσὶν*

XV. Iambl. p. 43. 44. — Theon. 32. — Boëth. I. 15.

---

3. *μόνων* om. *P* *μόνον H* — *συνθεθείς P*

XV. *Περὶ ἐλλιποῦς ἀριθμοῦ Gm* [*ἀρ.* om. *CSH*] *περὶ ἀτελοῦς ἀρ. μ* — 8. *φύσιν*] *αὐτοῦ* subicit *H* — *ἐλαττοῖτο CSH* — 9. *ἢ . . . εἴη CμΓ* — 10. cf. Hes. Theog. 145. — *μετόπῳ P* — 11. *μονόχειρον P* — 12. *τῶν ε δακτύλων ἔχων ἢ εἰ ἄγλωσσος εἴη C* *τῶν πάντων δακτύλων ἔχων εἴη ἢ ἄγλ. SH* — 13. *τινὸς ἑτέρου S* — 15. *ἰδιότητα*] *ὁμοιότητα CSH* — 16. *μέρος*] *-η SH* — 17—19. *ὅπερ . . . γίνεται SH* — 20. *ἐλλείπει*] *ἐλλιπῆ SH* — *πρὸς*] *εἰς C* — 21. *πάλιν* om. *SH* — *εἰσὶν*] *ὑπάρχει SH*

ζ, β, α,

σύμπαντα δὲ ὁμοῦ ι, ἐλάττονα τοῦ ἐξ ἀρχῆς· ἐλλείπει ἄρα καὶ οὗτος ἐν τοῖς μέρεσι πρὸς τὸ συμπληρωθῆναι τὸ ὅλον ἐξ αὐτῶν.

P 22 ις. Ἀντικειμένων δὲ τῶν δύο τούτων εἰδῶν ὡς- XVI
6 ανεὶ ἐν ἀκροτήτων τρόπῳ μεσότης φαίνεται ὁ λεγόμενος τέλειος ἐν ἰσότητι εὑρισκόμενος καὶ οὔτε τὰ μέρη ἑαυτοῦ πλείονα ἀποτελῶν συντεθέντα οὔτε ἑαυτὸν μείζονα τῶν μερῶν ἀποφαίνων, ἀλλ' αἰεὶ ἴσος τοῖς ἑαυτοῦ μέρεσιν ὑπάρχων· τὸ δὲ ἴσον τοῦ πλείονος καὶ ἐλάττονος πάντως ἐν μεταιχμίῳ θεωρεῖται καὶ ἔστιν ὥςπερ τὸ μέτριον τοῦ ὑπερβάλλοντος καὶ τοῦ ἐλλείποντος μεταξὺ καὶ τὸ ὁμόφωνον τοῦ ὀξυτέρου καὶ βαρυτέρου. ὅταν οὖν ἀριθμὸς 2
πάνθ', ὅσα ἐνδέχεται ἐν αὐτῷ εἶναι, μέρη συναχθέντα καὶ συγκεφαλαιωθέντα ἐν συγκρίσει τῇ πρὸς ἑαυτὸν ἔχων μήτε ὑπερβάλλῃ τῷ πλήθει αὐτὰ μήτε ὑπερβάλληται ὑπ' αὐτῶν, τότε ὁ τοιοῦτος τέλειος κυρίως λέγεται, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· οἷον ὁ ς καὶ ὁ κη· ὅ τε γὰρ ς ἔχει μέρη ἥμισυ, τρίτον, ἕκτον, ἅπερ εἰσὶ

XVI. Io. Phil. ριδ—ρκα. — Iambl. p. 44—48. — Theon. 32. — Boëth. I. 15. 16. — Schol. *ΝΓ* Nobb. p. 9.

---

3. *πληρωθῆναι H*

• XVI. *Περὶ τελείου ἀριθμοῦ Gmμ* [*ἀρ.* om. *CSH*] — 5. *ὡςεὶ S* — 8. *πλείονα*] *ποτε* add. *H* — *ἀποτελεῖ S* — 9. *μείζονα* om. *SH*, qui post *ἀποφ.* add. *ἐλάσσω. καὶ αἰεὶ GP* — 10. *ἑαυτοῦ*] *ἰδίοις SH* — 11. *πλέον καὶ ἔλαττον S* — 13. *τὸ* om. G_1P — *εὔφωνον S* — 15. *ἑαυτῷ* G_2 — *εἶναι* om. *H* — 16. *συγκεφαλαιωθέντα* om. *S* — 17. *αὐτὸν H* — *ὑπερβάλλων G* *-ει P* — 18. *ὑπερβάληται Gm* *-λλεται P* — 19. *ἑαυτοῦ*] *ἰδίοις SH* — *ὤν* om. *H* — *οἷός ἐστιν CSH* — 21. *ἐστὶ SH*

γ, β, α,

ἅπερ συγκεφαλαιωθέντα ὁμοῦ καὶ γενόμενα ϛ ἴσα τῷ ἐξ ἀρχῆς ὑπάρχει καὶ οὔτε πλείονα οὔτε ἐλάττονα· καὶ ὁ κη μέρη μὲν ἔχει ἥμισυ, τέταρτον, ἕβδομον, τεσσαρεςκαιδέκατον, εἰκοστόγδοον, ἅπερ γίνεται

ιδ, ζ, δ, β, α,

καὶ ὑφ' ἓν συναθροισθέντα ἀποτελεῖ τὸν κη καὶ οὕτως οὔτε τὰ μέρη πλείονα τοῦ ὅλου οὔτε τὸ ὅλον τῶν μερῶν, ἀλλ' ἡ σύγκρισις ἐν ἰσότητι, ὅπερ τε-
3 λείου ἰδιότης. συμβέβηκε δέ, καθάπερ τὰ καλὰ τά τε κατ' ἀρετὴν σπάνια καὶ εὐαρίθμητα, τὰ δὲ αἰσχρὰ καὶ ἐν κακίᾳ εἶναι πολύχοα, οὕτω καὶ ὑπερτελεῖς μὲν καὶ ἐλλιπεῖς παμπύλλους καὶ ἀτάκτους εὑρίσκεσθαι ἀκόσμου οὔσης τῆς αὐτῶν εὑρέσεως, τελείους δὲ εὐαριθμήτους τε καὶ τεταγμένους μετὰ προςήκοντος κόσμου· εἷς μὲν γὰρ μόνος εὑρίσκεται ἐν μονάσιν ὁ ϛ, ἕτερος δὲ μόνος ἐν δεκάσιν ὁ κη, τρίτος δέ τις ἐν βαθμῷ ἑκατοντάδων μόνος ὁ υϟϛ, τέταρτος ὁ ἐν χιλιάδων ὅρῳ, τουτέστιν ὁ ἐντὸς μυριάδων ὁ ,ηρκη· καὶ παρέπεται αὐτοῖς μίαν παρὰ μίαν εἰς ἑξάδα ἢ ὀγδοάδα καταλήγειν καὶ πάντως εἶναι νὲ ἀρτίοις.

4 *Γένεσις δὲ αὐτῶν γλαφυρά τε καὶ ἀσφαλὴς οὔτε*

---

2. ἅπερ συγ.] ἃ P ἃ καὶ H — 5. εἰκοστοόγδοον S — γίνεται] εἰσὶ C γίνονται S — 7. ὑφ' ἓν ... κη] συγκεφαλαιωθέντα ὑφ' ἓν συντελεῖ αὐτὸν τὸν κη S ὑφ' ἓν κεφάλαιον ἀθροισθέντα ποιεῖ τὸν κη H — 9. ἥπερ SH — 12. εἶναι] ὑπάρχοντα H — 14. τελείου G_1mP — 15. μετὰ τοῦ πρ. S — ἐν προςήκοντι κόσμῳ H — 18. ἑκατοντάδος GmPH — 19. τουτέστιν ... μυρ. om. C μυριάδος S — 20. παρὰ μίαν] κατάληξιν add. CSH — 21. ἐν om. CSH — 22. ἀρτίους SH

XVI. 4. Περὶ γενέσεως [τῶν μ] τελείων Cμ Τελείων γένεσις S — 23. τε] τις C

παραλείπουσά τινα τῶν τελείων οὔτε ἀδιαφοροῦσά τινα τῶν μὴ τοιούτων τούτῳ γινομένη τῷ τρόπῳ. ἐκθέσθαι δεῖ τοὺς ἀπὸ μονάδος ἀρτιάκις ἀρτίους προβιβάζοντα ἑξῆς ἐν ἑνὶ στίχῳ, μέχρις οὗ βούλει,

α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνϛ, φιβ, ͵ακδ, ͵βμη, ͵δϟϛ,

P 23 *εἶτα ἀεὶ κατὰ ἑνὸς πρόςθεσιν ἐπισωρεύειν, καὶ καθ' ἑκάστην ἐπισώρευσιν σκοπεῖν τὸν γινόμενον, οἷός ἐστι· καὶ ἂν μὲν εὕρῃς πρῶτον καὶ ἀσύνθετον ὑπάρχοντα, τῇ τοῦ ἐσχάτου προςληφθέντος ποσότητι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ ἀποτελεσθεὶς πάντως τέλειος ἔσται· ἐὰν δὲ δεύτερον καὶ σύνθετον, οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς καὶ πάλιν ἐπισκέψῃ, τίς ὁ ἀποτελούμενος, καὶ ἐὰν μὲν δεύτερος καὶ σύνθετος, πάλιν παραλείψεις καὶ οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς, ἐὰν δὲ πρῶτος καὶ ἀσύνθετος, τῷ ἐσχάτῳ εἰς τὴν σύνθεσιν παραληφθέντι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ γινόμενος τέλειος ἔσται, καὶ τοῦτο μέχρις ἀπείρου· παραπλησίως πάντας ἑξῆς ἀπογεννήσεις τοὺς τελείους μηδενὸς παραλειπομένου· οἷον τῷ α ἐπισωρεύω τὸν*

---

1. *///δι///φοροῦσα G διαφοροῦσα S* — 2. *τῶν μὴ τοιούτων* om. *SH* — *τούτῳ .. τῷ] τοιούτῳ γιν. SH* — 3. *δεῖ τοὺς* om. *P* — 4. *προβιβάζοντας PSH* — *ἑνὶ* om. *S* — 5. *σνϛ] ϟνϛ P* — *͵δϟϛ] νϟϛ GP* omnes post *ρκη* numeros om. *ΗΓ* — 6. *πρόθεσιν* G_1 — 7. *ἕκαστον ἐπισωρεύουσιν P* — 8. *καὶ ἂν] ὡς ἂν P* — 9. *πολυπλασιάζεις S* — 11. *πολυπλασιάσεις S* — 12. *προςεπισωρεύσῃς S* — 14. *πολλαπλασιάσῃς P* — 15. *ἐπισωρεύσῃς P ἐποίσεις SH* — 16. *ἐσχάτῳ] ὑστάτῳ CSH* — *σύνθεσιν] σύγκρισιν S* — 17. *παραληφθέντι CS -λειφθέντι* cet. — *γινόμενος] πάντως* add. *CSH* — 19. *παραπλησίου P ποιῶν* add. G_2 *CSH* — *ἐφεξῆς γεννήσεις CS* — 20. *παραλειπομένου] ἀπολειπομένου* Ast. 'in omnibus paene codicibus (*GmPS*) librariorum oscitantia huic uerbo eam subiunxit numerorum seriem, quam codices *ΗΓ* recte supra (l. 5.) inserunt. *C* haecce addit: *Οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν ἐφεξῆς οἱ ἀπὸ μονάδος*

ὡς ἔτυχε δὲ καὶ εἰκῇ μετροῦντα, ἀλλὰ τὸν μὲν πρώ-
τως κείμενον, τουτέστι τὸν δύο μέσους ὑπερβαίνοντα
κατὰ τὴν τοῦ πρωτίστου ἐν τῷ στίχῳ κειμένου πο-
σότητα μετρήσει, τουτέστι κατὰ τὴν ἑαυτοῦ· τρὶς
γάρ· τὸν δ' ἀπ' ἐκείνου δύο διαλείποντα κατὰ τὴν
τοῦ δευτέρου τεταγμένου· πεντάκις γάρ· τὸν δὲ
περαιτέρω πάλιν δύο διαλείποντα κατὰ τὴν τοῦ τρι-
του τεταγμένου· ἑπτάκις γάρ· τὸν δὲ ἔτι περαιτέρω
ὑπὲρ δύο κείμενον κατὰ τὴν τοῦ τετάρτου τεταγ-
μένου· ἐνάκις γάρ· καὶ ἐπ' ἄπειρον τῷ αὐτῷ τρόπῳ.
4 εἶτα μετὰ τοῦτον ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὸν δεύτερον
ἐλθὼν σκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω
πάντας τοὺς τετράδα διαλείποντας, ἀλλὰ τὸν μὲν
πρῶτον κατὰ τὴν τοῦ ἐν τῷ στίχῳ πρώτου τεταγ-
μένου ποσότητα· τρὶς γάρ· τὸν δὲ δεύτερον κατὰ
τὴν τοῦ δευτέρου· πεντάκις γάρ· τὸν δὲ τρίτον
κατὰ τὴν τοῦ τρίτου· ἑπτάκις γάρ· καὶ τοῦτο ἐφε-
5 ξῆς ἀεί. πάλιν δὲ ἄνωθεν ὁ τρίτος ὁ ζ ὁ τὸ μέτρον
παραλαβὼν μετρήσει τοὺς ἓξ διαλείποντας, ἀλλὰ
τὸν μὲν πρώτιστον κατὰ τὴν τοῦ γ ποσότητα πρώ-
του κειμένου, τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ ε· δευ-
τεροταγὴς γὰρ οὗτος· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ ζ·
6 τρίτην γὰρ ἔχει καὶ οὗτος τάξιν ἐν τῷ στίχῳ. καὶ

1. πρώτως] αὐτῶν add. *P* πρῶτον *H* Io. Phil. ϱ — 2. τὸν δύο *m* ex τοὺς δύο corr. G_2 τὸν τοὺς δύο *PH* 3. 4. κειμένην . . μετρεῖ Io. Phil. ϱ κειμένου Io. Phil. ϱβ — 4. ἑαυτοῦ] ποσότητα add. *H* — 5. τὸν δ' ἀπ'] τὸν δὲ περαιτέρω πάλιν ἀπ' *C* — λείποντα *Gm* — κατὰ τὰ *m* — 7. περαιτέρου om. *CSH* — πάλιν] ἀπ' ἐκείνου add. *SH* — 8. τεταγμένου] ποσότητα add. *S* — ἑπτάκις γὰρ om. *H* — 10. ἐννεάκις *CSH* — 11. τοῦτο *H* — 12. οἷόν τε *GmP* —
α
13. τετράδα recte Ast, τετράδι codd. — 15. τριι *G* — 16. 17. τὸν δὲ τρ. . . γὰρ om. *H* — 20. τὸ μὲν *G* — γ] τρίτον *m* — 22. γὰρ G_2 in ras.

*κατὰ τὴν αὐτὴν ἀναλογίαν διόλου ἀπαρεμπόδιστον
προχωρήσει σοι τοῦτο, ὥςτε τὸ μὲν μετρεῖν διαδέξον-
ται κατὰ τὴν ἐν τῷ στίχῳ αὐτῶν ἐγκειμένην τάξιν,
τὸ δὲ πόσους διαλείποντας κατὰ τὴν ἀπὸ δυάδος
ἐπ' ἄπειρον εὔτακτον τῶν ἀρτίων προκοπὴν ἢ κατὰ
τὴν τῆς χώρας διπλασίασιν, καθ' ἣν ὁ μετρῶν τέ-
τακται, τὸ δὲ ποσάκις κατὰ τὴν τῶν ἀπὸ τριάδος
περισσῶν εὔτακτον προχώρησιν. ἐὰν οὖν σημείοις* 7
*τισὶν ἐπιστίξῃς τοὺς ἀριθμούς, εὑρήσεις τοὺς μετα-
λαμβάνοντας τὸ μετρεῖν οὔτε ἅμα πάντας τὸν αὐτόν
ποτε μετροῦντας, ἔστι δὲ ὅτε οὐδὲ δύο τὸν αὐτόν,*
p *οὔτε πάντας ἁπλῶς τοὺς ἐκκειμένους ὑποπίπτοντας*
19 *μέτρῳ τινὶ αὐτῶν, ἀλλὰ τινὰς μὲν παντελῶς διαφεύ-
γοντας τὸ μετρηθῆναι ὑφ' οὑτινοςοῦν, τινὰς δὲ ὑπὸ
ἑνὸς μόνου μετρουμένους, τινὰς δὲ ὑπὸ δύο ἢ καὶ
πλειόνων. οἱ μὲν οὖν μηδαμῶς μετρηθέντες, ἀλλὰ* 8
*διαφυγόντες τοῦτο πρῶτοί εἰσι καὶ ἀσύνθετοι, ὡς
ὑπὸ κοσκίνου διακριθέντες, οἱ δὲ ὑπὸ ἑνὸς μόνου
μετρηθέντες κατὰ τὴν ἑαυτῶν ποσότητα, ἓν μόνον
μόριον ἑτερώνυμον ἕξουσι πρὸς τῷ παρωνύμῳ, οἱ δὲ
ὑπὸ ἑνὸς μέν, ἑτέρου δὲ ποσότητι καὶ μὴ τῇ ἑαυτοῦ
ἢ ὑπὸ δύο ὁμοῦ μετρηθέντες πλείονα ἕξουσι τὰ ἑτε-
ρώνυμα μέρη πρὸς τῷ παρωνύμῳ· οὗτοι οὖν ἔσονται
δεύτεροι καὶ σύνθετοι. τὸ δὲ τρίτον μέρος τὸ κοινὸν* 9

---

1. *αὐτὴν* G_2 corr. ex *αὐτοῦ* — *δι' ὅλον* P — 1. 2. *ἀπαραπόδιστον χωρήσει* SH — 3. *ἐγκειμένην* om. CSH — 4. *πόσους*] *τοσούτους* C — *ἀπὸ* G_2 ex *ὑπὸ* — 5. *τῶν* om. P — 8. *εὔτακτον*] *ἐπ' ἄπειρον* add. SH — 12. *κειμένους* H — 16. *οὐδαμῶς* PC — 18. *μόνου* om. H — 19. *μετρηθέντες*] *μέτρον* add. H — *ἑαυτοῦ* G_1 *ἐν αὐτῷ* C — 20. *ἑτερώνυμον* om. C — 21. *μὲν* om. G_1 — 23. 24. *οὗτοι . . . σύνθετοι* om. GmH *τοῦτοι* PS *οἱ δεύτ.* S *οὗτοι δὲ πάντες δεύτεροί εἰσι καὶ σύνθ.* C in mrg. — 24. *μέρος*] *εἶδος* CSH

ἀμφοτέρων, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ἔσονται οἱ ἀποτελούμενοι ἀριθμοὶ κατὰ τὴν ἑαυτοῦ ποσότητα πρώτου καὶ ἀσυνθέτου μετρήσαντός τινος, εἴ τις γενόμενος συγκρίνοιτο πρὸς ἄλλον ὡσαύτως τὴν γένεσιν ἔχοντα· ὥςπερ ὁ θ (ἐγίνετο ἐκ τοῦ γ κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, τρὶς γάρ), εἰ συγκρίνοιτο πρὸς τὸν κε (ἐγίνετο ἐκ τοῦ ε κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, πεντάκις γάρ), κοι-
10 νὸν μέτρον τούτοις οὐδέν, εἰ μὴ μονάς. ὡς δ' ἂν καὶ μέθοδον ἔχοιμεν διαγνωστικὴν τῶν πρὸς ἀλλήλους ἤτοι πρώτων καὶ ἀσυνθέτων ἢ δευτέρων καὶ συνθέτων, ὅτι ἐκείνων μὲν κοινὸν μέτρον μονάς ἐστι, τούτων δὲ πρὸς τῇ μονάδι καὶ ἕτερός τις ἀριθμός,
11 καὶ ποῖος οὗτος ὑπάρχει. εἰ ὁρισθείησαν ἡμῖν δύο περισσοὶ ἀριθμοί, προτείναντός τινος καὶ ἐπιτάξαντος διαγνῶναι, πότερον πρῶτοι πρὸς ἀλλήλους καὶ ἀσύνθετοί εἰσιν ἢ δεύτεροι καὶ σύνθετοι, καὶ εἰ δεύτεροι καὶ σύνθετοι, ποῖος ἀριθμὸς αὐτῶν κοινὸν μέτρον ἐστί, χρὴ ἀντισυγκρίνειν τοὺς προτεθέντας ἀριθμοὺς καὶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος ἀεὶ ἀφαιρεῖν, ὁσάκις δυνατόν, εἶτα τούτου ἀφαιρεθέντος ἀνταφαιρεῖν ἀπὸ τοῦ λοιποῦ, ὁσάκις πάλιν δυ-

---

1. 2. οἱ καθ' ἑαυτοὺς μὲν δεύτεροι καὶ σύνθετοι, πρὸς ἄλλους [ἀλλήλους H] δὲ πρῶτοι καὶ ἀσύνθετοι SH — 4. πρ. καὶ ἀσύνθ. om. C — 6. ἐγίνετο Gm — τοῦ γ] τοῦ τρίτου P — 8. ἐγίνετο ἐκ addidi; ἐγένετο γὰρ καὶ οὗτος ἐκ τοῦ ε CS om. rel. — 10. ἐν τούτοις C — οὐδὲν] ἕτερόν ἐστιν add. CS οὐκ ἔσται PH — μόνη μονὰς CS μόνη ἡ μον. PH — ὥςτ' ἂν Ast. — 11. μέθοδον] ἔφοδον CSH S in mrg. διδασκαλίας μέθοδον, cf. Io. Phil. ριγ. — 13. μόνη μονὰς C μόνον μον. S — 15. ὑπάρχῃ G — 16. περισσοὶ om. C — 22. ὑφαιρεῖν G_1mP — 22. 23. εἶτα .... δυνατὸν om. H

νατόν· ἡ γὰρ ἀντιπερίστασις αὕτη καὶ ἀνταφαίρεσις ἀναγκαίως ἤτοι ἐπὶ μονάδα καταλήξει ἢ ἐπί τινα ἕνα καὶ τὸν αὐτὸν ἀριθμόν, ἀναγκαίως δὲ περισσόν.
4 ὅταν μὲν οὖν ἐπὶ μονάδα αἱ ἀφαιρέσεις περαιωθῶσι, 12
p πρώτους καὶ ἀσυνθέτους αὐτοὺς ἀποφαίνουσι πρὸς
20 ἀλλήλους, ὅταν δὲ ἐπὶ ἕτερόν τινα ἀριθμὸν περισσὸν τῇ ποσότητι διφορούμενον, δευτέρους λέγε εἶναι πρὸς ἀλλήλους καὶ συνθέτους καὶ κοινὸν αὐτοῖς εἶναι μέτρον αὐτὸν ἐκεῖνον τὸν διφορούμενον ἀριθμόν· οἷον ἐὰν ὁ κγ προεβλήθη ἡμῖν καὶ ὁ με, ἄφελε τὸν κγ ἀπὸ τοῦ με, λειφθήσεται κβ· τοῦτον ἀνταφαιρῶν ἀπὸ τοῦ κγ, λοιπὴ μονάς· ταύτην ἀφαιρῶν ἀπὸ τοῦ κβ, ὁσάκις δυνατόν, εἰς μονάδα καταλήξεις· διὰ τοῦτο πρῶτοι καὶ ἀσύνθετοι πρὸς ἀλλήλους εἰσὶ καὶ κοινὸν αὐτῶν μέτρον ἡ ἀπολειφθεῖσα μονάς.
εἰ δὲ ἑτέρους ἀριθμοὺς προθείη τις, τὸν κα καὶ τὸν 13
μθ, ἀφαιρῶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος· λείπεται κη· εἶτα πάλιν ἐκ τούτου ἀφαιρῶ τὸν αὐτὸν κα (δυνατὸν γάρ), λείπεται ζ· ταῦτα ἀνταφαιρῶ ἀπὸ τοῦ κα, καταλείπεται ιδ· ἐξ ὧν πάλιν τὰ ζ ἀφαιρῶ (δυνατὸν γάρ), λειφθήσεται ζ, ἑβδομάδα δὲ ἀπὸ

---

1. ἀντιπερίστασις] ἀντίβασις *CSH* — 2. καταλήξοι *S* — 3. καὶ τὸν αὐτὸν om. *P* — 4. μονάδος *G* — 5. ἀποφαίνου εἶναι *PCSH* — 6. ὅτε *P* — 7. ποσότητι] ἰσότητι *H* — 7. et 9. διφορούμενον] = *iteratum*. διαφορούμενον G_1m*PS*, ἀδιαφ., in mrg.: γρ. διφορούμενον G_2*H*; διφορ. *C*, in mrg. ἀδιαφορ. (cf. Camerar. explic. in Nicom. p. 12.) — 7. λέγει *P* — 10. ἐὰν om. *H* — προβληθῇ *PCSH* — ἄφελε] ἄφειλον *H*, in mrg. ἄφελε. ἀφαιρῶ *C* — 11. ἐλείφθησαν κβ *S* — ἀν' ἀφαιρῶ *P* ἀνταφαιρῶ *C* ἀφαιρῶ *H* — 12. ἀνταφαιρῶ *CS* ἀφαιρῶ *H* — 13. καταλήγει *C* — 15. αὐτοῖς *S* — μετρῶν *H* — ἀποληφθ. *C* — 16. προςθείη *PS* — 17. ἀφαιρῶν *G* — 18. εἶτα] εἰ *P* — ἀφαιρῶ] ἐπαφ. *S* — 20. καταλείπεται *P* καταλίποιτο *Gm* λείπεται *C* λειφθήσεται *SH* — τὰ αὐτὰ ζ *CS* τὰ ζ ἐπεὶ *P* — 21. λείπεται *C* — ἑβδομὰς . . . δύναται *SH* ἐκδ. *P* ut solet.

ἑβδομάδος οὐ δυνατὸν ἀφαιρεθῆναι· ἡ ἄρα κατάληξις αὐτῶν εἰς διφορούμενον τὸν ζ ἐπεραιώθη, δευτέρους δὲ καὶ συνθέτους πρὸς ἀλλήλους ἀποφαίνου τοὺς ἐξ ἀρχῆς τὸν κα καὶ τὸν μθ καὶ κοινὸν αὐτῶν μέτρον πρὸς τῇ καθολικῇ μονάδι τὸν ζ.

XIV ιδ. Πάλιν δὲ ἄνωθεν· τῶν ἁπλῶς ἀρτίων ἀριθμῶν οἱ μέν εἰσιν ὑπερτελεῖς, οἱ δὲ ἐλλιπεῖς, καθάπερ ἀκρότητες ἀντικείμεναι ἀλλήλαις, οἱ δὲ ἀνὰ μέσον
2 ἀμφοτέρων, οἳ καὶ λέγονται τέλειοι. καὶ εἰσὶν οἱ μὲν ἀντικεῖσθαι λεγόμενοι ἀλλήλοις ὑπερτελεῖς τε καὶ ἐλλιπεῖς ἐν τῇ τῆς ἀνισότητος σχέσει διαιρούμενοι εἴς τε τὸ πλέον καὶ εἰς τὸ ἔλαττον· ἕτερος γὰρ παρὰ ταῦτα τρόπος ἀνισότητος οὐκ ἂν ἐπινοηθείη, καθάπερ οὔτε κακία οὔτε νόσος οὔτε ἀσυμμετρία οὔτε ἀπρέπεια οὔτε τῶν τοιούτων ἕκαστον· ἐν μὲν γὰρ τῷ πλείονι αἵ τε ὑπερβολαὶ καὶ πλεονεξίαι καὶ ὑπερεκπτώσεις καὶ περισσότητες γίνονται, ἐν δὲ τῷ ἐλάττονι αἱ ἔνδειαι καὶ ἐλλείψεις καὶ στερήσεις καὶ ὀλιγοεξίαι, ἐν δὲ τῷ μεταξὺ τοῦ πλέον καὶ τοῦ ἔλαττον κειμένῳ, ὅ ἐστιν ἴσῳ, ἀρεταί τε καὶ

XIV. Io. Phil. ριδ. — Iambl. p. 42. 43. — Theon. 32. — Boëth. I. 15. — Schol. *ΝΓ* Nobb. p. 9.

---

2. *διφορούμενον GmC διαφορ. P ἀδιαφορ. SH* — 3. *δὲ Gm ὁ P οὖν CSH — ἀποφαίνομαι C -ω S* — 4. *ἀρχῆς] ἀριθμοὺς* add. *H*

XIV. *Περὶ τῶν τοῦ ἀρτίου εἰδῶν κατὰ δεύτερον [δευτέραν m] διαίρεσιν Gm κατ' ἐπιδιαίρεσιν C Ἐπιδιαίρεσις τῶν τριῶν. περὶ ἀριθμοῦ τελείου, ὑπερτελοῦς καὶ ἐλλιποῦς S Περὶ τελείων καὶ ὑπερτελῶν καὶ ἐλλιπῶν H* — 8. *ἀντικείμενοι ἀλλήλοις SH* — 9. *τέλειοι καὶ εἰσίν. οἱ GP* — 11. *ἀνισότητ* G_1 *ος* G_2 — 11. *διαιρούμενον P* — 15. *οὔτε ἀπρέπ.] ἢ ἀπρέπ. S* — 19. *ὀλιγεξίαι C — πλέονος P πλείονος CH* 20. *ἐλάττονος PCH — ἴσον P*

*ὑγεῖαι καὶ μετριότητες καὶ εὐπρέπειαι καὶ κάλλη καὶ
τὰ ὅμοια· ὧν γενικώτατον τὸ λεχθὲν τοῦ ἀριθμοῦ
εἶδος τὸ τέλειον.*

Ὑπερτελὴς μὲν οὖν ἀριθμὸς ὁ ὑπὲρ τὰ προςή- 3
P *κοντα αὐτῷ καὶ ἐπιβάλλοντα μέρη ἔχων ἕτερα πλεί-*
21 *ονα· ὡς ἂν εἴ τι ζῷον πλείοσι μέρεσιν ἢ μέλεσι
τελεσιουργούμενον εἴη, δέκα μὲν γλώσσας ἔχον κατὰ
τὸν ποιητήν, δέκα δὲ στόματα, ἢ ἐννεάχειλον ἢ τρι-
στοίχοις κεχρημένον ὀδοῦσιν ἢ ἑκατόγχειρον ἢ πλεί-
ονας δακτύλους ἐν ἑτέρᾳ τῶν χειρῶν ἔχον, οὕτω
καὶ εἴ τις ἀριθμὸς πάντων τῶν ἐν αὐτῷ μερῶν ἐξε-
τασθέντων καὶ εἰς ἓν ἄθροισμα συγκεφαλαιωθέντων
ἀντεξεταζόμενος εὑρίσκοιτο πλείονα τὰ ἴδια μέρη
ἑαυτοῦ ἔχων, ὑπερτελὴς οὗτος καλεῖται· ὑπερβαίνει
γὰρ τὴν τοῦ τελείου πρὸς τὰ ἑαυτοῦ μέρη συμμε-
τρίαν· οἷός ἐστιν ὁ ιβ, ὁ κδ καὶ ἄλλοι τινές· ἔχει
μὲν γὰρ ὁ ιβ ἥμισυ ς, τρίτον δ, τέταρτον γ, ἕκτον
β, δωδέκατον α, ἅπερ ὁμοῦ συγκεφαλαιωθέντα ποιεῖ
ις, ὅς πλείων ἐστὶ τοῦ ἐξ ἀρχῆς ιβ· τὰ ἄρα μέρη
αὐτοῦ πλείονα τοῦ ὅλου ὑπάρχει. ὁ δὲ κδ ἔχει καὶ* 4
*αὐτὸς ἥμισυ, τρίτον, τέταρτον, ἕκτον, ὄγδοον, δωδέ-
κατον, εἰκοστοτέταρτον, ἅπερ ὑπάρχει*

ιβ, η, ς, δ, γ, β, α·

XIV, 3. *Περὶ τοῦ ὑπερτελοῦς ἀριθμοῦ G* [*τοῦ* om. *mCSHμ* *ἀρ.* om. *CSH*] — 4. *ἀριθμὸς*] *ἐστιν* add. *PCSH* — 5. *ἐπιβάλοντα P* — 6. *ὡςανεὶ εἴ τι P* — 7. *τελεσιουρηγμένον* C_2 *ρηγμένον* C_1 *τετελεσιουργημένον H* — 8. *ποιητὴν*] cf. Hom. Od. XII, 89 seq. — *τριστίχοις CH* — 9. *ἑκατόγγειρον P* *ἑκατοντάχειρον H* — 13. *ἴδια* om. *H* — 14. *αὐτοῦ Gm*, om. *P* — *καλεῖται*] *κλητέος SH* *κλητέον μ* — *ὑπερβάλλει S* — 16. *οἷόν P* — 17. *δ*] *δευτέρῳ P* — 17. 18. *ς, δ, γ, β, α* om. *H* post *δωδ.* add. *ἅπερ ἐστι ς, δ, γ, β, α.* — 18. *ὁμοῦ*] *πάντα* add. *S* — 20. *τοῦ ὅλου*] *τοῦ ιβ C* — 21—23. *ἥμισυ ... α*] *ἥμ. ιβ, τρ. η, τέτ. ς, ἕκτ. δ, ὄγδ. γ, δωδ. β, εἰκοστ. α C*

συγκεφαλαιωθέντα δὲ συνάγει τὸν λς, ὃς συγκρινόμενος τῷ ἐξ ἀρχῆς τῷ κδ μείζων αὐτοῦ εὑρίσκεται, καίτοι ἐκ τῶν ἐκείνου μερῶν μόνων συντεθείς· πλείονα ἄρα κἀνταῦθα τὰ μέρη τοῦ ὅλου.

XV *ιε. Ἐλλιπὴς δὲ ἀριθμός ἐστιν ὁ τὸ ἐναντίον τοῖς δειχθεῖσι πεπονθὼς καὶ τὰ ἑαυτοῦ μέρη συντεθέντα ὑφ' ἓν κατὰ σύγκρισιν ἑαυτοῦ ἐλάττονα κεκτημένος, ὡς εἴ τι ζῷον τῶν κατὰ φύσιν μελῶν ἢ μερῶν ἐλαττοῦται, ἢ εἴ τις μονόφθαλμος εἴη, ὡς τὸ*

κυκλοτερὴς δ' ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ,

ἢ εἴ τις μονόχειρ εἴη ἢ ἐν ἑτέρᾳ τῶν χειρῶν ἐλάττονας τῶν ε δακτύλους κεκτημένος εἴη ἢ ἄγλωσσος ἢ τοιούτου τινὸς ἐστερημένος, ἐλλιπὴς ἂν ὁ τοιοῦτος λέγοιτο καὶ οἱονεὶ πηρὸς κατὰ τὴν τοῦ ἀριθμοῦ ἰδιότητα τοῦ ἔχοντος τὰ ἴδια μέρη ἐλάττονα ἑαυτοῦ· οἷός ἐστιν ὁ η, ὁ ιδ· ὁ μὲν γὰρ η μέρος ἔχει ἥμισυ, τέταρτον, ὄγδοον, ἅπερ ἐστὶ

δ, β, α,

συγκεφαλαιωθέντα δὲ εἰς τὸ αὐτὸ ζ γίνονται καὶ ἐλάττονα τοῦ ἐξ ἀρχῆς· τὰ ἄρα μέρη ἐλλείπει πρὸς
2 *τὴν τοῦ ὅλου συμπλήρωσιν. πάλιν ὁ ιδ ἔχει ἥμισυ, ἕβδομον, τεσσαρεσκαιδέκατον, ἅπερ εἰσὶν*

XV. Iambl. p. 43. 44. — Theon. 32. — Boëth. I. 15.

---

3. *μόνων* om. *P* *μόνον H* — *συνθεθείς P*

XV. *Περὶ ἐλλιποῦς ἀριθμοῦ Gm* [*ἀρ.* om. *CSH*] *περὶ ἀτελοὺς ἀρ. μ* — 8. *φύσιν*] *αὐτοῦ* subicit *H* — *ἐλαττοῖτο CSH* — 9. *ἢ . . . εἴη CμΓ* — 10. cf. Hes. Theog. 145. — *μετόπῳ P* — 11. *μονόχειρον P* — 12. *τῶν ε δακτύλων ἔχων ἢ εἰ ἄγλωσσος εἴη C τῶν πάντων δακτύλων ἔχων εἴη ἢ ἄγλ. SH* — 13. *τινὸς ἑτέρου S* — 15. *ἰδιότητα*] *ὁμοιότητα CSH* — 16. *μέρος*] *-η SH* — 17—19. *ὅπερ . . . γίνεται SH* — 20. *ἐλλείπει*] *ἐλλιπῆ SH* — *πρὸς*] *εἰς C* — 21. *πάλιν* om. *SH* — *εἰσὶν*] *ὑπάρχει SH*

ζ, β, α,

σύμπαντα δὲ ὁμοῦ ι, ἐλάττονα τοῦ ἐξ ἀρχῆς· ἐλλείπει ἄρα καὶ οὗτος ἐν τοῖς μέρεσι πρὸς τὸ συμπληρωθῆναι τὸ ὅλον ἐξ αὐτῶν.

P 22 ις. Ἀντικειμένων δὲ τῶν δύο τούτων εἰδῶν ὡςανεὶ ἐν ἀκροτήτων τρόπῳ μεσότης φαίνεται ὁ λεγόμενος τέλειος ἐν ἰσότητι εὑρισκόμενος καὶ οὔτε τὰ μέρη ἑαυτοῦ πλείονα ἀποτελῶν συντεθέντα οὔτε ἑαυτὸν μείζονα τῶν μερῶν ἀποφαίνων, ἀλλ' αἰεὶ ἴσος τοῖς ἑαυτοῦ μέρεσιν ὑπάρχων· τὸ δὲ ἴσον τοῦ πλείονος καὶ ἐλάττονος πάντως ἐν μεταιχμίῳ θεωρεῖται καὶ ἔστιν ὥςπερ τὸ μέτριον τοῦ ὑπερβάλλοντος καὶ τοῦ ἐλλείποντος μεταξὺ καὶ τὸ ὁμόφωνον τοῦ ὀξυτέρου καὶ βαρυτέρου. XVI

2 ὅταν οὖν ἀριθμὸς πάνθ', ὅσα ἐνδέχεται ἐν αὐτῷ εἶναι, μέρη συναχθέντα καὶ συγκεφαλαιωθέντα ἐν συγκρίσει τῇ πρὸς ἑαυτὸν ἔχων μήτε ὑπερβάλλῃ τῷ πλήθει αὐτὰ μήτε ὑπερβάλληται ὑπ' αὐτῶν, τότε ὁ τοιοῦτος τέλειος κυρίως λέγεται, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· οἷον ὁ ς καὶ ὁ κη· ὅ τε γὰρ ς ἔχει μέρη ἥμισυ, τρίτον, ἕκτον, ἅπερ εἰσὶ

XVI. Io. Phil. ριδ—ρκα. — Iambl. p. 44—48. — Theon. 32. — Boëth. I. 15. 16. — Schol. *ΝΓ* Nobb. p. 9.

---

3. *πληρωθῆναι H*

XVI. *Περὶ τελείου ἀριθμοῦ Gmμ* [*ἀρ.* om. *CSH*] — 5. *ὡςεὶ S* — 8. *πλείονα*] *ποτε* add. *H* — *ἀποτελεῖ S* — 9. *μείζονα* om. *SH*, qui post *ἀποφ.* add. *ἐλάσσω. καὶ αἰεὶ GP* — 10. *ἑαυτοῦ*] *ἰδίοις SH* — 11. *πλέον καὶ ἔλαττον S* — 13. *τὸ* om. G_1P — *εὔφωνον S* — 15. *ἑαυτῷ* G_2 — *εἶναι* om. *H* — 16. *συγκεφαλαιωθέντα* om. *S* — 17. *αὐτὸν H* — *ὑπερβάλλων G* *-ει P* — 18. *ὑπερβάληται Gm* *-λλεται P* — 19. *ἑαυτοῦ*] *ἰδίοις SH* — *ὢν* om. *H* — *οἷός ἐστιν CSH* — 21. *ἐστὶ SH*

γ, β, α,

ἅπερ συγκεφαλαιωθέντα ὁμοῦ καὶ γενόμενα ϛ ἴσα τῷ ἐξ ἀρχῆς ὑπάρχει καὶ οὔτε πλείονα οὔτε ἐλάττονα· καὶ ὁ κη μέρη μὲν ἔχει ἥμισυ, τέταρτον, ἕβδομον, τεσσαρεςκαιδέκατον, εἰκοστόγδοον, ἅπερ γίνεται

ιδ, ζ, δ, β, α,

καὶ ὑφ' ἓν συναθροισθέντα ἀποτελεῖ τὸν κη καὶ οὕτως οὔτε τὰ μέρη πλείονα τοῦ ὅλου οὔτε τὸ ὅλον τῶν μερῶν, ἀλλ' ἡ σύγκρισις ἐν ἰσότητι, ὅπερ τε-

3 λείου ἰδιότης. συμβέβηκε δέ, καθάπερ τὰ καλά τά τε κατ' ἀρετὴν σπάνια καὶ εὐαρίθμητα, τὰ δὲ αἰσχρὰ καὶ ἐν κακίᾳ εἶναι πολύχοα, οὕτω. καὶ ὑπερτελεῖς μὲν καὶ ἐλλιπεῖς παμπύλλους καὶ ἀτάκτους εὑρίσκεσθαι ἀκόσμου οὔσης τῆς αὐτῶν εὑρέσεως, τελείους δὲ εὐαριθμήτους τε καὶ τεταγμένους μετὰ προςήκοντος κόσμου· εἷς μὲν γὰρ μόνος εὑρίσκεται ἐν μονάσιν ὁ ϛ, ἕτερος δὲ μόνος ἐν δεκάσιν ὁ κη, τρίτος δέ τις ἐν βαθμῷ ἑκατοντάδων μόνος ὁ υϞϛ, τέταρτος ὁ ἐν χιλιάδων ὅρῳ, τουτέστιν ὁ ἐντὸς μυριάδων ὁ ͵ηρκη· καὶ παρέπεται αὐτοῖς μίαν παρὰ μίαν εἰς ἑξάδα ἢ ὀγδοάδα καταλήγειν καὶ πάντως εἶναι νὲ ἀρτίοις.

4 Γένεσις δὲ αὐτῶν γλαφυρά τε καὶ ἀσφαλὴς οὔτε

---

2. ἅπερ συγ.] ἃ P ἃ καὶ H — 5. εἰκοστοόγδοον S — γίνεται] εἰσὶ C γίνονται S — 7. ὑφ' ἓν ... κη] συγκεφαλαιωθέντα ὑφ' ἓν συντελεῖ αὐτὸν τὸν κη S ὑφ' ἓν κεφάλαιον ἀθροισθέντα ποιεῖ τὸν κη H — 9. ἥπερ SH — 12. εἶναι] ὑπάρχοντα H — 14. τελείου G_1mP — 15. μετὰ τοῦ πρ. S — ἐν προςήκοντι κόσμῳ H — 18. ἑκατοντάδος GmPH — 19. τουτέστιν ... μυρ. om. C μυριάδος S — 20. παρὰ μίαν] κατάληξιν add. CSH — 21. ἐν om. CSH — 22. ἀρτίους SH

XVI. 4. Περὶ γενέσεως [τῶν μ] τελείων Cμ Τελείων γένεσις S — 23. τε] τις C

παραλείπουσά τινα τῶν τελείων οὔτε ἀδιαφοροῦσά τινα τῶν μὴ τοιούτων τούτῳ γινομένη τῷ τρόπῳ. ἐκθέσθαι δεῖ τοὺς ἀπὸ μονάδος ἀρτιάκις ἀρτίους προβιβάζοντα ἑξῆς ἐν ἑνὶ στίχῳ, μέχρις οὗ βούλει,

p *α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνϛ, φιβ, ͵ακδ, ͵βμη, ͵δϟϛ,*

23 *εἶτα ἀεὶ κατὰ ἑνὸς πρόςθεσιν ἐπισωρεύειν, καὶ καθ' ἑκάστην ἐπισώρευσιν σκοπεῖν τὸν γινόμενον, οἷός ἐστι· καὶ ἂν μὲν εὕρῃς πρῶτον καὶ ἀσύνθετον ὑπάρχοντα, τῇ τοῦ ἐσχάτου προςληφθέντος ποσότητι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ ἀποτελεσθεὶς πάντως τέλειος ἔσται· ἐὰν δὲ δεύτερον καὶ σύνθετον, οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς καὶ πάλιν ἐπισκέψῃ, τίς ὁ ἀποτελούμενος, καὶ ἐὰν μὲν δεύτερος καὶ σύνθετος, πάλιν παραλείψεις καὶ οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς, ἐὰν δὲ πρῶτος καὶ ἀσύνθετος, τῷ ἐσχάτῳ εἰς τὴν σύνθεσιν παραληφθέντι πολλαπλασιάσεις αὐτὸν καὶ ὁ γινόμενος τέλειος ἔσται, καὶ τοῦτο μέχρις ἀπείρου· παραπλησίως πάντας ἑξῆς ἀπογεννήσεις τοὺς τελείους μηδενὸς παραλειπομένου· οἷον τῷ α ἐπισωρεύω τὸν*

1. *///δι///φοροῦσα G διαφοροῦσα S* — 2. *τῶν μὴ τοιούτων* om. *SH* — *τούτῳ . . τῷ] τοιούτῳ γιν. SH* — 3. *δεῖ τοὺς* om. *P* — 4. *προβιβάζοντας PSH* — *ἑνὶ* om. *S* — 5. *σνϛ] ϟνϛ P* — *͵δϟϛ] νϟϛ GP* omnes post *ρκη* numeros om. *ΗΓ* — 6. *πρόθεσιν G$_1$* — 7. *ἕκαστον ἐπισωρεύουσιν P* — 8. *καὶ ἂν] ὡς ἂν P* — 9. *πολυπλασιάζεις S* — 11. *πολυπλασιάσεις S* — 12. *προςεπισωρεύσῃς S* — 14. *πολλαπλασιάσῃς P* — 15. *ἐπισωρεύσῃς P ἐποίσεις SH* — 16. *ἐσχάτῳ] ὑστάτῳ CSH* — *σύνθεσιν] σύγκρισιν S* — 17. *παραληφθέντι CS -λειφθέντι* cet. — *γινόμενος] πάντως* add. *CSH* — 19. *παραπλησίου P ποιῶν* add. *G$_2$ CSH* — *ἐφεξῆς γεννήσεις CS* — 20. *παραλειπομένου] ἀπολειπομένου* Ast. 'in omnibus paene codicibus (*GmPS*) librariorum oscitantia huic uerbo eam subiunxit numerorum seriem, quam codices *ΗΓ* recte supra (l. 5.) inserunt. *C* haecce addit: *Οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν ἐφεξῆς οἱ ἀπὸ μονάδος*

β καὶ σκοπῶ τὸ συναμφότερον, τίς ἀριθμός ἐστι, καὶ εὑρίσκω τὸν γ ἀριθμόν, ἐξ ὧν προαπεδείχθη, πρῶτον καὶ ἀσύνθετον· ἑτερώνυμον γὰρ μόριον οὐκ ἔχει, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον· διὰ τοῦτο αὐτὸν πολλαπλασιάζω τῇ τοῦ ὑστέρου εἰς τὴν σωρείαν ληφθέντος ποσότητι, τουτέστι τοῦ β, καὶ γεννᾶταί μοι ὁ ϛ καὶ τοῦτον ἀποφαίνομαι ἐνεργείᾳ πρῶτον εἶναι τέλειον καὶ ἔχειν μέρη ἐκεῖνα τὰ ἐνθεωρούμενα τοῖς ἀριθμοῖς, ἐξ ὧν συνέστη· μονάδα μὲν γὰρ ἐκ παρωνύμου μέρους ἕξει, ὅ ἐστι τοῦ ἕκτου, γ δὲ ἐξ ἡμίσους κατὰ τὸν β θεωρουμένου, ἀντιστρόφως δὲ δυάδα ἐκ τρίτου. ὁ δὲ κη καὶ αὐτὸς ἑτέρου προςεπισωρευθέντος τοῖς προτέροις τοῦ δ γεννᾶται τῇ αὐτῇ ἐφόδῳ· τὸ γὰρ συγκεφαλαίωμα τῶν τριῶν, τοῦ τε α καὶ β καὶ δ, γίνεται μὲν ζ, εὑρίσκεται δὲ πρῶτος καὶ ἀσύνθετος· μόνον γὰρ τὸ παρώνυμον μόριον ἐπιδέχεται τὸ ἕβδομον· διὰ τοῦτο πολυπλασιάζω αὐτὸν τῇ τοῦ ἐσχάτου προςληφθέντος εἰς τὴν σωρείαν ποσότητι καὶ ἀποβαίνει μοι ὁ κη τοῖς ἰδίοις μέρεσιν ἴσος, ἔχων καὶ αὐτὸς ἐκ τῶν προηγουμένων

ἀρτιάκις ἄρτιοι ὁ α, β, δ, η; ιϛ, λβ, ξδ καὶ ἐφ' ὁσονοῦν· ἐπισωρεύω τοίνυν τῷ α κτλ. *Disponantur enim omnes pariter pares numeri hoc modo:* Boëth. I. 16. — 20. (p. 41) οἷον πρῶτον τῷ α ἐπισωρεύων *H*

1. τὸν σὺν ἀμφοτέροιν *P* τὸν συναμφότερον *mC* τὸν ἐξ ἀμφοτέρου Ast. — τίς .. ἐστι om. *G qui numerus factus sit* Boëth. — 2. ἀριθμόν om. *CSH* — καὶ ἐξ PG_2CSH — προαπεδείχθη] προκατήχθη G_1 — πρῶτον] εὑρίσκω praemitt. PG_2CSH — 3. ἀσύνθετον] ὄντα τὸν γ add. *C* — 5. πολυπλ. *S* — 6. παραληφθέντος *H* — 7. μοι om. *SH* — ϛ] δὶς γὰρ τρία ϛ add. G_2S — 8. εἶναι om. *H* — μέρη] μόνα add. *PSH* — 9. συνέστι *P* — 10. ἐστι] ἐκ add. *H* — τοῦ ἀριθμοῦ ἕκτον *C* — 12. δυάδα om. *GP* (tuetur Io. Phil. ριη) διάδα G_2 — ἐπισωρευθ. *H* — 14. αὐτῇ] αὐτοῦ G_1 — μεθόδῳ *P* — 15. τοῦ . . . δ' om. G_1C τοῦ $\bar{\alpha}$ $\bar{\beta}$ $\bar{\delta}$ *S*

τὰ ἐν αὐτῷ μέρη, ἥμισυ μὲν παρὰ τὴν δυάδα, τέ-
ταρτον δὲ παρὰ τὴν ἑπτάδα, ἕβδομον δὲ παρὰ τὸ
δ, τεσσαρεςκαιδέκατον δὲ παρὰ τὴν τοῦ ἡμίσους
ἀντιδιαστολήν, εἰκοστόγδοον δὲ παρὰ τὴν αὐτοῦ πα-
ρωνυμίαν, ἥτις ἐν πᾶσι μονὰς ὑπάρχει. εὑρημένων 6
δὲ τούτων, ἐν μὲν μονάσι τοῦ ϛ, ἐν δὲ δεκάσι τοῦ
κη, εἰς τὴν ἐφεξῆς πλάσιν τὸ αὐτό σε δεῖ ποιῆσαι.
πάλιν γὰρ ἐπισύνθες τὸν ἑξῆς τὸν η, γίνονται ὁμοῦ 7
ιε· ἐπισκοπῶν αὐτὸν εὑρίσκω οὐκέτι πρῶτον καὶ
ἀσύνθετον, πρὸς δὲ τῷ παρωνύμῳ μορίῳ ἔτι καὶ
πέμπτον ἔχει καὶ τρίτον ἑτερώνυμον· διὸ οὐ πολλα-
πλασιάζω τῷ η αὐτόν, ἀλλ' ἐπισωρεύω τὸν ἑξῆς τὸν
ιϛ καὶ γίνεται ὁ λα· οὗτος ἐπειδὴ πρῶτος καὶ ἀσύν-
θετός ἐστιν, ἀναγκαίως πολυπλασιασθήσεται κατὰ
τὸ τῆς ἐφόδου καθολικὸν πρόσταγμα τῷ ἐσχάτῳ εἰς
τὴν σωρείαν προςληφθέντι τῷ ιϛ καὶ γενήσεται ὁ
υϟϛ ἐν ἑκατοντάσιν, ἔπειτα τῷ αὐτῷ τρόπῳ καὶ
ὁ ηρκη ἐν χιλιάσι, καὶ ἀεὶ οὕτως, μέχρις ἂν εὐτονῇ
τις παρέπεσθαι. ἡ ἄρα μονὰς δυνάμει, ἀλλ' οὔπω 8
ἐστὶ τέλειος ἐνεργείᾳ· ἐκ γὰρ τοῦ στίχου πρωτίστην
αὐτὴν εἰς τὴν σωρείαν λαβὼν ἐπεσκόπησα κατὰ τὸ
πρόςταγμα, ποταπή τις ὑπάρχει, καὶ εὗρον πρώτην

---

2. ἑπτάδα] τετράδα *S* — 2. 3. παρὰ τὸ δ] ἀριθμῶν συγκεφαλαίωμα add. *GP*, quae e margine in textum inrepsisse Astius recte iudicat; τὸ παρὰ τὸν ἑπτὰ μονάδων συγκεφαλ. G_2 παρὰ τὸ τοῦ δ συγκεφ. *C* τὸ παρὰ τὸν δον ἀριθμὸν συγκεφ. *SH* *secundum omnium collectionem* Boëth. — 4. τὴν αὐτὴν τούτου παρ. *C* τὴν ἑαυτοῦ παρ. *H* — 5. εὑρησκομένων *P* — 6. δὴ τοῦ τε ἐν μονάσι τοῦ ϛ καὶ τοῦ ἐν δεκάσι *CSH* — 7. τὴν τῶν ἐφεξ. *CSH* — ποιεῖν *CSH* — 8. ὁμοῦ om. *H* — 11. ἔχεις *P* — ἑτερώνυμα *CSH* — πολλυπλ. *P* πολυπλ. *SH* — 14. πολλυπλ. *P* πολλαπλ. *SH* — 15. μεθόδου *PC* — 16. παραληφθέντι *H* — 21. σωτηρείαν *P* — παραλαβὼν *H*

καὶ ἀσύνθετον· ὡς ἀληθῶς γάρ, οὐ κατὰ μετοχὴν
ὡς οἱ ἄλλοι, πρώτη τε ὑπάρχει παντὸς ἀριθμοῦ καὶ
9 *ἀσύνθετος μόνη. πολυπλασιάζω οὖν αὐτὴν τῷ ληφ-*
θέντι ἐσχάτῳ εἰς τὴν σωρείαν, τουτέστιν ἑαυτῇ; καὶ
10 *γεννᾶταί μοι μονάς· ἅπαξ γὰρ α μονάς. τελεία*
ἄρα ἐστὶ δυνάμει ἡ μονάς· ἴση γὰρ τοῖς ἰδίοις μέ-
ρεσι κατὰ δύναμιν αὕτη, οἱ δ' ἄλλοι κατ' ἐνέργειαν.

XVII *ιζ. Προτετεχνολογημένου δὲ ἡμῖν περὶ τοῦ καθ'*
αὑτὸ ποσοῦ νῦν μετερχόμεθα καὶ ἐπὶ τὸ πρός τι.
2 *τοῦ πρός τι τοίνυν ποσοῦ δύο αἱ ἀνωτάτω γενικαὶ*
διαιρέσεις εἰσίν, ἰσότης καὶ ἀνισότης· πᾶν γὰρ ἐν
συγκρίσει πρὸς ἕτερον θεωρούμενον ἤτοι ἶσον ὑπάρ-
3 *χει ἢ ἄνισον, τρίτον δὲ παρὰ ταῦτα οὐδέν. τὸ μὲν*
οὖν ἶσον θεωρεῖται, ὅταν τῶν συγκρινομένων τὸ
ἕτερον μήτε ὑπερέχῃ μήτε ἐλλείπῃ πρὸς τὴν τοῦ
λοιποῦ παραβολήν, οἷον ἑκατὸν πρὸς ἑκατὸν ἢ δέκα
πρὸς δέκα ἢ δύο πρὸς δύο ἢ μνᾶ πρὸς μνᾶν ἢ
τάλαντον πρὸς τάλαντον ἢ πῆχυς πρὸς πῆχυν καὶ
τὰ παραπλήσια εἴτε ἐν ὄγκῳ εἴτε ἐν μήκει εἴτε ἐν
4 *βάρει εἴτε ἐν ποσότητι ἡτινιοῦν. ἔστι δὲ καὶ ἰδίως*
ἡ σχέσις αὕτη [ἡ τῆς ἰσότητος] ἄσχιστος καθ' ἑαυτὴν

XVII. Io. Phil. *ρκβ — ρκη*. — Iambl. p. 48—51. — Boëth. I. 17. 18. — Schol. *ΝΓ* Nobb. p. 9. 10.

---

3. *λειφθέντι P* — 4. *ἑαυτοῦ* G_1 *ἑαυτῷ P* — 5. *τέλειος CH* — 7. *ἡ δ' ἄλλη H*

XVII. *Περὶ τοῦ πρός τι ποσοῦ GCμH* — 8. *Προ-* *τε* G_2 *τεχν.* G_1 *προτεχνολογουμένου S* — *ἡμῖν] ἐν τοῖς ἄνωθεν* add. *P ἐν τοῖς ἄνω CSH* — 9. *μετερχώμεθα P ἐρχόμεθα H* — 11. *εἰσιν* om. *H* — 12. *ἕτερον] πῶς* add. *SH* — *ὑπάρχη* (*ει* supra) *G -ειν P* — 13. *παρ' αὐτὰ SH* — 21. *ἡ τῆς ἰσότητος CSHΓ ἡ τῆς ποσότητος GmP* glossema arbitror. *τὴν*

*καὶ ἀδιαίρετος, ὡς ἂν ἀρχικωτάτη, διαφορὰν γὰρ
οὐδεμίαν ἐπιδέχεται· οὐ γάρ ἐστι τοῦ ἴσου τὸ μὲν
τοιόνδε, τὸ δὲ τοιόνδε, ἀλλ' ἑνὶ τρόπῳ καὶ τῷ αὐτῷ
τὸ ἶσόν ἐστιν. ἀμέλει καὶ τὸ ἀνθυπακοῦον τῷ ἴσῳ* 5
*οὐχ ἑτερωνυμεῖ πρὸς αὐτό, ἀλλὰ συνωνυμεῖ, ὥςπερ
φίλος, γείτων, συστρατιώτης, οὕτω δὴ καὶ ἶσος· ἴσῳ
γάρ ἐστιν ἶσος. τὸ δὲ ἄνισον καὶ αὐτὸ καθ' ὑποδι-* 6
*αίρεσιν διχῆ σχίζεται καὶ ἔστιν αὐτοῦ τὸ μὲν μεῖζον,
τὸ δὲ ἔλαττον, ἀντωνυμούμενά τε καὶ ἀντίθετα ἀλ-
λήλοις κατὰ ποσότητα καὶ σχέσιν αὐτῶν· τὸ μὲν
γὰρ μεῖζον ἑτέρου τινὸς μεῖζον, τὸ δὲ ἔλαττον ἔμ-
παλιν ἑτέρου τινὸς ἔλαττον ἐν συγκρίσει, καὶ τὰ
ὀνόματα οὐ τὰ αὐτά, ἀλλὰ διαφέροντα ἔχει ἑκάτερα,
ὡς πατὴρ καὶ υἱὸς καὶ τύπτων καὶ τυπτόμενος καὶ
διδάσκων καὶ μανθάνων καὶ τὰ ὅμοια. τοῦ μὲν οὖν* 7
*μείζονος καθ' ὑποδιαίρεσιν δευτέραν εἰς πέντε εἴδη
διαιρουμένου τὸ μέν ἐστι πολλαπλάσιον, τὸ δὲ ἐπι-
μόριον, τὸ δὲ ἐπιμερές, τὸ δὲ πολλαπλασιεπιμόριον,
τὸ δὲ πολλαπλασιεπιμερές. καὶ τοῦ ἀντιθέτου δὲ* 8

τοῦ ἴσου σχέσιν Io. Phil. *ρκε.* *ἡ μὲν ἰσότης . . . ἄσχιστός ἐστι* Iambl. p. 49. *Hacc autem pars relatiuae ad aliquid quantitatis, id est aequalitas, naturaliter indiuisa est* Boëth. I. 17.

1. *διαφθορὰν m* — 3. *τῷ αὐτῷ*] artic. om. *m* *αὐτὸ G* — 4. *ἶσον* bis ponunt G_2C — *ἀμέλλει P* — 5. 6. *ὡς τὸ φίλ. H* — 7. *γαρ*] *τις* add. *C* — *καὶ αὐτὸ*] *καθ' αὐτὸ καὶ S* — 8. *διχῆ* om. G_1mP *διχάζεται S* — 10. *αὐτῶν*] *ἀντωνυμούμενα SH* — 13. *ἑκάτερον SH* — 15. *ὅμοια*] $C\mu G_2\Gamma$ haecce e Iamblichi commentario (p. 50) sumpta addunt: *μεῖζον μὲν οὖν ἐστιν, ὃ πέφυκε μετρούμενον ὑπὸ θατέρου* [*καὶ τὰ τοιαῦτα μ*] *κατὰ* [*μετὰ Γ*] *μίαν παραβολὴν ἀκαταμέτρητον* [*τι* $G_2\mu\Gamma$] *αὐτοῦ* [*αὐτοὺς μ*] *ἀπολείπειν* [*-λιπεῖν* $G_2\Gamma$] *ὁσονοῦν, ἔλαττον δέ, ὃ μετρητικὸν* [*μετρικὸν μ*] *ὂν τοῦ συζύγου μιᾷ παραβολῇ* [*μ. π.* om. *Γ*] *περισχεῖν ὅλον ἀδυνατεῖ.* — *τοῦ μὲν*] *τὸ μὲν* G_1 — 16. *καθ' ὑποδ. τοῦ μὲν μείζ. C* — *δευτέραν* om. *C* — 17. *πολυπλάσιον S*

τούτῳ, τουτέστι τοῦ ἐλάττονος, πέντε εἴδη ὁμοίως καθ' ὑποδιαίρεσιν συνίσταται ἀντικείμενα τοῖς προειρημένοις τοῦ μείζονος πέντε εἴδεσιν (ὡς ὅλον ὅλῳ, τὸ ἔλαττον τῷ μείζονι, οὕτω καὶ ἕκαστον ἑκάστῳ τῇ προλεχθείσῃ τάξει μετὰ τῆς ὑπο προθέσεως ἀντιδιαστελλόμενα), ὑποπολλαπλάσιον, ὑπεπιμόριον, ὑπεπιμερές, ὑποπολλαπλασιεπιμόριον καὶ ὑποπολλαπλασιεπιμερές.

XVIII *ιη. Ἄνωθεν οὖν πολλαπλάσιόν ἐστιν εἶδος τοῦ μείζονος τὸ πρώτιστον καὶ προγενέστερον φύσει, ὡς εὐθὺς εἰσόμεθα, καὶ ἔστιν ἀριθμὸς ὁ, ἐπειδὰν ἐν συγκρίσει πρὸς ἕτερον θεωρῆται, ἔχων αὐτὸν ἐν ἑαυτῷ ὅλον πλεονάκις ἢ ἅπαξ· οἷον πρὸς τὴν μονάδα πάντες οἱ ἐφεξῆς ἀριθμοὶ ἀπὸ δυάδος ἀρξάμενοι συγκρινόμενοι τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη ἀπογεννῶσι τῇ οἰκείᾳ ἀκολουθίᾳ· πρῶτος μὲν γὰρ ὁ β διπλάσιος καὶ ἔστι καὶ λέγεται, ὁ δὲ γ τρι-*

XVIII. Io. Phil. *ρκθ—ρλδ*. — Iambl. p. 51. 52. — Boëth. I. 19. — Schol. *ΝΓ* Nobb. p. 10.

---

1. *τούτῳ* om. *S* — *τουτέστι*] *ἤτοι S* — *εἴδι* G_1 — 2. *συνίστανται C* — 3. *πέντε* om. *C* — 4. *ἔλαττον*] *δηλαδὴ C* in mg., quod *μ* in textum recepit. — 6. *ὑποπολλ.*] *επι* G_2 *τε καὶ . . . καὶ . . . καὶ* add. *SH* — *καὶ ὑπο μερὲς G ὑποεπιμερές S* Iambl. reliqua om. G_1

XVIII. *Περὶ τοῦ πολλαπλασίου καὶ τῶν τούτου εἰδῶν Cμ* — 9. 10. *τοῦ μείζονος* om. *C* — 10. *προγενέστατον CSH* — 11. *καὶ ἔστιν* addidi, cf. p. 47 lin. 5. 6. — *τ* G_2 *ὁ P ὃς* codd. *ὃς .. ἔχει C* — *ἐπιδὰν G* — 12. *θεωρῆ////αι* G_1 *θεωρεῖται P* — 13. *ἢ ἅπαξ*. cf. Io. Phil. *ρκθ*. — 16. *ἀπογεννῶσι CSH ἀπογυμνοῖ GmP* — *ἀκολουθείᾳ G* — *πρῶτον S* — 17. *λέγεται*] *τῆς μονάδος δηλονότι* add. *S* — *γ*] *α* G_2 *τρίτος* $G_1 m$

πλάσιος, ὁ δὲ δ τετραπλάσιος, καὶ ἐπ' ἄπειρον· τὸ
γὰρ πλεονάκις ἢ ἅπαξ ἤτοι δὶς ἢ τρὶς σημαίνει ἢ
ἐφεξῆς, μέχρις οὗ βούλει. ἀντιδιέσταλται δὲ τούτῳ 2
τὸ ὑποπολλαπλάσιον καὶ αὐτὸ φύσει πρώτιστὸν
ὑπάρχον ἐν τῷ ἐλάττονι τῆς ἀνισότητος μέρει, καὶ
6 ἔστιν ἀριθμὸς ὅ, ἐπειδὰν μείζονι συγκρίνηται, δυ-
νάμενος μετρεῖν αὐτὸν πληρούντως πλεονάκις ἢ
ἅπαξ, τὸ δὲ πλεονάκις ἢ ἅπαξ ἀπὸ τοῦ δὶς ἄρχεται
καὶ ἐπ' ἄπειρον πρόεισιν. ἐὰν μὲν οὖν δὶς μόνον 3
μετρῇ τὸν ἐν συγκρίσει μείζονα, ὑποδιπλάσιος λέγε-
ται ἰδίως, ὥσπερ τὸ α τῶν β, ἐὰν δὲ τρίς, ὑποτρι-
πλάσιος, ὥσπερ τῶν γ τὸ α, ἐὰν δὲ τετράκις, ὑποτε-
τραπλάσιος, ὥσπερ τὸ αὐτὸ α τῶν δ, καὶ ἐφεξῆς
οὕτως. γενικῶς δὲ ἀπείρου ὑπάρχοντος ἑκατέρου, 4
τοῦ τε πολλαπλασίου καὶ τοῦ ὑποπολλαπλασίου, ἔτι
καὶ αἱ καθ' ὑποδιαίρεσιν διαφοραὶ καὶ τὰ εἴδη ἐπ'
ἄπειρον φύσει προιόντα θεωρεῖται· τὸ γὰρ διπλά-
σιον ἀρχόμενον ἀπὸ τοῦ β διὰ πάντων ἀρτίων πρό-
εισιν, ἕνα παρ' ἕνα λαμβανόντων ἡμῶν τοὺς ἀριθ-
μοὺς ἀπὸ τοῦ φυσικοῦ χύματος· ἐν συγκρίσει δὲ
οὗτοι διπλάσιοι λεχθήσονται πρὸς τοὺς ἀπὸ μονάδος
ἑξῆς κειμένους ἀρτίους τε καὶ περισσούς. τριπλάσιοι 5
δὲ πάντες εἰσὶν οἱ ἀπ' ἀρχῆς δύο παραλειπομένων
ἐκλεγόμενοι τρίτοι τῇ τάξει, οἷον

1. ὁ δὲ δ τετρ. om. *H* καὶ ὁ ε πενταπλάσιος add. *PC* — 2. σημαίνει] συμβαίνει *H* — 3. μέχρ. οὗ] προχωρεῖν add. *CSH* — 6. ὁ *P* ὃς codd. ὃς . . δύναται *C* — μείζοσι *P* — 7. πληροῦντα *G*₁*m* — 7. 8. τὸ δὲ . . . ἅπαξ om. *mμ* — 13. τοῦ γ τὸ αὐτὸ α *CSH* — 14. τοῦ δ *GS* — 17. τῇ φύσει *CSH* — θεωροῦνται *CSH* — 18. διὰ] ἐπὶ *S* — 19. παρ' ἕνα] τῶν ἀριθμῶν add. *H* — τοὺς ἀριθμοὺς om. *P* — 20. φυσικοῦ] φύσει *P* — 22. κειμένους] ἀριθμοὺς add. *H* — 23. πάντως *G* πάντες rel. Io. Phil. ρλγ.

γ, ϛ, ϑ, ιβ, ιε, ιη, κα, κδ,

οἷς συμβέβηκεν ἕνα παρ' ἕνα ἀρτίοις τε καὶ περισσοῖς εἶναι, καὶ αὐτοὶ δὲ ἐν τῷ ἀπὸ τῆς μονάδος ἀριθμῷ εὐτάκτῳ τῶν ἐφεξῆς πάντων τριπλάσιοί εἰσι προχωροῦντες, ἐφ' ὅσον βούλεταί τις παρακολουθεῖν.

6 τετραπλάσιοι δέ εἰσιν οἱ τριῶν παραλειπομένων πάντη τέταρτοι, οἷον

δ, η, ιβ, ιϛ, κ, κδ, κη, λβ

καὶ ἐφεξῆς, καὶ οὗτοι δὲ τῶν ἀπὸ μονάδος εὐτάκτων τετραπλάσιοί εἰσι προιόντες, ἐφ' ὅσον ἂν εὐτονῇ τις ἕπεσθαι· συμβέβηκε δὲ καὶ τούτοις πάντας εἶναι ἀρτίους· ἕνα γὰρ παρ' ἕνα μόνον παραλειπτέον ἐξ αὐτῶν τῶν ἄνωθεν διακεκριμένων ἀρτίων, ὥςτε ἀναγκαίως ὑπάρχειν τοῖς ἁπλῶς ἀρτίοις διπλασίοις μὲν ἅπασιν εἶναι, τετραπλασίοις δὲ ἕνα παρ' ἕνα καὶ ἑξαπλασίοις ἕνα παρὰ δύο καὶ ὀκταπλασίοις ἕνα παρὰ τρεῖς, καὶ ἐπ' ἄπειρον οὕτως ἀνάλογον ἡ προκοπή.

7 πενταπλάσιοι δὲ ὀφθήσονται οἱ τέσσαρας μὲν παραλείποντες, πέμπτοι δὲ τεταγμένοι ἀπ' ἀλλήλων καὶ αὐτοὶ δὲ τῶν ἀπὸ μονάδος ἑξῆς τεταγμένων ἀριθμῶν πενταπλάσιοι, καὶ εἷς παρ' ἕνα περισσὸς καὶ ἄρτιος κατὰ τὴν αὐτὴν τῶν τριπλασίων τάξιν.

---

1. κδ] καὶ ἐφεξῆς add. *H* — 3. αὐτοὶ] οὗτοι *CSH* — 4. τῷ ἐφεξῆς *P* — εἰσι om. *GmP* — 5. βούλονται *P* — 5. 6. ἐφ' ὅσον ἂν τις εὐτονῇ ἕπεσθαι *SH* — 9. καὶ ἐφεξῆς om. *C* — 10. εὐτοκῇ *G* — 11. τις om. G_1 — 10. 11. εἰς ὅσον βούλεταί τις παρακολουθεῖν *CSH* — 11. 12. πᾶσιν . . . ἀρτίοις *CSH* — 12. μόνον om. *CS* — 14. ἀναγκαῖον *SH* — ὑπάρχειν om. *SH* — 15. εἶναι Ast add. — 15. 16. ὥςπερ καὶ ἑξαπλ. *PSH* ὥςπερ ἑξ. *C* — 16. ἑξαπλάσιοι *G* — ὀκταπλάσιοι *GP* — 17. ἀνάλογος *H* — 20. ἑξῆς τεταγμ.] ἐφεξῆς συνεχῶν *C*. — 23. τάξειν *P*

P
27 ιθ. Ἐπιμόριος δέ ἐστιν ἀριθμός, τὸ τοῦ μείζο- XIX
νος δεύτερον τῇ φύσει εἶδος καὶ τῇ τάξει, ὁ ἔχων
ἐν ἑαυτῷ τὸν συγκρινόμενον ὅλον καὶ μόριον αὐ-
τοῦ ἕν τι. ἀλλ' ἐὰν μὲν ἥμισυ ᾖ τὸ μόριον, καλεῖ- 2
ται ἡμιόλιος εἰδικῶς ὁ τῶν συγκρινομένων μείζων,
ὑφημιόλιος δὲ ὁ ἐλάσσων, ἐὰν δὲ τρίτον, ἐπίτριτός
τε καὶ ὑπεπίτριτος, καὶ ἀεὶ οὕτως μέχρι παντὸς
προχωροῦντι συμφωνήσει σοι, ὥςτε καὶ ταῦτα ἐπ'
ἄπειρον τὰ εἴδη πρόεισι καίτοι ἀπείρου τινὸς εἴδη
ὄντα γένους· τὸ μὲν γὰρ πρώτιστον αὐτῶν τὸ ἡμιό-
λιον συμβαίνει τοὺς μὲν ὑπολόγους ἔχειν τοὺς ἀπὸ
δυάδος ἐφεξῆς ἀρτίους, ἄλλον δὲ οὐδαμῶς οὐδένα,
τοὺς δὲ προλόγους τοὺς ἀπὸ τριάδος ἐφεξῆς τριπλα-
σίους, ἄλλον δὲ οὐδένα. συζευκτέον δὲ αὐτοὺς εὐ- 3
τάκτως πρῶτον πρώτῳ, δεύτερον δευτέρῳ, τρίτον
τρίτῳ,

τὸν γ τῷ β, τὸν ϛ τῷ δ, τὸν θ τῷ ϛ,
τὸν ιβ τῷ η,

καὶ τοὺς ἀναλόγους τοῖς ὁμοταγέσιν. ἐὰν δὲ ἐπι- 4
σκέψασθαι θέλωμεν τὸ δεύτερον εἶδος τοῦ ἐπιμο-
ρίου, τουτέστι τὸ ἐπίτριτον (συνεχὲς γὰρ μέρος αὐ-
τοῦ φυσικῶς μετὰ τὸ ἥμισυ ὑπάρχει τὸ τρίτον), ὅρον
μὲν αὐτοῦ ἕξομεν τοῦτον· ἀριθμὸς ὁ ἔχων ἐν ἑαυτῷ

XIX. Io. Phil. ρλε—ρνϛ. — Iambl. p. 52—58. — Boëth. I. 20—22. — Schol. *ΝΓ* Nobb. p. 11—15.

XIX. *Περὶ* [*τοῦ m*] *ἐπιμορίου GmPC* — 2. *τάξει . . . φύσει CSH* — 4. 5. *τι ἓν αὐτοῦ CSH* — 7. *ὑπεπίτριτος*] *ἐὰν δὲ τέταρτον, ἐπιτέταρτός τε καὶ ὑπεπιτέταρτος* add. *CSH* cf. Iambl. p. 56. — *ἀεὶ* om. *CSH* — 9. *καίτοι mP*, *H* in mg., Io. Phil. ρλε. *////το//* G_1 *ἅτε* G_2CSH — 13. 14. *τοὺς δὲ . . . οὐδένα* bis habet *G* — 16. *τρίτῳ*] *γ P* *οἷον* add. *CSH* — 17. *τὸν γ τῷ β*] *τὸν τρίτον τῷ δευτέρῳ* G_1 — 21. 22. *αὐτοῦ* ante *φυσ.* om. *SH* — 23. *ὁ* om. *G*

ὅλον τε τὸν συγκρινόμενων καὶ μέρος αὐτοῦ τρίτον
πρὸς τῷ ὅλῳ. ὑποδείγματα δὲ αὐτοῦ εὔτακτα λη-
φθήσεται ἡμῖν οἱ ἀπὸ τετράδος συνεχεῖς τετραπλά-
σιοι συνεξευγμένοι τοῖς ἀπὸ τριάδος τριπλασίοις
ὁμοταγεῖς ὁμοταγέσιν, οἷον

ὁ δ τῷ γ, ὁ η τῷ ϛ, ὁ ιβ τῷ ϑ,

5 *καὶ κατὰ ταὐτὰ ἐφ ὁσονοῦν. δῆλον δέ, ὅτι ὁ ἀνθυ-*
πακούων τῷ ἐπιτρίτῳ, λεγόμενος δὲ σὺν τῇ ὑπο
προθέσει ὑπεπίτριτος, ἐστὶν ὁ ἐμπεριεχόμενος ἐκείνῳ
ὅλος τε καὶ προσέτι ἑαυτοῦ τρίτον, ὡς

ὁ μὲν γ τῷ δ, ὁ δὲ ϛ τῷ η, ὁ δὲ ϑ τῷ ιβ,

6 *καὶ οἱ ἀκόλουθοι τῶν ὁμοταγῶν. παρατηρητέον δὲ*
τὸ παρεπόμενον πᾶσι τούτοις γλαφυρόν, ὅτι οἱ μὲν
πρῶτοι καὶ πυθμένες λεγόμενοι ἐγγύς εἰσιν ἀλλή-
λων ἐν τῷ φυσικῷ χύματι, οἱ δὲ δεύτεροι ἀπὸ
πυθμένος ἕνα μόνον ἀριθμὸν διαλείπουσιν, οἱ δὲ
τρίτοι δύο, οἱ δὲ τέταρτοι τρεῖς καὶ οἱ πέμπτοι τέσ- p
7 *σαρας καὶ ἀεὶ οὕτως, μέχρις οὗ βούλει. ἔτι γε* 28
μὴν καί, ὅτι τὸ μόριον, οὗ παρώνυμος ἕκαστός ἐστι
τῶν ἐπιμορίων, ἐν τοῖς ἥττοσι θεωρεῖται τῶν πυθ-
8 *μένων, ἐν δὲ τοῖς μείζοσιν οὐδαμῶς. ὅτι δὲ φυσι-*
κῶς καὶ οὐχ ἡμῶν θεμένων, ἀρχεγονώτερον τὸ

---

2. *πρὸς τῷ ὅλῳ*] hucusque cod. *m* — *ληφθήσονται S, H* in mg. — 4. *συζευγνύμενοι S* — *τῆς ἀπὸ τρ. P* — 6. *ϑ*] *ὁ ιϛ τῷ ιβ* add. *CSH* — 10. *ὅλως G* — *αὐτοῦ SH* — *ὡς*] *οἷον C* om. *S* — 15. 16. *ἀπὸ πυθμ.* om. *S* *πυθμέ-νων P* — 16. *μόνον*] *μέσον SH* om. *ἀρ.* — 18. *οὕτως ἀεὶ προιόντι μέχρ. SH* — 19. *τὸ G₂C* om. reliqui. — 20. *τῶν πυθμένων* om *C* — *G* hocce adscribit schema:

ἡμιόλιοι	γ	ϛ	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λϛ	λϑ	μβ	με
ὑφημιόλιοι	β	δ	ϛ	η	ι	ιβ	ιδ	ιϛ	ιη	κ	κβ	κδ	κϛ	κη	λ
ἐπίτριτοι	δ	η	ιβ	ιϛ	κ	κδ	κη	λε	λϛ	μ	μδ	μη	νβ	νϛ	ξ
ὑπεπίτριτοι	γ	ϛ	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ	λγ	λϛ	λϑ	μβ	με

— 21. *ὅτι*] *ἔτι P* —22. *ἐκθεμένων SH*

πολλαπλάσιον καὶ πρεσβύτερον τοῦ ἐπιμορίου, καὶ ἐν τοῖς ἑξῆς μὲν ποικιλώτερον εἰσόμεθα, ὅσον οὔπω· κἀνταῦθα δὲ πρὸς ἁπλῆν ἔμφασιν προχειριστέον κατ' εὐτάκτους καὶ παραλλήλους στίχους τοὺς προφρασθέντας ἡμῖν πολλαπλασίους εἰδικῶς, πρῶτον διπλάσιον ἐν ἑνὶ στίχῳ, εἶτα ἐν δευτέρῳ τριπλάσιον, εἶτα τετραπλάσιον ἐν τρίτῳ καὶ μέχρι δεκαπλασίων, ἵνα καὶ τάξιν καὶ ποικιλίαν αὐτῶν καὶ πρόβασιν ἔντεχνον καὶ ὅ τι πρότερον φύσει κατίδωμεν καὶ δὴ καὶ ἕτερά τινα τερπνὰ καὶ γλαφυρὰ παροκολουθήματα. ἔστω δὲ τὸ διάγραμμα 9.
τοιοῦτον·

μῆκος

βάθος

α	β	γ	δ	ε	ϛ	ζ	η	ϑ	ι
β	δ	ϛ	η	ι	ιβ	ιδ	ιϛ	ιη	κ
γ	ϛ	ϑ	ιβ	ιε	ιη	κα	κδ	κζ	λ
δ	η	ιβ	ιϛ	κ	κδ	κη	λβ	λϛ	μ
ε	ι	ιε	κ	κε	λ	λε	μ	με	ν
ϛ	ιβ	ιη	κδ	λ	λϛ	μβ	μη	νδ	ξ
ζ	ιδ	κα	κη	λε	μβ	μϑ	νϛ	ξγ	ο
η	ιϛ	κδ	λβ	μ'	μη	νϛ	ξδ	οβ	π
ϑ	ιη	κζ	λϛ	με	νδ	ξγ	οβ	πα	ϟ
ι	κ	λ	μ	ν	ξ	ο	π	ϟ	ρ

ἐκκείσθω ἐν μὲν τῷ πρώτῳ στίχῳ ὁ ἀπὸ 10

2. ποικιλότερον *P* ποιητικώτερον *G* — 3. ἐγχειριστέον *S* — 5. προφρανθέντας *G* — 6. 7. διπλασίους ... τριπλασίους ... τετραπλασίους *CSH* — 9. τίνες πρότεροι *CSH* — 10. 11. καὶ δὴ ... παρακολ. om. *C* — 13. μῆκος *GP longitudo* Boëth. 24. πλάτος cet. cf. p. 52 l. 4. — 24. ἐκκείσθωσαν *CSH* — τῷ om. *H* — ὁ addidi, οἱ *CSH*

μονάδος φυσικὸς ἀριθμός, εἶτα ἑξῆς οἱ κελευσθέν-
11 *τες τῶν τοῦ πολλαπλασίου εἰδῶν. οὐκοῦν τῶν μὲν*
πρώτων στίχων ἀρχομένων ἀπὸ μονάδος ἐπί τε
πλάτος καὶ ἐπὶ βάθος γαμμοειδῶς οἱ δεύτεροι ἐφ' P
ἑκάτερα καὶ αὐτοὶ γαμμοειδῶς ἀπὸ τετράδος ἀρχό- 29
μενοι πολλαπλάσιοί εἰσι κατὰ τὸ πρῶτον εἶδος τοῦ
πολλαπλασίου, διπλάσιοι γάρ, καὶ ὁ μὲν πρῶτος
τοῦ πρώτου μονάδι διαφέρων, ὁ δὲ δεύτερος τοῦ
δευτέρου δυάδι καὶ ὁ τρίτος τοῦ τρίτου τριάδι
καὶ τετράδι οἱ συνεχεῖς καὶ πεντάδι οἱ μετ' αὐτοὺς
καὶ τοῦτο μέχρις ὅλου ἀκόλουθον εὑρήσεις· οἱ δὲ
τρίτοι ἐφ' ἑκάτερα ἀπὸ ἑνάδος κοινῆς ἀρχόμενοι τῶν ἐν
τῷ αὐτῷ πρώτῳ στίχῳ κατὰ τὸ δεύτερον εἶδος τοῦ
πολλαπλασίου τριπλάσιοι ἔσονται συνεξεταζομένων
αὐτοῖς καὶ τῶν εἰς τριάδα ἑκατέρωθεν χιασμῶν.
12 *συμπροκόψει δὲ καὶ ἡ διαφορὰ τούτοις κατὰ τὴν τῶν*
ἀρτίων φύσιν, τῷ μὲν πρώτῳ δυὰς οὖσα, τῷ δὲ
ἐφεξῆς τετράς, τῷ δὲ τρίτῳ ἑξάς, ἣν καὶ διαφορὰν
αὐτομάτως ἡμῖν ἡ φύσις ἐμεσεμβόλησε μεταξὺ τού-
των τῶν ἐξεταζομένων, ὡς ἐν τῷ διαγράμματι φαί-
13 *νεται. ὁ δὲ τέταρτος στίχος, οὗ κοινὴ μὲν ἀρχὴ ἐφ'*
ἑκάτερα ὁ ις, οἱ δὲ χιασμοὶ περαιοῦνται εἰς τὰς
τετράδας, τὸ τρίτον εἶδος τοῦ πολλαπλασίου δει-
κνύντες, τουτέστι τὸ τετραπλάσιον, πρὸς τὸν αὐτὸν

---

1. *φυσικοὶ* PH *-ῶς* CS — *ἀριθμοὶ* PCH om. S — *καλεσθέντες* H — 3. *πρωτίστων* H — 4. *πλάτος*] *μῆκος* H Io. Phil. *ρμ.* — *γ//αμμοειδῶς* bis G (erasum uidetur ρ) — 5. *ἑκατέρου* G *-ον* S — *τετράδ* G_1 *-ος* G_2 in ras. — 6. *τὸ* om. GP — 8. *τοῦ* ter om. C — 9. *διάδι* G — 11. *ὅλου* P om. G *τέλους* CSH — 12. *ἑνάδος* GP *ἐννάδος* SH *ἐννεάδος* C — 13. *αὐτῷ* om. P — 15. *καὶ τῶν*] *διὰ τῶν* S — 17. *τῶν μὲν πρώτων* G — *διάς* P — 19. *τούτων* om. SH — 20. *ἀντεξεταζομένων* SH — 22. *περατοῦνται* H — 23. *δείκνυσι* C

ἐξεταζόμενοι πρώτιστον στίχον ὁμοταγῶς, πρώτου
μὲν ἀριθμοῦ πρὸς πρῶτον, δευτέρου δὲ πρὸς δεύτε-
ρον καὶ τρίτου πρὸς τρίτον καὶ ἐφεξῆς· πάλιν δὲ αἱ
τούτων διαφοραὶ τριάς, ἑξάς, εἶτα ἐνάς, εἶτα δωδε-
κὰς καὶ αἱ κατὰ τριάδος προκοπὴν ποσότητες· καὶ
αὗται ἐν τῷ τοῦ διαγράμματος ὕφει πεφώρανται
τάξει ἐκκείμεναι ὑπὲρ αὐτοὺς τοὺς τετραπλασίους
καὶ ἐπὶ τῶν ἀκολούθων τοῦ πολλαπλασίου εἰδῶν
τὸ ἀνάλογον μέχρι παντὸς προχωρεῖ. πρὸς δὲ τὸν 14
ἐφ' ἑκάτερα δεύτερον στίχον ἀπὸ κοινῆς ἀρχῆς τοῦ
δ ἀρχόμενον, ὑπερεκπίπτοντα δὲ κατὰ χιασμὸν εἰς
ἰδίαν ἑκατέρων δυάδα, οἱ ὑποβεβηκότες τάξει στίχοι
τοῦ ἐπιμορίου τὸ πρώτιστον εἶδος παρεμφαίνουσι,
τουτέστι τὸ ἡμιόλιον, ὁμοταγεῖς πρὸς ὁμοταγεῖς· οὕτω
φύσει θείᾳ καὶ οὐ νόμῳ ἡμετέρῳ οὐδὲ συνθήματι
μεταγενέστεροι τῶν πολλαπλασίων οἱ ἐπιμόριοι, οἷον

ὁ μὲν γ τοῦ β, ὁ δὲ ϛ τοῦ δ, ὁ θ τοῦ ϛ,

ὁ ιβ τοῦ η, ὁ ιε τοῦ ι,

καὶ μέχρι παντός· διαφορὰν δὲ καὶ οὗτοι ἔχουσι
τοὺς ἀπὸ μονάδος ἐφεξῆς ἀριθμούς, ὡς οἱ πρὸ
αὐτῶν.

P
30 Ἐπίτριτοι δέ, τὸ τοῦ ἐπιμορίου δεύτερον εἶδος, 15
ἴσῃ τινὶ καὶ ὁμοίᾳ προκοπῇ προχωροῦσιν ἀπὸ

---

1. ἐξεταζόμενον *G* — ὁμοτάσεως *P* — 1–3. πρῶτον μὲν ἀριθμοῦ ... δεύτερον δὲ ... καὶ τρίτον *G* — 3. 4. αἱ τούτων διαφ.] αἱ διαφοραὶ τῶν ἐξεταζομένων *S* — 4. ἑνάς *GP* ἐννάς *H* — 5. τριάδα *G* — 9. προχωρήσει *PSH* — 10. κοινῆς] μὲν add. G_2 ἀπὸ μὲν κ. *PSH* — 12. ἑκατέρο//////ν δυάδ/// G_1 ἑκατέρου τὴν δυάδα corr. G_2 ἑκατέρωθεν *CH* (*H* in mrg. ἑκατέρου) — 16. πολυπλ. *S* — οἷον om. *S* — 17. 18. δὲ quater *CSH* — 19. διαφορὰς *H*

XIX, 15. Περὶ τοῦ ἐπιτρίτου *G* — 22. μορίου G_1 ἐπι add. G_2 —

τοῦ δ πρὸς τὸν γ καὶ η πρὸς ς
καὶ ιβ πρὸς ϑ καὶ ις πρὸς ιβ,

καὶ ἀκολούϑως ἴσην καὶ τὴν τῶν διαφορῶν αὔξησιν
16 λαμβάνοντες. καὶ ἐπὶ τῶν λοιπῶν σχέσεων πολλαπλασίου τε καὶ ἐπιμορίου σύμφωνα τὰ ἀποτελέσματα καὶ οὐδαμῶς ἐναντιούμενα προβαίνων ἐπ' ἄπειρον
17 ὄψει. κἀκεῖνο δὲ οὐκ ἐλάττονος ἀκριβείας τέτευχεν ἐν τῷ διαγράμματι· ἐπιγώνιοι μὲν γάρ αὐτῶν εἰσι μονάδες, ἡ μὲν κατ' ἀρχὴν ἁπλῆ, ἡ δὲ ἐπὶ τέλει τριοδουμένη, δευτεροδούμεναι δὲ ἐν διφορήσει αἱ δύο
18 λοιπαί, ὥςτε ἀποτελεῖν τὸ ὑπό ̄ ἴσον τῷ ἀπό ̄. ἀλλὰ καὶ ἑκατέρωϑεν ἴση πρόβασις ἀπὸ μονάδος εἰς τὰς δεκάδας καὶ πάλιν ἀντιϑέτως ἑκάτεραι αἱ ἀπὸ δεκάδος
19 προχωρήσεις εἰς ἑκατοντάδα. καὶ οἱ μὲν διαγώνιοι οἱ ἀπὸ μονάδος εἰς ἑκατοντάδα τετράγωνοι πάντως ἀριϑμοὶ ἰσάκις ἴσοι μηκυνϑέντες, οἱ δὲ ἑκατέρωϑεν παρασπίζοντες αὐτοὺς ἑτερομήκεις πάντως ἄνισοι καὶ μονάδι μείζοσιν ἀλλήλων πλευραῖς μηκυνϑέντες· ὥςτε ἐξ ἅπαξ δύο ἐφεξῆς τετραγώνων καὶ δὶς τοῦ ἀνὰ μέσον αὐτῶν ἑτερομήκους τετράγωνον πάντως ἀποτελεῖσϑαι καὶ ἀνάπαλιν ἐξ ἅπαξ δύο παρακειμένων ἑτερομηκῶν καὶ δὶς τοῦ ἀνὰ μέσον αὐτῶν τετραγώνου τετράγωνον πάντως ἀποτελεῖσϑαι.

---

1. 2. articulum omnibus numeris add. *C* — 1. δ] τετάρτον *P* — 3. ἴσην] τοῖς πρὸ αὐτῶν add. G_2SH — 4. λοιπῶν] δὲ add. G_2SH — 7. 8. τέτευχεν ... διαγρ. om. *C* — 10. τριωδουμένη ... δευτερωδ. G_1PH — διαφορήσει *PC* cf. Io. Phil. ρμϑ, ubi bis legendum διφορήσει. — 13. ἀντιϑετέρου G_1 — ἑκάτεραι om. *P* del. G_2 ἑκατέρωσε *C* -ωϑεν *SH* — ἐκ δεκάδων G_2 — 15. πάντες G_2CS — 16. ἀριϑμοί] εἰσιν add. *C* — ἴσοι] ἴσως *PS* — 17. ἀνίσοις G_2CS — 18. μονάδ/// G_1 -σι G_2 — μείζονες *SH* — 19. ἐξ om. *P* — 21—23. καὶ ἀνάπαλιν ... ἀποτελεῖσϑαι om. *H* — 23. πάντως om. *C*

Καὶ ἕτερα πολλὰ τοιαῦτα φιλοτιμούμενος εὕροι τις ἂν τερπνὰ ἐμφαινόμενα τῷδε τῷ διαγράμματι, περὶ ὧν οὐ καιρὸς νῦν μηκύνειν· οὔπω γὰρ τὴν ἐπίγνωσιν αὐτῶν ἐκ τῆς εἰςαγωγῆς εἰλήφαμεν, ὥςτε ἐπὶ τὰ ἑξῆς τρεπτέον· μετὰ γὰρ τὰς δύο ταύτας γενικὰς σχέσεις πολλαπλασίου καὶ ἐπιμορίου καὶ τὰς ἀντιθέτους αὐταῖς σὺν τῇ ὑπο προθέσει ἐκφερομένας ἄλλας δύο ὑποπολλαπλάσιόν τε καὶ ὑπεπιμόριον εἰσὶν ἐν μὲν τῷ μείζονι τοῦ ἀνίσου μέρει ἡ ἐπιμερής, ἐν δὲ τῷ ἐλάττονι ἡ ἀντικειμένη αὐτῇ ἡ ὑπεπιμερής. 20

p *κ. Ἔστι δὲ ἐπιμερὴς μὲν σχέσις, ὅταν ἀριθμὸς* XX
31 *τὸν συγκρινόμενον ἔχῃ ἐν ἑαυτῷ ὅλον καὶ προςέτι μέρη αὐτοῦ πλείονα ἑνός· τὸ δὲ πλείονα ἑνὸς ἄρχεται πάλιν ἀπὸ τοῦ β καὶ πρόεισιν ἐπὶ πάντας τοὺς ἐφεξῆς ἀριθμούς· ὥςτε τοῦ ἐπιμεροῦς πυθμήν ἐστιν εἰκότως ὁ πρὸς τῷ ὅλῳ δύο μέρη τοῦ ἀντισυγκρινομένου ἔχων καὶ κληθήσεται ἐπιδιμερὴς εἰδικῶς, μετὰ δὲ τοῦτον ὁ τρία πρὸς τῷ ὅλῳ ἔχων κληθήσεται ἐπιτριμερὴς εἰδικῶς, καὶ μετὰ τοῦτον ἐπιτετραμερής, εἶτα ἐπιπενταμερής, καὶ οὕτως ἀεί. τὰ δέ μέρη ῥίζαν ἔχει καὶ ἀρχὴν ἀπὸ τοῦ τρίτου·* 2

XX. Io. Phil. *ρνζ*, *ρνη*. — Iambl. p. 58. 59. — Boëth. I. 23.

---

1. *πολλὰ*] *τινὰ* *S* — 2. *ἐπιφαινόμενα* *H* — 3. *νῦν* om. *S* — 6. *πολλαπλάσιον καὶ ἐπιμόριον* *PS*, *H* in mrg. — *καὶ τὰς*] *καὶ ἔτι μετὰ τὰς* *SH* — 8. *ἀλλήλας* *C* — 9. *μέρ* G_1 *ει* G_2

XX. *Περὶ ἐπιμεροῦς* *PCΓ* — 12. *ἀριθμὸν* G_1 — 13. *ἐφ' ἑαυτὸν* *S* — 14. *τὸ*] *τὰ* *P* Io. Phil. *ρνζ* — *πλείονα*] *τοῦ* add. G_2 — 15. *προίησιν* *S* — 18. *ἐπιμερὴς* *P* — 19. 20. *ὁ τρία ... τοῦτον* om. G_1 — 20. *ἰδικῶς* G_2 om. *H* — 21. *ἐπιπενταμ.* om. G_1 — 22. *ἕξει* *CH*

ἀδύνατον γὰρ ἐνθάδε ἀπὸ τοῦ ἥμισυ ἄρχεσθαι· ἂν γάρ καί τινα ὑποθώμεθα β ἡμίση ἔχειν τοῦ ἀντιθέτου πρὸς τῷ ὅλῳ, λήσομεν ἑαυτοὺς πολλαπλάσιον ἀντὶ ἐπιμεροῦς τιθέντες· ἕκαστον γὰρ ὅλον καὶ β ἡμίση αὐτοῦ συντιθέμενα διπλάσιον γίνεται τοῦ ἐξ ἀρχῆς· ὥςτε ἀναγκαιότατον ἀπὸ β τρίτων ἄρχεσθαι, εἶτα β πέμπτων, εἶτα β ἑβδόμων, καὶ ἐπὶ τούτοις β ἐνάτων κατὰ τὴν τῶν περισσῶν πρόβασιν· τὰ γὰρ β τέταρτα λόγου χάριν πάλιν ἥμισύ ἐστι καὶ τὰ β ἕκτα τρίτον καὶ οὕτω πάλιν ἐπιμόριοι ἀντὶ ἐπιμερῶν γενήσονται, ὅπερ οὐ πρόκειται οὔτε
3 *ἡμῖν οὔτε τῇ τῆς τεχνολογίας καταλληλίᾳ. μετὰ δὲ τὸν ἐπιμερῆ εὐθὺς συνυφίσταται ὁ ὑπεπιμερής, ὅταν ἀριθμὸς ἐν τῷ συγκρινομένῳ ὅλος ἔχηται αὐτός τε καὶ προςέτι πλείονα αὐτοῦ μέρη ἢ β ἢ γ ἢ δ ἢ ε καὶ ἐφεξῆς.*

XXI *κα. Τάξις δὲ ἀμφοτέρων καὶ ἀκόλουθος γένεσις εὑρίσκεται, ὅταν ἐκθέμενοι τοὺς ἀπὸ τριάδος ἑξῆς ἀρτίους καὶ περιττοὺς ἀριθμοὺς πρὸς τούτους συγκρίνωμεν τοὺς ἀπὸ πεντάδος καθαροὺς συνεχεῖς*

XXI. Io. Phil. *ρνϑ—ρξγ*. — Iambl. p. 59. 60. — Boëth. I. 23. — Schol. *ΝΓ* Nobb. p. 15. 16.

---

1. *ἐνταῦθα C* — *ἡμίσεος S* *-ους H* — *ἄρχεσθαι* om. *H* — *ἂν*] *ἄνευ P* — 4. *τίθεμεν H* — 5. *αὐτὸν P* — 6. *ὥςτε*] *ἂν* add. *P* — 7—12. *εἶτα . . . καταλληλίᾳ* om. G_1 — 7. 8. *ἀπὸ* quater ponunt G_2S — 7. *ἑκδόμων P* — 8. *Περσῶν πρόβλησιν P* — 9. *τὰ γὰρ δ´ ὅτε παραλόγου P* — 9. 10. *ἡμ. ἐστι πάλ.* G_2 — 10. *τρίτον*] *καὶ τὰ β ὄγδοα τέταρτον* add. *S* — *ἐπιμόριον P* — 13. *ἐπεπιμερής P* — 14. *ὅλος* om. *SH* — *ἔχηται* om. *H* — 15. *ἑαυτοῦ C* — 16. *ἢ ἐφεξ. CH*

XXI. *Περὶ γενέσεως ἐπιμερῶν τε καὶ ὑπεπιμερῶν P* — 18. *ἐκθέμενος H* — 19. *συγκρίνομένους P* *-ίνομεν S* *-ίνω H* in mrg. *μεν.*

περισσοὺς μόνους, πρῶτον πρὸς πρῶτον, οἷον τὸν ε πρὸς τὸν γ, καὶ δεύτερον πρὸς δεύτερον, οἷον τὸν ζ πρὸς τὸν δ, καὶ τρίτον πρὸς τρίτον, οἷον τὸν ϑ πρὸς τὸν ε, καὶ τέταρτον πρὸς τέταρτον, οἷον τὸν ια πρὸς τὸν ς, καὶ ἐφεξῆς τῇ αὐτῇ τάξει ἐφ' ὁσονοῦν· οὕτως γὰρ εὔτακτα τὰ τοῦ ἐπιμεροῦς τε καὶ P 32 *ὑπεπιμεροῦς εἴδη κατὰ τοὺς ἑκάστου πυθμένας δηλωθήσεται, ἐπιδιμερὲς πρῶτον, εἶτα ἐπιτριμερὲς καὶ ἐπιτετραμερὲς καὶ ἐπιπενταμερὲς καὶ ἐφεξῆς ἐπὶ πλέον παραπλησίως· μετὰ γὰρ τοὺς πυθμένας ἑκάστου γενήσονται οἱ συνεχεῖς διπλασιαζομένων ἀμφοτέρων τῶν ὅρων ἢ τριπλασιαζομένων καὶ ὅλως κατὰ τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη μεγεθυνομένων.*

οἱ πυθμένες.

ε	γ	ζ	δ	ϑ	ε	ια	ς	ιγ	ζ
ι	ς	ιδ	η	ιη	ι	κβ	ιβ	κς	ιδ
ιε	ϑ	κα	ιβ	κζ	ιε	λγ	ιη	λϑ	κα
κ	ιβ	κη	ις	λς	κ	μδ	κδ	νβ	κη
κε	ιε	λε	κ	με	κε	νε	λ	ξε	λε
λ	ιη	μβ	κδ	νδ	λ	ξς	λς	οη	μβ
λε	κα	μϑ	κη	ξγ	λε	οζ	μβ	ϙα	μϑ
μ	κδ	νς	λβ	οβ	μ	πη	μη	ϙδ	νς
με	κζ	ξγ	λς	κα	με	ϙϑ	νδ	ριζ	ξγ
ἐπιδί-τριτοι		ἐπιτρι-τέταρτοι		ἐπιτετρά-πεμπτοι		ἐπιπέν-ϑεκτοι		ἐφεκτέ-βδομοι	

1. πρὸς γ *G* συγκρίνων add. *H* — 3. οἷον] ὥςπερ *H* — 6. 7. τε καὶ ὑπεπ. om. *P* — 8. 9. καὶ ἐπιτ. καὶ ἐπιπ.] εἶτα . . . εἶτα *S* — 9. καὶ ἐπιπενταμ. om. *C* — ἐφεξῆς] ὁμοίως καὶ add. *SH* — 12. τριπλασιαζ.] ἢ τετραπλασιαζομένων ἢ πενταπλασιαζομένων καὶ ἑξῆς κατὰ τὴν τάξιν τοῦ πολλαπλασιασμοῦ add. *S* — 15. bis proponitur schema in *G*; in priore (οἱ πυθμ. om.) subscripta supra leguntur, post seriem perpendicularem decimam ζ, ιδ . . . quarta repetitur; pro νε (20) legitur νϑ, pro ξγ, λς (24) ξβ, λς; abest schema

I. Io. Phil. Schol. ined. rec. I (codd. *GH*) *α—δ*; rec. II. (cod. *C*) *ᾱ—δ*. — Boëth. II. 1.

---

1. *ΓΕΡΑΣΙΝΟΥ P* — 2. *ΠΥΘ* om. *P* *Πυθαγορείου S* *Τοῦ αὐτοῦ CΓ* *Τοῦ αὐτοῦ εἰς δύο δεύτερον μ* — 3. *εἰςαγωγῆς* om. *P* — 4. *εἰς τὰ δύο S* — *βιβλίον δεύτ.* (om. *τῶν εἰς δύο*) *H*

I. 6. *ἐλαχίστ. συνίστ.*] *πρωτίστου ἄρχεταί C* — *ἐλάχιστον*] *γρ. ἔσχατον P* in mrg. — 8. *γὰρ* om. *G* — 9. *καὶ ... ἀναλ.* om. *GP* — 10. *ἀφ᾽ ὧν*] *φωνῆς P* — 12. *στοιχεῖα*] *ἅπερ* add. *C* — *ἁπλῶς P*

σώματα, πῦρ, ὕδωρ, ἀήρ, γῆ· ἐκ γὰρ πρωτίστων αὐτῶν ἡ σύστασις τοῦ παντὸς φυσιολογεῖται καὶ εἰς αὐτὰ ἔσχατα ἐπινοεῖται ἡ ἀνάλυσις), ἀποδεῖξαι δὲ βουλόμεθα, ὅτι καὶ ἡ ἰσότης στοιχεῖόν ἐστι τοῦ πρός τι ποσοῦ· τοῦ γὰρ ἁπλῶς καὶ καθ' αὑτὸ ποσοῦ μονὰς ἦν καὶ δυὰς τὰ ἀρχικώτατα στοιχεῖα, ἐξ ὧν ἐλαχίστων καὶ ἐπ' ἄπειρον ἀεὶ συνίσταται καὶ αὔξεται
2 *καὶ ἐπὶ τὸ μεῖον ἀναλυόμενον ἵσταται. ἀλλὰ τὴν μὲν ἐπὶ τῆς ἀνισότητος προκοπὴν καὶ ἐπαύξησιν ἀπεδείξαμεν ἀπὸ ἰσότητος γινομένην ἐπὶ πάσας ἁπλῶς τὰς σχέσεις μετά τινος εὐταξίας διὰ τριῶν προσταγμάτων· λοιπὸν δ', ἵν' ὡς ἀληθῶς στοιχεῖον ᾖ, ἀποδεικνύειν, ὅτι καὶ αἱ ἀναλύσεις ἐπ' αὐτὴν ἐσχάτην περαιοῦνται· ἔφοδον ἰστέον τοιαύτην καθολικήν.*

II *β. Δοθέντων σοι τριῶν ὅρων ἐν ᾑτινιοῦν σχέσει καὶ ἀναλογίᾳ, εἴτε πολλαπλασίῳ εἴτε ἐπιμορίῳ εἴτε ἐπιμερεῖ εἴτε συνθέτῳ ἀπὸ τούτων πολλαπλασιεπιμορίῳ ἤτοι πολλαπλασιεπιμερεῖ, μόνον ἵνα ἐν τῷ αὐτῷ λόγῳ ὁ μέσος πρὸς τὸν ἐλάττονα θεωρῆται, ἐν ᾧ ὁ μείζων πρὸς τὸν μέσον ἢ ἀνάπαλιν, αἰεὶ τὸν ἐλάττονα ἀφαίρει ἀπὸ τοῦ μέσου, ἐάν τε πρῶτος ᾖ κείμενος ἐάν τε ἔσχατος, καὶ τίθει αὐτὸν μὲν τὸν*

II. Io. Phil. rec. I *ε—ιβ*; rec. II *ε—ια*. — Soterichi Schol. ined. (cod. *H*) — Boëth. II. 2.

---

8. *ἀναλυομένου G -μενα PSH* — 9. *ἐπὶ* om. *H* — *αὔξησιν H* — 12. 13. *λοιπόν, ἵν' ὡς ἀλ. ᾖ, ἀποδ. ὅτι στοιχεῖόν ἐστι καὶ ὅτι καὶ αἱ ἀναλ. C* — 14. *ἔφοδον*] *οὖν* add. *P δὲ H* — *καθολικῶς P*

II. *Ἡ ἔφοδος P* — 16. *σχέσει*] *θέσει* G_1; *σχέσει* tuetur Io. Phil. rec. II. *ε* — 18. *ἐπισυνθέτῳ H* — *πολλαπλασιπιμορίῳ* om. *GPH*

ἐλάσσονα πρῶτον ὅρον, τὸ δὲ λειφθὲν ἀπὸ τοῦ
δευτέρου μετὰ τὴν ἀφαίρεσιν δεύτερον τάσσε ὅρον,
ἑνὸς δὲ τοιούτου πρώτου καὶ δύο τοιούτων δευτέ-
ρων ἀφαιρεθέντων ἀπὸ τοῦ λοιποῦ, τουτέστιν ἀπὸ
τοῦ μείζονος τῶν δοθέντων σοι, τὸ λειπόμενον ποίει
τρίτον ὅρον καὶ ἔσονται αἱ γινόμεναι ἐν ἄλλῃ τινὶ
σχέσει προγενεστέρᾳ κατὰ φύσιν. πάλιν δὲ ἀπ' 2
αὐτῶν τούτων τῷ αὐτῷ τρόπῳ ἂν ἀφέλῃς ὅρου τὸ
λειπόμενον, οἱ τρεῖς ὅροι ἀναπεποδισμένοι σοι εὑρε-
θήσονται εἰς πυθμενικωτέρους ἄλλους τρεῖς, καὶ
τοῦτο ἀεὶ ἀκόλουθον εὑρήσεις γινόμενον, μέχρις ἂν
εἰς ἰσότητα ἀναχθῶσιν· ἐξ οὗ πᾶσα ἀνάγκη δηλο-
νότι ἀποφαίνεσθαι, τὴν ἰσότητα τοῦ πρός τι ποσοῦ
στοιχεῖον πάντως εἶναι. παρέπεται δὲ τῇ τοιαύτῃ 3
θεωρίᾳ ἐμμουσότατόν τι θεώρημα καὶ χρησιμώτατον
εἴς τε τὴν Πλατωνικὴν ψυχογονίαν καὶ εἰς τὰ ἁρ-
μονικὰ διαστήματα πάντα· κελευόμεθα γὰρ ἐκεῖ
πυκνῶς λόγου χάριν ἀποστῆσαι ἐφεξῆς δύο ἡμιο-
λίους λόγους ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ ἐπ'
ἄπειρον ἢ δύο ἐπιτρίτους ἢ ἐπιτετάρτους ἢ ἐπογ-
δόους ἢ οἵους δήποτε ἐπιμορίους καὶ καθ' ἕκαστον
αὐτῶν ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ μέχρις ὅσων
τις προςτάσσει. εὔλογον δέ ἐστι, μὴ ἰδιωτικῶς καὶ 4
ἀνεπιστημόνως, ἔστι δὲ ὅτε καὶ διημαρτημένως τὸ
τοιοῦτον ποιεῖν, ἀλλ' ἐντέχνως τε καὶ ἀπταίστως
καὶ τάχιστα ἐφόδῳ τοιαύτῃ.

---

1. τὸν δὲ λειφθέντα *S* — 3. δευτέρων om. *H* — 5. σοι om. *G* — 7. ἀπ'] ἐπ' *S* — 8. ἀφέλῃσι ἀπὸ τῶν αὐτῶν ὅρων *P* — 11. ἂν] οὐ *S* — 14. παντὸς *H* — εἶναι om. *S* — 15. ἐμμουσώτατον *P* τε καὶ γλαφυρώτατον add. *H* εὐμουσότ. *S* *ut ait Nicomachus* ἐννοιόφατον θεώρ. Boëth. — χρησιμεύει Soterich. — 16. [illegible]ίαν *PS*, cf. Plat. Tim. — 22. ὅσον *P* — 22. 23. ὅσων ἂν τις προςτάσσοι *C* ὧν ἂν τις προςτάσσῃ *S* ἂν ὅσων τις ἐπιτάξῃ *H* — 26. ἐφ' ὅδῳ *P*

III γ. Ἅπας πολλαπλάσιος τοσούτων ἐπιμορίων
ἡγήσεται λόγων ἀντιπαρωνύμων αὐτῷ, ὁπόστος ἂν
αὐτὸς ὢν τυγχάνῃ ἀπὸ μονάδος, οὔτε δὲ πλειόνων
2 οὔτε ἐλαττόνων οὐδεμιᾷ μηχανῇ. διπλάσιοι μὲν οὖν
ἡμιολίους φύσουσιν, ὁ πρῶτος ἕνα, ὁ δεύτερος δύο,
ὁ τρίτος τρεῖς, ὁ τέταρτος τέσσαρας, ὁ πέμπτος
πέντε, ὁ ἕκτος ἓξ καὶ οὔτε πλείονας οὔτε ἐλάττο-
νας, ἀλλ' ἐξ ἀνάγκης πάσης, ὅταν τὴν σύμμετρον
ποσότητα ἀπολάβωσιν οἱ γεννηθέντες ἐπιμόριοι ἰσά-
ριθμοι γενόμενοι τοῖς γεννήσασι πολλαπλασίοις, τότε
δὴ ἔκ τινος δαιμονίας μηχανῆς εὑρίσκεται ὁ πάντας
περαίνων ἀριθμὸς ἀνεπίδεκτος ὢν φύσει ἐκείνου
τοῦ μορίου, καθ' ὃ προέκοπτον οἱ ἐπιμόριοι· ἀπὸ
δὲ τῶν τριπλασίων οἱ ἐπίτριτοι πάντες προκόψουσι p.
καὶ αὐτοὶ ἰσάριθμοι τοῖς γεννῶσιν οἱ γεννώμενοι 41
καὶ περαιούμενοί γε μετὰ τὴν αὐτάρκειαν τῆς προ-
κοπῆς εἰς ἀριθμοὺς μὴ ἐπιδεκτικοὺς τρίτου· καὶ ἐπι-
τέταρτοι δὲ κατὰ ταυτὸν ἐκ τετραπλασίων ἐπικορύ-
φωσιν λαμβάνοντες ἀριθμὸν μετὰ τὴν αὐτάρκη
3 πρόβασιν τετάρτου μὴ ἐπιδεκτικόν. οἷον διπλασίων
μὲν ὑποδείγματος χάριν ἰσαρίθμους γεννώντων
ἡμιολίους ὁ μὲν ἄνω στίχος ἔσται πολλαπλασίων ὁ
πρῶτος

III. Io. Phil. rec. I, *ιγ—ις*; rec. II, *ιβ—ιε*. — Iambl. p. 72. 73. — Boëth. II. 2.

III. *Μέθοδος, ὅπως δεῖ ἐκ τῶν πολλαπλασίων τοὺς ἐπιμορίους εὑρίσκειν P* — 2. *ἀντιπαρωνυμούντων H* — *ὁπόσος H* — 3. *τυγχάνει P -οι C* — 7. *ὁ ἕκτ. ἓξ* om. *H* — 9. *ἐπιμόριοι* om. *PC* — 12. *περαιῶν PC* — 14. *προκόπτουσι H* — 15. *γινόμενοι*, om. *οἱ C* — 16. *μετ' αὐτὴν αὐτάρκη αὐτῆς προκ. P* — 17. *ἀριθμὸν SH* — *ἐπιδεκτικὰ G δεκτικὸν H τρίτον ἀνεπιδεκτικὸν S* — 18. *περικορύφωσιν H* — 20. *δεκτικὸν H*

α, β, δ, η, ις, λβ, ξδ·

ἐπεὶ δὲ πρῶτός ἐστιν ὁ β μετὰ τὴν μονάδα, ἑνὸς κατάρξει οὗτος ἡμιολίου μόνου τοῦ γ, ὅστις ἡμίσους ἐπιδεκτικὸς οὐκ ἔστιν, ἵνα καὶ ἄλλος αὐτοῦ γένηται ἡμιόλιος· ὁ πρῶτος ἄρα διπλάσιος ἑνὸς μόνου γεννητικός ἐστιν ἡμιολίου, ὁ δὲ δεύτερος ὁ δ δυεῖν γεννητικὸς ἡμιολίων, αὐτοῦ μὲν γὰρ ὁ ς, τοῦ δὲ ς ὁ ϑ, τοῦ δὲ ϑ οὐκ ἔστιν ἄλλος, ἥμισυ γὰρ οὐκ ἔχει· ὁ δὲ η τρίτος ὢν διπλάσιος τριῶν ἡμιολίων ἔσται πατήρ, ἑνὸς μὲν τοῦ ιβ πρὸς αὐτόν, ἑτέρου δὲ τοῦ ιη πρὸς τὸν ιβ, τρίτου δὲ τοῦ κζ πρὸς τὸν ιη, τετάρτου δὲ οὐκέτι διὰ τὸ καθολικόν, ὁ γὰρ κζ ἥμισυ οὐκέτι ἐπιδέχεται· ὁ δὲ ις τέταρτος ὢν διπλάσιος τεσσάρων ἡγήσεται ἡμιολίων, τοῦ τε κδ, τοῦ λς, τοῦ νδ καὶ τοῦ πα τελευταίου, ἵνα ἰσάριθμοι ἀναγκαίως ὦσι τοῖς γεννήσασιν, ὁ γὰρ πα οὐκέτι ἥμισυ φύσει ἐπιδέχεται· καὶ τοῦτο μέχρις ἀπείρου προιὼν ἀνάλογον εὑρήσεις. οἷον ὑποδείξεως ἕνεκα γε- 4
γράφθω οὕτως διπλασίου διάγραμμα·

Διπλασίων διάγραμμα·
κατὰ τὸ πλάτος διπλάσιον.

α	β	δ	η	ις	λβ	ξδ
	γ	ς	ιβ	κδ	μη	ϙς
		ϑ	ιη	λς	οβ	ρμδ
			κζ	νδ	ρη	σις
				πα	ρξβ	τκδ
					σμγ	υπς
						ψκϑ

κατὰ τὴν ὑποτείνουσαν τριπλάσιον.

κατὰ τὸ βάθος ἡμιόλιον.

1. ξδ] ρκη add. *C* — 3. ἄρξει *S* — μόνου] λόγου *S*, om. *C* — ὅς *H* — 4. ὑπ' αὐτοῦ *S* ἀπ' αὐτοῦ *H* — 5. γενητικός *G* — 6. ἔσται *C* — δυεῖν *G* — 7. ἡμιολίοιν *S* — 10. ἑαυτὸν *S* — 12. ὁ γὰρ] ὁ μὲν *G* — 13. ἐπιδέχεται] ἵνα καὶ ἄλλος ὑπ' αὐτοῦ γένηται ἡμιόλιος add. *S* — 16. τῷ γεννήσαντι ις *C* — 16. 17. φυσ. ἥμ. οὐκ ἐπιδ. *H* — 18. ὑποδείγματος χάριν *CS* — ἕνεκεν *H* — ἐγγεγράφθω *S* 19. διπλασίων *H* — 20. schema om. *PH*; *CS* sic inscri-

IV δ. Τριπλασίου δὲ ὑπόδειγμα παραπλήσιον διαγράφειν δεῖ·

Τριπλασίων διάγραμμα·
κατὰ μὲν τὸ πλάτος τριπλάσιον.

α	γ	ϑ	κζ	πα	σμγ	ψκϑ
	δ	ιβ	λϛ	ρη	τκδ	ϡοβ
		ιϛ	μη	ρμδ	υλβ	ˏασϟϛ
			ξδ	ρϟβ	φοϛ	ˏαψκη
				σνϛ	ψξη	ˏβτδ
					ˏακδ	ˏγοβ
						ˏδϟϛ

κατὰ δὲ τὴν ὑποτείνουσαν τετραπλάσιον.

κατὰ δὲ τὸ βάθος ἐπίτριτον.

ἐν ᾧ κατὰ ταυτὰ ὀψόμεθα τὸν μὲν πρῶτον τὸν γ ἑνὸς μόνου ἐπιτρίτου ἡγούμενον λόγου τοῦ δ πρὸς αὐτόν, ὅςτις ἀποκλείει εὐθὺς ἑτέρου γένεσιν ὁμοίου· τρίτον γὰρ οὐκ ἐπιδέχεται ὁ δ, οὐκ ἄρα οὐδ' ἐπίτριτον ἕξει· δεύτερος δὲ τριπλάσιός ἐστιν ὁ ϑ, διὰ τοῦτο δυεῖν μόνων ἐπιτρίτων κατάρξει λόγων τοῦ τε ιβ πρὸς αὐτὸν καὶ τοῦ ιϛ πρὸς τὸν ιβ· ὁ δὲ ιϛ ἀνακόπτει τὴν πρόβασιν λοιπόν, τρίτου γὰρ οὐκ ἔστιν ἐπιδεκτικός, διόπερ οὐδὲ ἐπίτριτόν τινα ἔχει
2 ἐν ἑαυτῷ. ἑξῆς δὲ τέτακται τριπλάσιος ὁ κζ ἐν τρίτῃ ἀπὸ μονάδος χώρᾳ τριπλασίων προχωρούντων

IV. Io. Phil. rec. I, ιζ, ιη. — Iambl. p. 72. 73. — Boëth. II. 2.

---

bunt: διπλάσιοι κατὰ πλάτος — ἡμιόλιοι τῶν ἐπάνω οἱ κάτω — τριπλάσιοι οἱ διαγώνιοι πάντες; idem codd. seriem perpendicularem octauam addunt: ρκη, ρϟβ, σπη, υλβ, χμη, ϡοβ, ˏαυνη, ˏβρπζ.

IV. 1. τριπλασίων H — παράδειγμα om. H — 3—11. Diagramma om. PH; codd. CS, in quibus series septima ψκϑ... ˏδϟϛ abest, hasce praebent inscriptiones: τριπλάσιοι κατὰ πλάτος — ἐπίτριτοι τῶν ἐπάνω οἱ κάτω — τετραπλάσιοι οἱ διαγώνιοι — 12. ταυτὸν P — 14. ἀποκλείσει P — 16. ἔχει H — 17. 18. τουτέστι ιβ P — 19. τρίτον G — 20. τινα om. H — 20. 21. ἔχει ἑαυτοῦ C — ἕξει αὐτοῦ H — 22. τριπλασίως CH

α, γ, θ, κζ·

διὰ τοῦτο τριῶν μόνων κατάρξει καὶ αὐτὸς ἐπιτρί-
2 των λόγων, πλειόνων δὲ οὐδαμῶς· αὐτοῦ μὲν γὰρ πρῶτος ὁ λς, τούτου δὲ δεύτερος ὁ μη, τρίτος δὲ τούτου ὁ ξδ, ὃς οὐκέτι τρίτον μέρος ἔχει, διὸ οὐδ' ἐπιτρίτου δεκτικός, καὶ ὁ τέταρτος τεσσάρων ἡγε-
μών ἐστι λόγων καὶ ὁ πέμπτος δηλονότι πέντε. τὸ 3
δὲ ὑπόδειγμα τοιοῦτον· καὶ ἐπὶ τῶν λοιπῶν δὲ πολυπλασίων ὁ αὐτὸς τῶν διαγραμμάτων ἔστω σοι τρόπος παρατηροῦντι, ὅτι καὶ ἐνταῦθα ἡ φύσις, ὥςπερ καὶ ἐν τοῖς προτεχνολογηθεῖσιν εὕρομεν, προγενεστέρους ἡμῖν παρεμφαίνει διπλασίους μὲν τριπλασίων, τριπλασίους δὲ τετραπλασίων, τούτους δὲ πενταπλασίων, καὶ ἀεὶ οὕτως μέχρι παντός· οἱ μὲν γὰρ ἐπὶ πλάτος στίχοι οἱ ἀνωτάτω, ἐὰν ὦσι διπλάσιοι, ὁμοίως ἕξουσι τοὺς ὑπ' αὐτοὺς παραλλήλους κειμένους, τοὺς δὲ ὑποτείνοντας διαγωνίους τοῦ αὐτοῦ γένους τὸ συνεχὲς καὶ μονάδι μεῖζον εἶδος, ὅ ἐστι τριπλασίους, ἐν παραλλήλῳ ἐξετάσει θεωρουμένους· εἰ δ' οἱ ἐπὶ πλάτος εἶεν τριπλάσιοι, πάντως οἱ διαγώνιοι ἔσονται τετραπλάσιοι, εἰ δὲ ἐκεῖνοι τετραπλάσιοι, εὐθὺς οὗτοι πενταπλάσιοι, καὶ τοῦτο μέχρις ἀεί.

---

6. δεκτικός] ἐστι add. *H* — ἡμών *G*₁ — 7. ἔσται *SH* — 10. παρατηροῦντι] σοι add. *S* — 11. ὥςπερ καὶ] καθάπερ *S* — εὑρίσκομεν *H* — 15. ἀνώτατοι *S* — 16. παραλλήλως *P* — 18. μονάδος *P*, om. *C* — 19. ἐν παρ. ... θεωρουμ. om. *S* — 20. εἶεν] εἰσί *H* — 23. Diagrammata, quae supra adposuit, hic repetit codex *G* sic inscripta: 1. τριπλάσιοι πάντες οἱ διαγώνιοι — ἡμιόλιοι τῶν ἄνω οἱ κάτω. 2. τετραπλάσιοι πάντες οἱ διαγώνιοι — ἐπίτριτοι τῶν ἄνω οἱ κάτω.

V ε. *Λοιπὸν δεῖ, σαφηνίσαντας τὰς τῶν λόγων
συνθέσεις, τίνων ἑτέρων ἀποδοτικαί εἰσι, μεταβῆναι
2 ἐπὶ τὰ τῆς εἰςαγωγῆς ἀκόλουθα. οἱ πρῶτοι τοίνυν
τοῦ ἐπιμορίου δύο λόγοι συλληφθέντες εἰς τὸ αὐτὸ
γεννῶσι τὸν τοῦ πολλαπλασίου πρῶτον λόγον, τουτ-
έστι τὸν διπλάσιον· πᾶς γὰρ διπλάσιος σύστημα
ἔσται ἡμιολίου καὶ ἐπιτρίτου καὶ πᾶς ἡμιόλιος καὶ
ἐπίτριτος συντεθέντες ἀποδοτικοὶ ἑνὸς διπλασίου
πάντως ἔσονται· οἷον ἐπεὶ ὁ γ ἡμιόλιος τοῦ β, ὁ δὲ
δ ἐπίτριτος τοῦ γ, ἔσται τοῦ β ὁ δ διπλάσιος σύν-
θετος ὢν ἐξ ἡμιολίου καὶ ἐπιτρίτου· πάλιν ἐπεὶ ὁ ϛ
διπλάσιός ἐστι τοῦ γ, εὑρήσομεν ἀνὰ μέσον αὐτῶν
ἀριθμόν τινα τεταγμένον, ὃς ἐξ ἀνάγκης πρὸς μὲν
τὸν ἕτερον τὸν ἐπίτριτον σώζει λόγον, πρὸς δὲ τὸν
λοιπὸν τὸν ἡμιόλιον· ὁ γοῦν δ ἀνὰ μέσον κείμενος
τοῦ ϛ καὶ τοῦ γ πρὸς μὲν τὸν γ ἀποδίδωσι λόγον
3 ἐπίτριτον, πρὸς δὲ τὸν ϛ τὸν ἡμιόλιον. ὀρθῶς ἄρα
ἐλέχθη, διαλυόμενον μὲν τὸν διπλάσιον εἰς ἡμιόλιον
καὶ ἐπίτριτον διαλύεσθαι, συντιθεμένων δὲ πάντως
ἡμιολίου καὶ ἐπιτρίτου μόνον συνίστασθαι διπλά- P
σιον καὶ τὰ τοῦ ἐπιμορίου δύο πρώτιστα εἴδη συν- 43
τεθέντα ποιητικὰ εἶναι τοῦ τῶν πολλαπλασίων
4 πρωτίστου εἴδους. πάλιν δὲ ἐξ ἄλλης ἀρχῆς τὸ
γεννηθὲν τοῦτο τοῦ πολλαπλασίου πρώτιστον εἶδος
μετὰ τοῦ πρώτου τῶν ἐπιμορίων εἴδους ἀποδοτικὸν*

V. Io. Phil. rec. I, *ιθ, κ;* rec. II, *ιϛ, ιζ.* — Boëth. II. 3.

V. 1. 2. *Λοιπὸν δὴ . . . μεταβῆναι δέον C* — 1. *προ σαφηνίσαντας PCSH* — *τῶν ἀναλογιῶν λόγων G* — 5. *ὅ ἐστι SH* — 8. *συντιθέντες G* — 9. *πάντος G παντός P* — 12. *ἕνα τινὰ SH* — 14. *σώσει S* — 19. *συντεθειμένον P συντιθέμενον S* — 21. *δύο* om. *C* — *συντιθέντα G*

γίνεται τοῦ ὁμογενοῦς αὐτῶν συνεχοῦς εἴδους, τουτέστι τοῦ δευτέρου πολλαπλασίου, ὅπερ ἐστὶ τριπλασίου· ἐκ γὰρ παντὸς διπλασίου καὶ ἡμιολίου συντεθέντων τριπλάσιον ἐξ ἀνάγκης φύεται· οἷον ἐπεὶ τοῦ ϛ διπλάσιος ὁ ιβ, αὐτοῦ δὲ τούτου ἡμιόλιος ὁ ιη, εὐθὺς καὶ τριπλάσιος ὁ ιη τοῦ ϛ· καὶ ἑτέρῳ τρόπῳ ἐὰν μὴ τὸν ιβ θέλω μέσον ποιεῖν, ἀλλὰ μᾶλλον τὸν τοῦ ϛ ἡμιόλιον τὸν θ, τὸ αὐτό μοι ἀπαράλλακτον καὶ σύμφωνον συμβήσεται· τοῦ γὰρ θ ὁ ιη διπλάσιος ὢν τὸν τριπλάσιον λόγον σώσει πρὸς τὸν ϛ· ἐξ ἡμιολίου ἄρα καὶ διπλασίου πρώτων εἰδῶν ἐπιμορίου καὶ πολλαπλασίου συνίσταται μιγέντων τὸ δεύτερον εἶδος τοῦ πολλαπλασίου τὸ τριπλάσιον καὶ εἰς αὐτὰ δὲ πάντως ἀναλύεται. ἰδοὺ 5
γὰρ ὁ ϛ τοῦ β τριπλάσιος ὢν ἕξει μέσον τὸν γ, ὃς δύο λόγους παραδείξει, τὸν μὲν ἡμιόλιον πρὸς τὸν β, πρὸς ἑαυτὸν δὲ διπλάσιον τὸν τοῦ ϛ· ἐὰν δὲ καὶ ὁ τριπλάσιος οὗτος δεύτερον εἶδος ὢν τοῦ πολλαπλασίου συντεθῇ ἐπιτρίτῳ δευτέρῳ εἴδει ὄντι τοῦ ἐπιμορίου γένοιτ᾽ ἂν ἐξ ἀμφοτέρων τὸ συνεχὲς τοῦ πολλαπλασίου εἶδος, τουτέστι τὸ τετραπλάσιον, ὃ καὶ ἀναγκαίως εἰς ἀμφότερα ἀναλυθήσεται κατὰ τὴν αὐτὴν τοῖς προδεδηλωμένοις φύσιν· τὸ δὲ τετραπλάσιον προσλαβὸν τὸ ἐπιτέταρτον ποιητικὸν ἔσται τοῦ πενταπλασίου καὶ πάλιν ἐκεῖνο σὺν τῷ

---

1. αὐτῷ *C* — 2. ὅ ἐστι *CS* — 4. συντιθέντων *G* — ἀνάφύεται *H* γίνεται *S* — 7. μεσοποιεῖν *P* — 10. σώζει *CH* — 11. 12. πρώτου εἴδους ἐπιμορίου καὶ πρώτου εἴδους πολυπλασίου *S* — 13. πολυπλ. *S* — 15. τοῦ β] τοῦ δευτέρου *G* — 20. γένοιντ᾽ *G* — 21. τετραπλάσιον] τριπλάσιος δὲ ὁ ϛ τοῦ β [ἐπεὶ γὰρ ὁ ϛ τοῦ β τριπλ. *H*] ἐπίτριτος [δὲ *H*] ὁ η τοῦ ϛ, ὁ η ἄρα τοῦ β τετραπλάσιος add. *SH* — 24. προσλαβών *P*

ἐπιπέμπτῳ τοῦ ἑξαπλασίου, καὶ τοῦτο μέχρι παντός, ἵνα εὔτακτοι οἱ ἐξ ἀρχῆς πολλαπλάσιοι μετὰ εὐτάκτων τῶν ἐξ ἀρχῆς ἐπιμορίων ἀποδοτικοὶ εὑρίσκωνται τῶν ἐπὶ τὸ μεῖζον συνεχῶν πολλαπλασίων· διπλάσιος μὲν γὰρ μεθ' ἡμιολίου τριπλασιότητος ποιητικός, τριπλάσιος δὲ μετ' ἐπιτρίτου τετραπλασιότητος, τετραπλάσιος δὲ μετ' ἐπιτετάρτου πενταπλασιότητος καί, ἕως προχωρεῖν θέλεις, οὐδὲν P
ὑπεναντίον σοι συμβαῖνον φανεῖται. 44

VI ς. *Μέχρι μὲν οὖν τοῦδε ἱκανῶς περὶ τοῦ πρὸς ἕτερόν πως ἔχοντος ποσοῦ διειλέγμεθα συμμετρησάμενοι κατ' ἐκλογὴν τὰ προσήκοντα καὶ εὐπερίληπτα τῇ τῶν ἄρτι εἰσαγομένων ἕξει· τὰ γὰρ εἰς τὸν τόπον τοῦτον ὑπόλοιπα προσπληρωθήσεται διαλιπόντων πάλιν ἡμῶν καὶ προτεχνολογησάντων ἕτερά τινα προυργιαιτέραν τὴν σκέψιν ἔχοντα ἐκ τῶν συμβεβηκότων τῷ καθ' αὐτὸ ποσῷ καὶ μὴ τῷ πρὸς ἕτερόν πως ἔχοντι, αἰεὶ γὰρ δι' ἀλλήλων φιλεῖ πως διαρθροῦσθαι καὶ σαφηνίζεσθαι τὰ ἐν τοῖς μαθήμασι θεωρήματα· ἃ δὲ χρὴ προεπισκοπῆσαι καὶ προθεάσασθαι, ἔστι περί τε γραμμικῶν ἀριθμῶν καὶ*

VI. Io. Phil. rec. I, *κα—κη*; rec. II, *ιη—κα*. — Iambl. p. 80–82. — Boëth. II. 4.

3. *εὑρίσκονται P* — 8. *ἕως ἂν . . θέλῃς SH* — 9. *σοι*] *μοι C*, om. *P* — *συμβαῖναι P* — *φανήσεται H* — codices Nicomachi uerba schematibus inlustrant huncce in modum compositis:

VI. 10. *οὖν* om. *C* — 14. *προσπληρωθήσονται C* — 20. *θεωρούμενα H* — 20. 21. *ἐπισκοπ. καὶ θεάσασθαι S* — 21. *γραμμι////κῶν G*

ἐπιπέδων καὶ στερεῶν, κυβικῶν τε καὶ σφαιρικῶν, καὶ ἰσοπλεύρων καὶ σκαληνῶν, πλινθίδων τε καὶ δοκίδων καὶ σφηνίσκων καὶ τῶν ὁμοίων, ἃ δὴ ἰδίως μὲν ἐν τῇ γεωμετρικῇ παραδίδοται εἰςαγωγῇ τοῦ πηλίκου οἰκειότερα ὄντα, σπερματικώτερον δὲ προςπαραλαμβάνεται ἐν τῇ ἀριθμητικῇ ὡςὰν μητρὶ καὶ ἀρχεγονωτέρᾳ ἐκείνης· μεμνήμεθα γάρ, ὅτι πρὸ βραχέος τοιαύτη ἡμῖν ἐφάνη συναναιροῦσα μὲν τὰς ἄλλας ἐπιστήμας ἑαυτῇ, οὐ συναναιρουμένη δὲ ἐκείναις, καὶ ἔμπαλιν συνεπιφερομένη μὲν ἐκείναις ἀναγκαίως, οὐ συνεπιφέρουσα δὲ αὐτὰς ἑαυτῇ.

Πρότερον δὲ ἐπιγνωστέον, ὅτι ἕκαστον γράμμα, 2
ᾧ σημειούμεθα ἀριθμόν, οἷον τὸ ι, ᾧ τὰ δέκα, τὸ κ, ᾧ τὰ εἴκοσι, τὸ ω, ᾧ τὰ ὀκτακόσια, νόμῳ καὶ συνθήματι ἀνθρωπίνῳ, ἀλλ᾽ οὐ φύσει σημαντικόν ἐστι τοῦ ἀριθμοῦ, ἡ δὲ φυσικὴ καὶ ἀμέθοδος καὶ διὰ τοῦτο ἁπλουστάτη σημείωσις τῶν ἀριθμῶν εἴη ἂν ἡ τῶν μονάδων τῶν ἐν ἑκάστῳ οὐσῶν παράλληλος ἔκθεσις· οἷον μιᾶς μὲν μονάδος γραφὴ διὰ τοῦ ἑνὸς ἄλφα σημεῖον ἔσται τοῦ ἑνός, δυεῖν δὲ μονάδων παραλλήλων, τουτέστι δυεῖν ἄλφα ἔκθεσις σημεῖον ἔσται τῆς δυάδος, τριῶν δὲ ἐπ᾽ εὐθείας ἀλλήλοις κειμένων τριάδος ἔσται χαρακτὴρ καὶ τεσσάρων ἐπ᾽ εὐθὺ τεταγμένων τετράδος καὶ πέντε πεντάδος καὶ ἀεὶ οὕτως· διὰ γὰρ τῆς τοιαύτης γραφῆς καὶ σημάνσεως ἡ τῶν φρασθησομένων ἐπιπέδων τε καὶ

---

1. *κύβων H* — *τε*] *φημί* add. *C* — 2. *σκαλινῶν P* cf. Eucl. I, *ὅρ. κϛ* — 3. *σφηνίκων GP σφ. καὶ σφηκίσκων H* — 7. *ἀρχαιγονωτέρα S* — 11. *ἀναγκαίως* om. *C* — 14. *ᾧ τὰ εἴκ.* om. *P* — 17. *εἴη ἂν*] *ὀρθῶς* add. *SH* — 20. *ἄλφα*] *ἔκθεσις* add. *C* — 22. *ἀλλήλοις*] *παραλλήλοιν S*

σώματα, πῦρ, ὕδωρ, ἀήρ, γῆ· ἐκ γὰρ πρωτίστων αὐτῶν ἡ σύστασις τοῦ παντὸς φυσιολογεῖται καὶ εἰς αὐτὰ ἔσχατα ἐπινοεῖται ἡ ἀνάλυσις), ἀποδεῖξαι δὲ βουλόμεθα, ὅτι καὶ ἡ ἰσότης στοιχεῖόν ἐστι τοῦ πρός τι ποσοῦ· τοῦ γὰρ ἁπλῶς καὶ καθ' αὑτὸ ποσοῦ μονὰς ἦν καὶ δυὰς τὰ ἀρχικώτατα στοιχεῖα, ἐξ ὧν ἐλαχίστων καὶ ἐπ' ἄπειρον ἀεὶ συνίσταται καὶ αὔξεται καὶ ἐπὶ τὸ μεῖον ἀναλυόμενον ἵσταται. 2 *ἀλλὰ τὴν μὲν ἐπὶ τῆς ἀνισότητος προκοπὴν καὶ ἐπαύξησιν ἀπεδείξαμεν ἀπὸ ἰσότητος γινομένην ἐπὶ πάσας ἁπλῶς τὰς σχέσεις μετά τινος εὐταξίας διὰ τριῶν προσταγμάτων· λοιπὸν δ', ἵν' ὡς ἀληθῶς στοιχεῖον ᾖ, ἀποδεικνύειν, ὅτι καὶ αἱ ἀναλύσεις ἐπ' αὐτὴν ἐσχάτην περαιοῦνται· ἔφοδον ἰστέον τοιαύτην καθολικήν.*

II *β. Δοθέντων σοι τριῶν ὅρων ἐν ᾑτινιοῦν σχέσει καὶ ἀναλογίᾳ, εἴτε πολλαπλασίῳ εἴτε ἐπιμορίῳ εἴτε ἐπιμερεῖ εἴτε συνθέτῳ ἀπὸ τούτων πολλαπλασιεπιμορίῳ ἤτοι πολλαπλασιεπιμερεῖ, μόνον ἵνα ἐν τῷ αὐτῷ λόγῳ ὁ μέσος πρὸς τὸν ἐλάττονα θεωρῆται, ἐν ᾧ ὁ μείζων πρὸς τὸν μέσον ἢ ἀνάπαλιν, αἰεὶ τὸν ἐλάττονα ἀφαίρει ἀπὸ τοῦ μέσου, ἐάν τε πρῶτος ᾖ κείμενος ἐάν τε ἔσχατος, καὶ τίθει αὐτὸν μὲν τὸν*

II. Io. Phil. rec. I *ε—ιβ*; rec. II *ε—ια*. — Soterichi Schol. ined. (cod. *H*) — Boëth. II. 2.

---

8. *ἀναλυομένου G -μενα PSH* — 9. *ἐπὶ* om. *H* — *αὔξησιν H* — 12. 13. *λοιπόν, ἵν' ὡς ἀλ. ᾖ, ἀποδ. ὅτι στοιχεῖόν ἐστι καὶ ὅτι καὶ αἱ ἀναλ. C* — 14. *ἔφοδον*] *οὖν* add. *P δὲ H* — *καθολικῶς P*

II. *Ἡ ἔφοδος P* — 16. *σχέσει*] *θέσει* G_1; *σχέσει* tuetur Io. Phil. rec. II, *ε* — 18. *ἐπισυνθέτῳ H* — *πολλαπλασιπιμορίῳ* om. *GPH*

*ἐλάσσονα πρῶτον ὅρον, τὸ δὲ λειφθὲν ἀπὸ τοῦ
δευτέρου μετὰ τὴν ἀφαίρεσιν δεύτερον τάσσε ὅρον,
ἑνὸς δὲ τοιούτου πρώτου καὶ δύο τοιούτων δευτέ-
ρων ἀφαιρεθέντων ἀπὸ τοῦ λοιποῦ, τουτέστιν ἀπὸ
τοῦ μείζονος τῶν δοθέντων σοι, τὸ λειπόμενον ποίει
τρίτον ὅρον καὶ ἔσονται αἱ γινόμεναι ἐν ἄλλῃ τινὶ
σχέσει προγενεστέρᾳ κατὰ φύσιν. πάλιν δὲ ἀπ'* 2
*αὐτῶν τούτων τῷ αὐτῷ τρόπῳ ἂν ἀφέλῃς ὅρου τὸ
λειπόμενον, οἱ τρεῖς ὅροι ἀναπεποδισμένοι σοι εὑρε-
θήσονται εἰς πυθμενικωτέρους ἄλλους τρεῖς, καὶ
τοῦτο ἀεὶ ἀκόλουθον εὑρήσεις γινόμενον, μέχρις ἂν
εἰς ἰσότητα ἀναχθῶσιν· ἐξ οὗ πᾶσα ἀνάγκη δηλο-
νότι ἀποφαίνεσθαι, τὴν ἰσότητα τοῦ πρός τι ποσοῦ
στοιχεῖον πάντως εἶναι. παρέπεται δὲ τῇ τοιαύτῃ* 3
*θεωρίᾳ ἐμμουσότατόν τι θεώρημα καὶ χρησιμώτατον
εἴς τε τὴν Πλατωνικὴν ψυχογονίαν καὶ εἰς τὰ ἁρ-
μονικὰ διαστήματα πάντα· κελευόμεθα γὰρ ἐκεῖ
πυκνῶς λόγου χάριν ἀποστῆσαι ἐφεξῆς δύο ἡμιο-
λίους λόγους ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ ἐπ'
ἄπειρον ἢ δύο ἐπιτρίτους ἢ ἐπιτετάρτους ἢ ἐπογ-
δόους ἢ οἵους δήποτε ἐπιμορίους καὶ καθ' ἕκαστον
αὐτῶν ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ μέχρις ὅσων
τις προστάσσει. εὔλογον δέ ἐστι, μὴ ἰδιωτικῶς καὶ* 4
*ἀνεπιστημόνως, ἔστι δὲ ὅτε καὶ διημαρτημένως τὸ
τοιοῦτον ποιεῖν, ἀλλ' ἐντέχνως τε καὶ ἀπταίστως
καὶ τάχιστα ἐφόδῳ τοιαύτῃ.*

---

1. τὸν δὲ λειφθέντα *S* — 3. δευτέρων om. *H* — 5. σοι om. *G* — 7. ἀπ'] ἐπ' *S* — 8. ἀφέλησι ἀπὸ τῶν αὐτῶν ὅρων *P* — 11. ἂν] οὗ *S* — 14. παντὸς *H* — εἶναι om. *S* — 15. ἐμμουσώτατον *P* τε καὶ γλαφυρώτατον add. *H* εὐμουσότ. *S* *ut ait Nicomachus* ἐννοιόφατον θεώρ. Boëth. — χρησιμεύει Soterich. — 16. [illegible]ίαν *PS*, cf. Plat. Tim. — 22. ὅσον *P* — 22. 23. ὅσων ἂν τις προστάσσοι *C* ὧν ἂν τις προστάσσῃ *S* ἂν ὅσων τις ἐπιτάξῃ *H* — 26. ἐφ' ὅδῳ *P*

III γ. Ἅπας πολλαπλάσιος τοσούτων ἐπιμορίων
ἡγήσεται λόγων ἀντιπαρωνύμων αὐτῷ, ὁπόστος ἂν
αὐτὸς ὢν τυγχάνῃ ἀπὸ μονάδος, οὔτε δὲ πλειόνων
2 οὔτε ἐλαττόνων οὐδεμιᾷ μηχανῇ. διπλάσιοι μὲν οὖν
ἡμιολίους φύσουσιν, ὁ πρῶτος ἕνα, ὁ δεύτερος δύο,
ὁ τρίτος τρεῖς, ὁ τέταρτος τέσσαρας, ὁ πέμπτος
πέντε, ὁ ἕκτος ἓξ καὶ οὔτε πλείονας οὔτε ἐλάττο-
νας, ἀλλ' ἐξ ἀνάγκης πάσης, ὅταν τὴν σύμμετρον
ποσότητα ἀπολάβωσιν οἱ γεννηθέντες ἐπιμόριοι ἰσά-
ριθμοι γενόμενοι τοῖς γεννήσασι πολλαπλασίοις, τότε
δὴ ἔκ τινος δαιμονίας μηχανῆς εὑρίσκεται ὁ πάντας
περαίνων ἀριθμὸς ἀνεπίδεκτος ὢν φύσει ἐκείνου
τοῦ μορίου, καθ' ὃ προέκοπτον οἱ ἐπιμόριοι· ἀπὸ
δὲ τῶν τριπλασίων οἱ ἐπίτριτοι πάντες προκόψουσι p
καὶ αὐτοὶ ἰσάριθμοι τοῖς γεννῶσιν οἱ γεννώμενοι 41
καὶ περαιούμενοί γε μετὰ τὴν αὐτάρκειαν τῆς προ-
κοπῆς εἰς ἀριθμοὺς μὴ ἐπιδεκτικοὺς τρίτου· καὶ ἐπι-
τέταρτοι δὲ κατὰ ταυτὸν ἐκ τετραπλασίων ἐπικορύ-
φωσιν λαμβάνοντες ἀριθμὸν μετὰ τὴν αὐτάρκη
3 πρόβασιν τετάρτου μὴ ἐπιδεκτικόν. οἷον διπλασίων
μὲν ὑποδείγματος χάριν ἰσαρίθμους γεννώντων
ἡμιολίους ὁ μὲν ἄνω στίχος ἔσται πολλαπλασίων ὁ
πρῶτος

III. Io. Phil. rec. I, ιγ—ιϛ; rec. II, ιβ—ιε. — Iambl. p. 72. 73. — Boëth. II. 2.

III. *Μέθοδος, ὅπως δεῖ ἐκ τῶν πολλαπλασίων τοὺς ἐπιμορίους εὑρίσκειν P* — 2. *ἀντιπαρωνυμούντων H* — *ὁπόσος H* — 3. *τυγχάνει P* *-οι C* — 7. *ὁ ἕκτ. ἓξ* om. *H* — 9. *ἐπιμόριοι* om. *PC* — 12. *περαιῶν PC* — 14. *προκόπτουσι H* — 15. *γινόμενοι*, om. *οἱ C* — 16. *μετ' αὐτὴν αὐτάρκη αὐτῆς προκ. P* — 17. *ἀριθμὸν SH* — *ἐπιδεκτικὰ G* *δεκτικὸν H* *τρίτον ἀνεπιδεκτικὸν S* — 18. *περικορύφωσιν H* — 20. *δεκτικὸν H*

α, β, δ, η, ις, λβ, ξδ·

ἐπεὶ δὲ πρῶτός ἐστιν ὁ β μετὰ τὴν μονάδα, ἑνὸς κατάρξει οὗτος ἡμιολίου μόνου τοῦ γ, ὅστις ἡμίσους ἐπιδεκτικὸς οὐκ ἔστιν, ἵνα καὶ ἄλλος αὐτοῦ γένηται ἡμιόλιος· ὁ πρῶτος ἄρα διπλάσιος ἑνὸς μόνου γεννητικός ἐστιν ἡμιολίου, ὁ δὲ δεύτερος ὁ δ δυεῖν γεννητικὸς ἡμιολίων, αὐτοῦ μὲν γὰρ ὁ ς, τοῦ δὲ ς ὁ ϑ, τοῦ δὲ ϑ οὐκ ἔστιν ἄλλος, ἥμισυ γὰρ οὐκ ἔχει· ὁ δὲ η τρίτος ὢν διπλάσιος τριῶν ἡμιολίων ἔσται πατήρ, ἑνὸς μὲν τοῦ ιβ πρὸς αὐτόν, ἑτέρου δὲ τοῦ ιη πρὸς τὸν ιβ, τρίτου δὲ τοῦ κζ πρὸς τὸν ιη, τετάρτου δὲ οὐκέτι διὰ τὸ καθολικόν, ὁ γὰρ κζ ἥμισυ οὐκέτι ἐπιδέχεται· ὁ δὲ ις τέταρτος ὢν διπλάσιος τεσσάρων ἡγήσεται ἡμιολίων, τοῦ τε κδ, τοῦ λς, τοῦ νδ καὶ τοῦ πα τελευταίου, ἵνα ἰσάριθμοι ἀναγκαίως ὦσι τοῖς γεννήσασιν, ὁ γὰρ πα οὐκέτι ἥμισυ φύσει ἐπιδέχεται· καὶ τοῦτο μέχρις ἀπείρου προιὼν ἀνάλογον εὑρήσεις. οἷον ὑποδείξεως ἕνεκα γε- 4
γράφθω οὕτως διπλασίου διάγραμμα·

Διπλασίων διάγραμμα·
κατὰ τὸ πλάτος διπλάσιον.

α	β	δ	η	ις	λβ	ξδ
	γ	ς	ιβ	κδ	μη	͵ις
		ϑ	ιη	λς	οβ	ρμδ
			κζ	νδ	ρη	σις
				πα	ρξβ	τκδ
					σμγ	υπς
						ψκϑ

κατὰ τὴν ὑποτείνουσαν τριπλάσιον.

κατὰ τὸ βάθος ἡμιόλιον.

1. ξδ] ρκη add. *C* — 3. ἄρξει *S* — μόνου] λόγου *S*, om. *C* — ὅς *H* — 4. ὑπ' αὐτοῦ *S* ἀπ' αὐτοῦ *H* — 5. γενητικός *G* — 6. ἔσται *C* — δυεῖν *G* — 7. ἡμιολίοιν *S* — 10. ἑαυτὸν *S* — 12. ὁ γὰρ] ὁ μὲν *G* — 13. ἐπιδέχεται] ἵνα καὶ ἄλλος ὑπ' αὐτοῦ γένηται ἡμιόλιος add. *S* — 16. τῷ γεννήσαντι ις *C* — 16. 17. φύσ. ἥμ. οὐκ ἐπιδ. *H* — 18. ὑποδείγματος χάριν *CS* — ἕνεκεν *H* — ἐγγεγράφθω *S* 19. διπλασίων *H* — 20. schema om. *PH*; *CS* sic inscri-

IV δ. *Τριπλασίου δὲ ὑπόδειγμα παραπλήσιον διαγράφειν δεῖ·*

Τριπλασίων διάγραμμα·
κατὰ μὲν τὸ πλάτος τριπλάσιον.

α	γ	ϑ	κζ	πα	σμγ	ψκϑ
	δ	ιβ	λϛ	ρη	τκδ	ϡοβ
		ιϛ	μη	ρμδ	υλβ	‚ασϛ
			ξδ	ρϟβ	φϟϛ	‚αψκη
				σνϛ	ψξη	‚βτδ
					‚ακδ	‚γοβ
						‚δϟϛ

κατὰ δὲ τὴν ὑποτείνουσαν τετραπλάσιον.

κατὰ δὲ τὸ βάθος ἐπίτριτον.

ἐν ᾧ κατὰ ταυτὰ ὀψόμεθα τὸν μὲν πρῶτον τὸν γ ἑνὸς μόνου ἐπιτρίτου ἡγούμενον λόγου τοῦ δ πρὸς αὐτόν, ὅςτις ἀποκλείει εὐθὺς ἑτέρου γένεσιν ὁμοίου· τρίτον γὰρ οὐκ ἐπιδέχεται ὁ δ, οὐκ ἄρα οὐδ' ἐπίτριτον ἕξει· δεύτερος δὲ τριπλάσιός ἐστιν ὁ ϑ, διὰ τοῦτο δυεῖν μόνων ἐπιτρίτων κατάρξει λόγων τοῦ τε ιβ πρὸς αὐτὸν καὶ τοῦ ιϛ πρὸς τὸν ιβ· ὁ δὲ ιϛ ἀνακόπτει τὴν πρόβασιν λοιπόν, τρίτου γὰρ οὐκ ἔστιν ἐπιδεκτικός, διόπερ οὐδὲ ἐπίτριτόν τινα ἔχει
2 *ἐν ἑαυτῷ. ἑξῆς δὲ τέτακται τριπλάσιος ὁ κζ ἐν τρίτῃ ἀπὸ μονάδος χώρᾳ τριπλασίων προχωρούντων*

IV. Io. Phil. rec. I, *ιζ, ιη*. — Iambl. p. 72. 73. — Boëth. II. 2.

---

bunt: *διπλάσιοι κατὰ πλάτος — ἡμιόλιοι τῶν ἐπάνω οἱ κάτω — τριπλάσιοι οἱ διαγώνιοι πάντες*; idem codd. seriem perpendicularem octauam addunt: *ρκη, ρϟβ, σπη, υλβ, χμη, ϡοβ, ‚αυνη, ‚βρπζ.*

IV. 1. *τριπλασίων H* — *παράδειγμα* om. *H* — 3—11. Diagramma om. *PH*; codd. *CS*, in quibus series septima *ψκϑ... ‚δϟϛ* abest, hasce praebent inscriptiones: *τριπλάσιοι κατὰ πλάτος — ἐπίτριτοι τῶν ἐπάνω οἱ κάτω — τετραπλάσιοι οἱ διαγώνιοι* — 12. *ταυτὸν P* — 14. *ἀποκλείσει P* — 16. *ἔχει H* — 17. 18. *τουτέστι ιβ P* — 19. *τρίτον G* — 20. *τινα* om. *H* — 20. 21. *ἔχει ἑαυτοῦ C* — *ἕξει αὐτοῦ H* — 22. *τριπλασίως CH*

α, γ, ϑ, κζ·

διὰ τοῦτο τριῶν μόνων κατάρξει καὶ αὐτὸς ἐπιτρί-
2 των λόγων, πλειόνων δὲ οὐδαμῶς· αὐτοῦ μὲν γὰρ πρῶτος ὁ λϛ, τούτου δὲ δεύτερος ὁ μη, τρίτος δὲ τούτου ὁ ξδ, ὃς οὐκέτι τρίτον μέρος ἔχει, διὸ οὐδ' ἐπιτρίτου δεκτικός, καὶ ὁ τέταρτος τεσσάρων ἡγε-
μών ἐστι λόγων καὶ ὁ πέμπτος δηλονότι πέντε. τὸ 3
δὲ ὑπόδειγμα τοιοῦτον· καὶ ἐπὶ τῶν λοιπῶν δὲ πολυπλασίων ὁ αὐτὸς τῶν διαγραμμάτων ἔστω σοι τρόπος παρατηροῦντι, ὅτι καὶ ἐνταῦϑα ἡ φύσις, ὥςπερ καὶ ἐν τοῖς προτεχνολογηϑεῖσιν εὕρομεν, προγενεστέρους ἡμῖν παρεμφαίνει διπλασίους μὲν τριπλασίων, τριπλασίους δὲ τετραπλασίων, τούτους δὲ πενταπλασίων, καὶ ἀεὶ οὕτως μέχρι παντός· οἱ μὲν γὰρ ἐπὶ πλάτος στίχοι οἱ ἀνωτάτω, ἐὰν ὦσι διπλάσιοι, ὁμοίως ἕξουσι τοὺς ὑπ' αὐτοὺς παραλλήλους κειμένους, τοὺς δὲ ὑποτείνοντας διαγωνίους τοῦ αὐτοῦ γένους τὸ συνεχὲς καὶ μονάδι μεῖζον εἶδος, ὅ ἐστι τριπλασίους, ἐν παραλλήλῳ ἐξετάσει ϑεωρουμένους· εἰ δ' οἱ ἐπὶ πλάτος εἶεν τριπλάσιοι, πάντως οἱ διαγώνιοι ἔσονται τετραπλάσιοι, εἰ δὲ ἐκεῖνοι τετραπλάσιοι, εὐϑὺς οὗτοι πενταπλάσιοι, καὶ τοῦτο μέχρις ἀεί.

---

6. δεκτικός] ἐστι add. *H* — ἡμών G_1 — 7. ἔσται *SH* — 10. παρατηροῦντι] σοι add. *S* — 11. ὥςπερ καὶ] καϑάπερ *S* — εὑρίσκομεν *H* — 15. ἀνώτατοι *S* — 16. παραλλήλως *P* — 18. μονάδος *P*, om. *C* — 19. ἐν παρ. . . . ϑεωρουμ. om. *S* — 20. εἶεν] εἰσί *H* — 23. Diagrammata, quae supra adposuit, hic repetit codex *G* sic inscripta: 1. τριπλάσιοι πάντες οἱ διαγώνιοι — ἡμιόλιοι τῶν ἄνω οἱ κάτω. 2. τετραπλάσιοι πάντες οἱ διαγώνιοι — ἐπίτριτοι τῶν ἄνω οἱ κάτω.

V ε. *Λοιπὸν δεῖ, σαφηνίσαντας τὰς τῶν λόγων
συνθέσεις, τίνων ἑτέρων ἀποδοτικαί εἰσι, μεταβῆναι
2 ἐπὶ τὰ τῆς εἰςαγωγῆς ἀκόλουθα. οἱ πρῶτοι τοίνυν
τοῦ ἐπιμορίου δύο λόγοι συλληφθέντες εἰς τὸ αὐτὸ
γεννῶσι τὸν τοῦ πολλαπλασίου πρῶτον λόγον, τουτ-
έστι τὸν διπλάσιον· πᾶς γὰρ διπλάσιος σύστημα
ἔσται ἡμιολίου καὶ ἐπιτρίτου καὶ πᾶς ἡμιόλιος καὶ
ἐπίτριτος συντεθέντες ἀποδοτικοὶ ἑνὸς διπλασίου
πάντως ἔσονται· οἷον ἐπεὶ ὁ γ ἡμιόλιος τοῦ β, ὁ δὲ
δ ἐπίτριτος τοῦ γ, ἔσται τοῦ β ὁ δ διπλάσιος σύν-
θετος ὢν ἐξ ἡμιολίου καὶ ἐπιτρίτου· πάλιν ἐπεὶ ὁ ϛ
διπλάσιός ἐστι τοῦ γ, εὑρήσομεν ἀνὰ μέσον αὐτῶν
ἀριθμόν τινα τεταγμένον, ὅς ἐξ ἀνάγκης πρὸς μὲν
τὸν ἕτερον τὸν ἐπίτριτον σώζει λόγον, πρὸς δὲ τὸν
λοιπὸν τὸν ἡμιόλιον· ὁ γοῦν δ ἀνὰ μέσον κείμενος
τοῦ ϛ καὶ τοῦ γ πρὸς μὲν τὸν γ ἀποδίδωσι λόγον
3 ἐπίτριτον, πρὸς δὲ τὸν ϛ τὸν ἡμιόλιον. ὀρθῶς ἄρα
ἐλέχθη, διαλυόμενον μὲν τὸν διπλάσιον εἰς ἡμιόλιον
καὶ ἐπίτριτον διαλύεσθαι, συντιθεμένων δὲ πάντως
ἡμιολίου καὶ ἐπιτρίτου μόνον συνίστασθαι διπλά- P
σιον καὶ τὰ τοῦ ἐπιμορίου δύο πρώτιστα εἴδη συν- 43
τεθέντα ποιητικὰ εἶναι τοῦ τῶν πολλαπλασίων
4 πρωτίστου εἴδους. πάλιν δὲ ἐξ ἄλλης ἀρχῆς τὸ
γεννηθὲν τοῦτο τοῦ πολλαπλασίου πρώτιστον εἶδος
μετὰ τοῦ πρώτου τῶν ἐπιμορίων εἴδους ἀποδοτικὸν*

V. Io. Phil. rec. I, *ιθ, κ;* rec. II, *ιϛ, ιζ.* — Boëth. II. 3.

V. 1. 2. *Λοιπὸν δὴ . . . μεταβῆναι δέον C* — 1. *προ σαφηνίσαντας PCSH* — *τῶν ἀναλογιῶν λόγων G* — 5. *ὅ ἐστι SH* — 8. *συντιθέντες G* — 9. *πάντος G παντός P* — 12. *ἕνα τινὰ SH* — 14. *σώσει S* — 19. *συντεθειμένον P συντιθέμενον S* — 21. *δύο* om. *C* — *συντιθέντα G*

γίνεται τοῦ ὁμογενοῦς αὐτῶν συνεχοῦς εἴδους, τουτέστι τοῦ δευτέρου πολλαπλασίου, ὅπερ ἐστὶ τριπλασίου· ἐκ γὰρ παντὸς διπλασίου καὶ ἡμιολίου συντεθέντων τριπλάσιον ἐξ ἀνάγκης φύεται· οἷον ἐπεὶ τοῦ ϛ διπλάσιος ὁ ιβ, αὐτοῦ δὲ τούτου ἡμιόλιος ὁ ιη, εὐθὺς καὶ τριπλάσιος ὁ ιη τοῦ ϛ· καὶ ἑτέρῳ τρόπῳ ἐὰν μὴ τὸν ιβ θέλω μέσον ποιεῖν, ἀλλὰ μᾶλλον τὸν τοῦ ϛ ἡμιόλιον τὸν θ, τὸ αὐτό μοι ἀπαράλλακτον καὶ σύμφωνον συμβήσεται· τοῦ γὰρ θ ὁ ιη διπλάσιος ὢν τὸν τριπλάσιον λόγον σώσει πρὸς τὸν ϛ· ἐξ ἡμιολίου ἄρα καὶ διπλασίου πρώτων εἰδῶν ἐπιμορίου καὶ πολλαπλασίου συνίσταται μιγέντων τὸ δεύτερον εἶδος τοῦ πολλαπλασίου τὸ τριπλάσιον καὶ εἰς αὐτὰ δὲ πάντως ἀναλύεται. ἰδοὺ 5 *γὰρ ὁ ϛ τοῦ β τριπλάσιος ὢν ἕξει μέσον τὸν γ, ὃς δύο λόγους παραδείξει, τὸν μὲν ἡμιόλιον πρὸς τὸν β, πρὸς ἑαυτὸν δὲ διπλάσιον τὸν τοῦ ϛ· ἐὰν δὲ καὶ ὁ τριπλάσιος οὗτος δεύτερον εἶδος ὢν τοῦ πολλαπλασίου συντεθῇ ἐπιτρίτῳ δευτέρῳ εἴδει ὄντι τοῦ ἐπιμορίου γένοιτ' ἂν ἐξ ἀμφοτέρων τὸ συνεχὲς τοῦ πολλαπλασίου εἶδος, τουτέστι τὸ τετραπλάσιον, ὃ καὶ ἀναγκαίως εἰς ἀμφότερα ἀναλυθήσεται κατὰ τὴν αὐτὴν τοῖς προδεδηλωμένοις φύσιν· τὸ δὲ τετραπλάσιον προςλαβὸν τὸ ἐπιτέταρτον ποιητικὸν ἔσται τοῦ πενταπλασίου καὶ πάλιν ἐκεῖνο σὺν τῷ*

1. *αὐτῷ C* — 2. *ὅ ἐστι CS* — 4. *συντιθέντων G* — *ἀνάφύεται H* *γίνεται S* — 7. *μεσοποιεῖν P* — 10. *σώζει CH* — 11. 12. *πρώτου εἴδους ἐπιμορίου καὶ πρώτου εἴδους πολυπλασίου S* — 13. *πολυπλ. S* — 15. *τοῦ β*] *τοῦ δευτέρου G* — 20. *γένοιντ' G* — 21. *τετραπλάσιον*] *τριπλάσιος δὲ ὁ ϛ τοῦ β* [*ἐπεὶ γὰρ ὁ ϛ τοῦ β τριπλ. H*] *ἐπίτριτος* [*δὲ H*] *ὁ η τοῦ ϛ, ὁ η ἄρα τοῦ β τετραπλάσιος* add. *SH* — 24. *προςλαβών P*

ἐπιπέμπτῳ τοῦ ἑξαπλασίου, καὶ τοῦτο μέχρι παντός, ἵνα εὔτακτοι οἱ ἐξ ἀρχῆς πολλαπλάσιοι μετὰ εὐτάκτων τῶν ἐξ ἀρχῆς ἐπιμορίων ἀποδοτικοὶ εὑρίσκωνται τῶν ἐπὶ τὸ μεῖζον συνεχῶν πολλαπλασίων· διπλάσιος μὲν γὰρ μεθ' ἡμιολίου τριπλασιότητος ποιητικός, τριπλάσιος δὲ μετ' ἐπιτρίτου τετραπλασιότητος, τετραπλάσιος δὲ μετ' ἐπιτετάρτου πενταπλασιότητος καί, ἕως προχωρεῖν θέλεις, οὐδὲν p 14 ὑπεναντίον σοι συμβαῖνον φανεῖται.

VI ς. Μέχρι μὲν οὖν τοῦδε ἱκανῶς περὶ τοῦ πρὸς ἕτερόν πως ἔχοντος ποσοῦ διειλέγμεθα συμμετρησάμενοι κατ' ἐκλογὴν τὰ προςήκοντα καὶ εὐπερίληπτα τῇ τῶν ἄρτι εἰςαγομένων ἕξει· τὰ γὰρ εἰς τὸν τόπον τοῦτον ὑπόλοιπα προςπληρωθήσεται διαλιπόντων πάλιν ἡμῶν καὶ προτεχνολογησάντων ἕτερά τινα προυργιαιτέραν τὴν σκέψιν ἔχοντα ἐκ τῶν συμβεβηκότων τῷ καθ' αὑτὸ ποσῷ καὶ μὴ τῷ πρὸς ἕτερόν πως ἔχοντι, αἰεὶ γὰρ δι' ἀλλήλων φιλεῖ πως διαρθροῦσθαι καὶ σαφηνίζεσθαι τὰ ἐν τοῖς μαθήμασι θεωρήματα· ἃ δὲ χρὴ προεπισκοπῆσαι καὶ προθεάσασθαι, ἔστι περί τε γραμμικῶν ἀριθμῶν καὶ

VI. Io. Phil. rec. I, κα—κη; rec. II, ιη—κα. — Iambl. p. 80—82. — Boëth. II. 4.

3. εὑρίσκονται P — 8. ἕως ἂν . . θέλῃς SH — 9. σοι] μοι C, om. P — συμβαῖναι P — φανήσεται H — codices Nicomachi uerba schematibus inlustrant huncce in modum compositis:

cet.

VI. 10. οὖν om. C — 14. προςπληρωθήσονται C — 20. θεωρούμενα H — 20. 21. ἐπισκοπ. καὶ θεάσασθαι S — 21. γραμμι////κῶν G

ἐπιπέδων καὶ στερεῶν, κυβικῶν τε καὶ σφαιρικῶν, καὶ ἰσοπλεύρων καὶ σκαληνῶν, πλινθίδων τε καὶ δοκίδων καὶ σφηνίσκων καὶ τῶν ὁμοίων, ἃ δὴ ἰδίως μὲν ἐν τῇ γεωμετρικῇ παραδίδοται εἰςαγωγῇ τοῦ πηλίκου οἰκειότερα ὄντα, σπερματικώτερον δὲ προςπαραλαμβάνεται ἐν τῇ ἀριθμητικῇ ὡςὰν μητρὶ καὶ ἀρχεγονωτέρᾳ ἐκείνης· μεμνήμεθα γάρ, ὅτι πρὸ βραχέος τοιαύτη ἡμῖν ἐφάνη συναναιροῦσα μὲν τὰς ἄλλας ἐπιστήμας ἑαυτῇ, οὐ συναναιρουμένη δὲ ἐκείναις, καὶ ἔμπαλιν συνεπιφερομένη μὲν ἐκείναις ἀναγκαίως, οὐ συνεπιφέρουσα δὲ αὐτὰς ἑαυτῇ.

Πρότερον δὲ ἐπιγνωστέον, ὅτι ἕκαστον γράμμα, 2
ᾧ σημειούμεθα ἀριθμόν, οἷον τὸ ι, ᾧ τὰ δέκα, τὸ κ, ᾧ τὰ εἴκοσι, τὸ ω, ᾧ τὰ ὀκτακόσια, νόμῳ καὶ συνθήματι ἀνθρωπίνῳ, ἀλλ' οὐ φύσει σημαντικόν ἐστι τοῦ ἀριθμοῦ, ἡ δὲ φυσικὴ καὶ ἀμέθοδος καὶ διὰ τοῦτο ἁπλουστάτη σημείωσις τῶν ἀριθμῶν εἴη ἂν ἡ τῶν μονάδων τῶν ἐν ἑκάστῳ οὐσῶν παράλληλος ἔκθεσις· οἷον μιᾶς μὲν μονάδος γραφὴ διὰ τοῦ ἑνὸς ἄλφα σημεῖον ἔσται τοῦ ἑνός, δυεῖν δὲ μονάδων παραλλήλων, τουτέστι δυεῖν ἄλφα ἔκθεσις σημεῖον ἔσται τῆς δυάδος, τριῶν δὲ ἐπ' εὐθείας ἀλλήλοις κειμένων τριάδος ἔσται χαρακτὴρ καὶ τεσσάρων ἐπ' εὐθὺ τεταγμένων τετράδος καὶ πέντε πεντάδος καὶ ἀεὶ οὕτως· διὰ γὰρ τῆς τοιαύτης γραφῆς καὶ σημάνσεως ἡ τῶν φρασθησομένων ἐπιπέδων τε καὶ

1. κύβων H — τε] φημί add. C — 2. σκαλινῶν P cf. Eucl. I, ὅρ. κς — 3. σφηνίκων GP σφ. καὶ σφηκίσκων H — 7. ἀρχαιγονωτέρα S — 11. ἀναγκαίως om. C — 14. ᾧ τὰ εἴκ. om. P — 17. εἴη ἂν] ὀρθῶς add. SH — 20. ἄλφα] ἔκθεσις add. C — 22. ἀλλήλοις] παραλλήλοιν S

στερεῶν σχηματογραφία τρανωθῆναι δύναιτ' ἂν μόνως καὶ σαφηνισθῆναι, οἷον

μονὰς μὲν α,
δυὰς δὲ αα,
τριὰς δὲ ααα,
τετρὰς δὲ αααα, p
πεντὰς δὲ ααααα, 45

3 καὶ εἰς πλείονα ἀεὶ ἀναλόγως. ἔσται οὖν ἡ μὲν μονὰς σημείου τόπον ἐπέχουσα καὶ τρόπον ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ διάστημα οὐδὲ ἀριθμός, ὡς τὸ σημεῖον ἀρχὴ μὲν γραμμῆς καὶ διαστήματος, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημείῳ σημεῖον συντεθὲν πλεῖόν τι ποιεῖ, ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥςπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο, οὐδὲν γὰρ ποιεῖ· κατὰ ταυτὰ γὰρ ἐφαίνετο καὶ ἐπὶ τῆς ἰσότητος ἡμῖν ἐν ταῖς σχέσεσι, σώζεται μὲν γὰρ ἀναλογία, ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον, οὐ μὴν διάστημα γεννᾶταί τι τοῖς ἄκροις πρὸς ἀλλήλους, ὥςπερ ἐπὶ τῶν ἄλλων τῶν χωρὶς ἰσότητος σχέσεων πασῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ μονὰς ἐκ παντὸς μόνη τοῦ ἀριθμοῦ ἑαυτὴν πολλαπλασιάσασα οὐδὲν πλέον ἑαυτῆς γεννᾷ· ἀδιάστατος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διάστημα εὑρίσκεται καὶ φαίνεται

---

8. καὶ εἰ πλείονα εἴη ἀναλ. C καὶ εἰ ἐπὶ πλέον εἴη ἀναλ. S καὶ ἐπὶ πλεῖον ἀεὶ ἀν. H — οὖν] ἡμῖν add. H — 9. τόπον ... τρόπον] λόγον ... τόπον S — 10. διαστήματα οὐδὲ P — 13. 14. πλεῖον ... συντεθὲν om. P — 14. ἀδιαστάτῳ] ἤτοι ἀμερὲς ἀμερεῖ add. S — 15. σκέψοιτο P ἐπισκέπτοιτο H — 16. κατὰ ταυτὰ γὰρ] καὶ τ. γ. Ast τὰ αὐτὰ δὲ H — 19. οὕτως H sol. — 21. ἄλλων τῶν om. H — 23. πολυπλασιάσασα S πλεονάσασα C

*ἐν δυάδι, εἶτ᾽ ἐν τριάδι, εἶτα ἐν τετράδι καὶ ἑξῆς ἐν
τοῖς ἀκολούθοις· διάστημα γάρ ἐστι δυεῖν ὅρων τὸ
μεταξὺ θεωρούμενον. πρῶτον δὲ διάστημα γραμμὴ* 4
*λέγεται, γραμμὴ γάρ ἐστι τὸ ἐφ᾽ ἓν διαστατόν· δύο
δὲ διαστήματα ἐπιφάνεια, ἐπιφάνεια γάρ ἐστι τὸ
διχῇ διαστατόν· τρία δὲ διαστήματα στερεόν, στε-
ρεὸν γάρ ἐστι τὸ τριχῇ διαστατὸν καὶ οὐκ ἔστιν
οὐδαμῶς ἐπινοεῖν στερεόν, ὃ πλεόνων τέτευχε δια-
στημάτων ἢ τριῶν, βάθους, πλάτους, μήκους· τού-
τοις γὰρ αἱ λεγόμεναι περὶ πᾶν σῶμα ὑπάρχειν ἓξ
περιστάσεις ὁρίζονται, καθ᾽ ἃς αἱ κατὰ τόπον κινή-
σεις διακρίνονται, πρόσω, ὀπίσω, ἄνω, κάτω, δεξιά,
ἀριστερά· ἑκάστῳ γὰρ διαστήματι δύο ἐξ ἀνάγκης
περιστάσεις παρέπονται ἀλλήλαις ἀντίθετοι, ἑνὶ μὲν
αἱ ἄνω καὶ κάτω, ἑτέρῳ δὲ αἱ πρόσω καὶ ὀπίσω, τῷ
τρίτῳ δὲ αἱ ἐπὶ δεξιὰ καὶ ἀριστερά. καὶ συμβαίνει* 5
*πως οὕτως ἀναστρέφειν τὸν λόγον· εἴ τι γὰρ στε-
ρεόν ἐστιν, ἐκεῖνο τὰς τρεῖς διαστάσεις πάντως ἔχει,
μῆκος, βάθος, πλάτος καὶ ἔμπαλιν, εἴ τι ἔχει τὰς
τρεῖς διαστάσεις, ἐκεῖνο πάντως στερεόν ἐστιν, ἄλλο
δ᾽ οὐδέν. οὐκ ἄρα τὸ δύο μόνον ἔχον διαστάσεις* 6
*ἔσται στερεόν, ἀλλ᾽ ἐπιφάνεια, αὕτη γὰρ διαστημά-
των ἐπιδεκτικὴ δυεῖν ἐστι μόνων· καὶ ἐπ᾽ αὐτῆς*
p *δυνατὸν ὁμοιοτρόπως ἀντιστρέφειν τὸν λόγον, ἐπι-*
46 *φάνειά τε γὰρ ὀρθῶς τὸ διχῇ διαστατὸν καὶ πάλιν*

---

1. *ἐν δυάδι, εἶτ᾽* om. *P* — 2. *δύο H* — 3. *δὲ*] *γὰρ GP* — 4—6. *δύο . . . διαστατὸν* om. *C* — 7. 8. *καὶ οὔτι ἔστιν οὐδαμοῦ S* — 8. *στερεόν* om. *H* — 10. *αἱ λεγ.*] *ἐκλεγόμεναι P* — 15. *ἑτέρῳ*] *ἑκατέρῳ P* — 16. *αἱ* om. *GP* — *δεξιᾷ καὶ ἀριστερᾷ P* — 17. *ἀντιστρ. H* in mrg. — 19. *μήκ., βάθ., πλ.* om. *H* — 21. *μόνον*] *μόνας H* — 22. *ἐστίν H* — 23. *δεκτική H* — 24. *ὁμοιοτρόπος G ὁμοίως S ἀναστρ. H* (in mrg. *ἀντιστρ.*) — 25. *ὀρθῶς*] *ὑγιῶς CH* — *ἔμπαλιν S*

7 τὸ διχῇ διαστατὸν πάντως ἐπιφάνεια ἔσται. ἑνὶ ἄρα διαστήματι ἡλάττωται ἐπιφάνεια στερεοῦ, ἑνὶ δὲ καὶ γραμμὴ ἐπιφανείας οὖσα τὸ ἐφ' ἓν διαστατὸν καὶ ἑνὸς μόνου τετευχυῖα διαστήματος, λειπομένη δὲ στερεοῦ δυσὶ διαστήμασι· ταύτης δ' αὐτῆς λείπεται ἑνὶ διαστήματι τὸ σημεῖον· διὰ τοῦτο προελέχθη εἶναι ἀδιάστατον στερεοῦ μὲν τρισὶ διαστήμασι λειπόμενον, ἐπιφανείας δὲ δυσί, γραμμῆς δὲ ἑνί.

VII ζ. Ἔστιν οὖν σημεῖον ἀρχὴ διαστήματος, οὐ διάστημα δέ, τὸ δ' αὐτὸ καὶ ἀρχὴ γραμμῆς, οὐ γραμμὴ δέ· καὶ γραμμὴ ἀρχὴ ἐπιφανείας, οὐκ ἐπιφάνεια δέ, καὶ ἀρχὴ τοῦ διχῇ διαστατοῦ, οὐ διχῇ δὲ διαστατόν.
2 καὶ εἰκότως ἡ ἐπιφάνεια ἀρχὴ μὲν σώματος, οὐ σῶμα δέ, καὶ ἡ αὐτὴ ἀρχὴ μὲν τοῦ τριχῇ διαστατοῦ,
3 οὐ τριχῇ δὲ διαστατόν. οὕτως δὴ καὶ ἐν τοῖς ἀριθμοῖς ἡ μὲν μονὰς ἀρχὴ παντὸς ἀριθμοῦ ἐφ' ἓν διάστημα κατὰ μονάδα προβιβαζομένου, ὁ δὲ γραμμικὸς ἀριθμὸς ἀρχὴ ἐπιπέδου ἀριθμοῦ ἐφ' ἕτερον διάστημα ἐπιπέδως πλατυνομένου, ὁ δὲ ἐπίπεδος ἀριθμὸς ἀρχὴ στερεοῦ ἀριθμοῦ ἐπὶ τρίτον διάστημα πρὸς τὰ ἐξ ἀρχῆς βάθος τι προσκτωμένου· οἷον καθ' ὑποδιαίρεσιν γραμμικοὶ μέν εἰσιν ἀριθμοὶ ἁπλῶς ἅπαντες οἱ ἀπὸ δυάδος ἀρχόμενοι καὶ κατὰ μονάδος πρόσθεσιν ἐπὶ ἓν καὶ τὸ αὐτὸ προχωροῦντες διάστημα, ἐπίπεδοι δὲ οἱ ἀπὸ τριάδος ἀρχόμενοι ἀρχι-

---

VII. Io. Phil. rec. I, κθ, λ; rec. II, κβ, κγ. — Iambl. p. 80—82. — Io. Pedias. in Iahnii nou. ann. XCII, p. 371. 372. — Boëth. II. 5. 6.

1. ἔσται om. *PH* — 2. ἐλαττοῦται *H* — 5. αὐτῆς] τῆς γραμμῆς *H* — 7. λειπομένου *G* λειπουμένου *P*
VII. 11. καὶ γρ.] γραμμὴ om. *G*, ἡ δὲ γρ. *SH* — 14. ἡ αὐτὸ *G* — 17. προβιβαζομένη *H* — 20. ἐπιτρίτου *P* — 21. πρὸς] παρὰ *H* — βάθη *GP*

κωτάτης ῥίζης καὶ διὰ τῶν ἑξῆς συνεχῶν ἀριθμῶν προιόντες, λαμβάνοντες καὶ τὴν ἐπωνυμίαν κατὰ τὴν αὐτὴν τάξιν· πρώτιστοι γὰρ τρίγωνοι, εἶτα μετ' αὐτοὺς τετράγωνοι, εἶτα μετ' αὐτοὺς πεντάγωνοι, εἶτα ἐπὶ τούτοις ἑξάγωνοι καὶ ἑπτάγωνοι καὶ ἐπ' ἄπειρον· προσαγορεύονται δέ, ὡς ἔφαμεν, ἀπὸ τῶν
ἀπὸ τριάδος ἐφεξῆς κειμένων ἀριθμῶν. ἀρχικώτα- 4
τον ἄρα σχῆμα ἐπιπέδων καὶ στοιχειωδέστατον τὸ τρίγωνον εὑρίσκεται· καὶ γὰρ ἐν τοῖς γραμμικοῖς ἐπιπέδοις ἐὰν ἀπὸ τῶν γωνιῶν ἐπὶ τὰ μέσα εὐθεῖαι ἀχθῶσι, λυθήσεται ἕκαστον εὐθύγραμμον σχῆμα πάντως εἰς τρίγωνα τοσαῦτα, ὅσαιπερ ἂν αὐτοῦ τυγχάνωσιν αἱ πλευραί, αὐτὸ δὲ τὸ τρίγωνον τὸ αὐτὸ τοῖς ἄλλοις παθὸν εἰς ἕτερόν τι οὐ μεταπεσεῖται, ἀλλ' εἰς ἑαυτό· στοιχεῖον ἄρα καὶ ἐν ἐκείνοις τὸ
P τρίγωνον· εἰς αὐτὸ γὰρ τὰ ἄλλα πάντα ἀναλύεται
47 ἀναγκαίως, αὐτὸ δὲ οὐκ εἰς ἕτερον· ἐκ τούτου ἂν καὶ συσταίη τὰ λοιπά, αὐτὸ δὲ ἐξ οὐδενός· στοι-
χεῖον ἄρα τοῦτο τῶν ἄλλων, αὐτοῦ δὲ οὐδέν. κἂν 5
τοῖς ἀριθμητικοῖς δὲ ἐπιπέδοις προιὼν ὁ λόγος βεβαιώσει τὸ λεγόμενον.

η. Τρίγωνος μὲν οὖν ἐστιν ἀριθμὸς ὁ διαλυό- VIII

VIII. Io. Phil. rec. I, λα, λβ; rec. II, κδ. — Iambl. p. 82. 83. — Theon. 18. 19. 23. — Io. Pedias. l. l. — Boëth. II. 6.

3—5. hasce addunt codices figuras:



8. ἐπιπέδων om. *H* — 9. γὰρ om. *G* — 9. 10. ἐπὶ τῶν γραμμικῶν ἐπιπέδων *S* cf. Eucl. I, ὅρ. κ. — 11. ἕκαστος *G* — 12. τοσαῦτα] τῷ ἀριθμῷ, ὁπόσα add. *S* — 14. ἕτερον ἄλλο *S* — 16. εἰς ὃ *CSH* — λύεται *SH* — 17. εἰς ἄλλο *SH* VIII. Περὶ τριγώνου *HΓ*

μενος εἰς μονάδας καὶ τὴν κατ' ἐπίπεδον θέσιν τῶν μορίων ἰσόπλευρον σχηματογραφῶν εἰς τριγωνισμόν, οὗ ὑποδείγματα ὁ

γ, ϛ, ι, ιε, κα, κη

καὶ οἱ ἐφεξῆς· σχηματογραφίαι γὰρ αὐτῶν εὔτακτοι ἔσονται τρίγωνοί τε ἅμα καὶ ἰσόπλευροι, καὶ τὸ τοιοῦτον, μέχρις οὗ βούλει, προκόπτων τριγωνιζόμενον εὑρήσεις πρὸ πάντων στοιχειωδέστατον τάττων τὸ ἐκ μονάδος γινόμενον, ἵνα καὶ τρίγωνος δυνάμει φαίνηται ἡ μονάς, ἐνεργείᾳ δὲ πρῶτος ὁ γ.
2 *πλευραὶ δὲ παραυξηθήσονται τῷ συνεχεῖ ἀριθμῷ, τοῦ μὲν γὰρ δυνάμει πρώτου πλευρὰ μονάς, τοῦ δὲ ἐνεργείᾳ πρώτου πλευρὰ δυάς, τουτέστι τοῦ γ, τοῦ δὲ ἐνεργείᾳ δευτέρου πλευρὰ τριάς, τουτέστι τοῦ ϛ, τοῦ δὲ τρίτου πλευρὰ τετρὰς καὶ τοῦ τετάρτου*
3 *πεντὰς καὶ τοῦ πέμπτου ἑξὰς καὶ ἀεὶ οὕτως. γεννᾶται δὲ τοῦ φυσικοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος καὶ ἀεὶ ἀπ' ἀρχῆς τῶν συνεχῶν κατὰ ἕνα συντιθεμένων, κατὰ γὰρ ἑκάστην σύνθεσιν καὶ προσσώρευσιν οἱ εὔτακτοι τρίγωνοι συντελοῦνται· οἷον ἐκ μὲν τοῦ φυσικοῦ στίχου τούτου*

α, β, γ, δ, ε, ϛ, ζ, η, ϑ, ι, ια, ιβ, ιγ, ιδ, ιε

τὸν μὲν πρώτιστον λαβὼν ἔχω τὸν δυνάμει πρῶτον

---

2. *μορίων*] *μονάδων CS* — *ἰσοπλεύρως C* — 3. 4. *οὗ . . . γ*] *ὑπόδειγμα γ S* — 5. 6. *εὔτακτοι ἔσονται*] *ἔσ. τοιαῦται SH* — 6. 7. *τὸ τοιοῦτον* om. *H* — 7. *προκόπτον C* — 9. *γινόμενον*] *συγκείμενον H* — *δυνάμει*] *μονάδι G* — 11. *συνεχῆ G ἀπὸ* [*ὑπὸ H*] *τοῦ συνεχοῦς ἀριθμοῦ SH δὲ* G_2 — 12. *πρῶτον* G_1 — 12. 13. *τοῦτο ἐνεργ.* G_1 — 14. *πλευρὰ* om. *H* — *τριάς* post *ϛ GP* — 15. *τρίτου*] *τοῦ δέκα* add. *CSH* — 17. *φυσικόν G* — *στιχηδόν PC* — 19. *ἑκάστου SH* — 20. *εὔτακτοι*] *σύνθετοι* add. *S* — 21. *τούτου* om. *CSH* — 22. *ια . . . ιε* om. *H* — *ιε*] *ὁ α, γ, ϛ, ι, ιε, κα, κη, λϛ, με, νε, ξϛ, οη, ϟα, ρε, ρκ* add. *C* — 23. *ἔχων PH*

τρίγωνον, τὴν μονάδα [1], *εἶτα τὸν συνεχῆ αὐτῷ ἐπισωρεύσας ἔχω τὸν ἐνεργείᾳ πρῶτον τρίγωνον, β γὰρ καὶ α ὁ γ ἐστί, καὶ τῇ γε σχηματογραφίᾳ οὕτως συνίσταται· ἐπὶ μιᾷ μονάδι δύο μονάδες παράλληλοι ὑποτίθενται καὶ τριγωνίζεται ὁ γ ἀριθμός* [2]· *εἶτα ἑξῆς ἐπὶ τούτοις ὁ γ συνεχὴς προςσωρευθεὶς καὶ ἐξαπλωθείς γε εἰς μονάδα καὶ συντεθεὶς τὸν ϛ ἀποδίδωσι δεύτερον ἐνεργείᾳ τρίγωνον καὶ προςέτι σχηματογραφεῖ* [3]· *καὶ πάλιν ὁ φύσει ἀκόλουθος ὁ δ ἐπὶ τούτοις σωρευθεὶς καὶ μοναδιστὶ ὑπογραφεὶς τὸν εὔτακτον μετὰ τοὺς εἰρημένους ἀποδίδωσι τὸν ι καὶ τριγωνιστί γε σχηματίζεται* [4]· *καὶ ὁ ε ἐπὶ τούτῳ, εἶτα ὁ ϛ, εἶτα ὁ ζ καὶ οἱ ἑξῆς ἅπαντες, ὥςτ' ἐμμελῶς καὶ τὰς πλευρὰς ἑκάστου τοσούτων εἶναι* p *μονάδων, ὁπόσοιπερ ἀριθμοὶ συνετέθησαν ἐκ τοῦ* 48 *φυσικοῦ στίχου εἰς τὴν αὐτοῦ σύστασιν* [5 6 7]·



4. *μιᾷ μ.*] *τῇ μ. S* — 6. *συνεχός G*$_1$ om. *H* — 7. *μονάδας H* — ϛ] *στίχον P* — 9. *σχηματογράφει GP* — 12. *σχηματίζει CS* — 13. *εἶτα ὁ ζ* om. *H* — *καὶ οἱ λοιποὶ πάντες ἐφεξῆς H* — 14. *ἐμελῶς G* — 15. *ὁπόσοιπερ*] *ἂν καὶ* add. *SH* — 16. *στίχου*] *χύματος H* — *εἰς*] *πρὸς S* — *ἑαυ-*



IX **ϑ.** *Τετράγωνος δέ ἐστιν ἀριϑμὸς ὁ συνεχὴς τούτῳ καὶ μηκέτι τρεῖς, ὡς ὁ πρόσϑεν, ἀλλὰ τέσσαρας ἐν τῇ καταγραφῇ γωνίας ἀποδιδούς, ἐν ἰσοπλεύρῳ μέντοι καὶ αὐτὸς σχηματισμῷ, οἷον*

α, δ, ϑ, ις, κε, λς, μϑ, ξδ, πα, ρ·

τούτων γὰρ αἱ καταγραφαὶ ἰσόπλευροι τετραγωνισμοὶ οὕτω πως γίνονται·

α

α	α
α	α

α	α	α
α	α	α
α	α	α

α	α	α	α
α	α	α	α
α	α	α	α
α	α	α	α

α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α

IX. Io. Phil. rec. I, *λγ*, *λδ*; rec. II, *κε*. — Iambl. p. 83—85. — Theon. 11. 15. 19—21. 25. 28. — Boëth. II. 7.

τοῦ GP — figuras non habent *PH*; *G* hoc addit schema, quod nos margini adposuimus, (simile *Γ*):

IX. *Περὶ τετραγώνου H -ων Γ* — 1. *Τρίγωνος P* — 3. *καὶ* om. *SH*, del. *C* — *ὡς πρόσϑ. H* — 7. *αὐτῷ G* — 10. *τούτοις S* — *καταγαφαὶ G* — figuras om. *GP*

καὶ ἐφεξῆς οὕτως, μέχρις οὗ βούλει. καὶ τούτοις δὲ 2
συμβέβηκεν, ὥςπερ καὶ τοῖς πρὸ αὐτῶν, τὴν τῶν πλευρῶν πρόβασιν κατὰ τὸν φυσικὸν ἀριθμὸν προκόπτειν· τῷ μὲν γὰρ δυνάμει πρώτῳ τῷ ἑνὶ πλευρὰ μονάς, τῷ δὲ ἐνεργείᾳ πρώτῳ τῷ δ πλευρὰ δυάς, τῷ δὲ ἐνεργείᾳ δευτέρῳ τῷ ϑ πλευρὰ τριάς, τῷ δὲ μετ' αὐτὸν ἐνεργείᾳ τρίτῳ τῷ ις πλευρὰ τετρὰς καὶ τῷ τετάρτῳ πεντὰς καὶ τῷ πέμπτῳ ἑξὰς καὶ καθόλου ἑξῆς τοῖς ἐφεξῆς. γεννᾶται δὲ καὶ οὗτος στοι- 3
χηδὸν ἐκτεθέντος φυσικοῦ ἀριθμοῦ τῇ μονάδι ἐπισωρευθέντων οὐκέτι τῶν ἐφεξῆς τοῖς ἐφεξῆς, ὡς δέδεικται, ἀλλὰ τῶν παρ' ἕνα κειμένων πάντων, τουτέστι τῶν περισσῶν· πρῶτος γὰρ ὁ α δυνάμει πρῶτος τετράγωνος, δεύτερος ὁ α καὶ γ ἐνεργείᾳ πρῶτος τετράγωνος, τρίτος δὲ ὁ α καὶ γ καὶ ε ἐνεργείᾳ δεύτερος τετράγωνος, τέταρτος δὲ ὁ α καὶ γ καὶ ε καὶ ζ ἐνεργείᾳ τρίτος τετράγωνος καὶ ὁ ἑξῆς τοῖς προτέροις προςσωρευθέντος τοῦ ϑ γίνεται καὶ ὁ μετ' αὐτόν τοῦ ια προστεθέντος καὶ οὕτως ἀεί. καὶ 4
ἐπὶ τούτων δὲ συμβέβηκε τοσούτων μονάδων τὴν ἑκάστου πλευρὰν εἶναι, ὁπόσοιπερ ἂν ὦσιν οἱ εἰς τὴν αὐτοῦ γένεσιν ἐπισωρευθέντες ἀριθμοί.

---

1. οὕτως om. *H* — μεχ. ὅσου *H* — 3. 4. κόπτειν *P* — 4. πρώτῳ] μόνῳ *C* — 6—8. τῷ δὲ μετ' ... ἑξὰς] καὶ τῷ τετάρτῳ τετρὰς καὶ τῷ πέμπτῳ πεντὰς καὶ τῷ ς ἑξάς *S* — 9. αἱ ἐφεξῆς τοῖς ἐφ. *C* οἱ ἐφεξῆς τοὶς ἑξῆς *S* οἱ ἐφεξῆς *H* — οὗτος] ἀπὸ τοῦ add. *CSH* — στιχηδὸν *C* — 10. ἐπισωρευθέντος *P* ἐπισωρευομένων *CH* — 12. δέδεικται] ἐπὶ τῶν τριγώνων add. *S* — 14. α] πρῶτος *G* — 17. ὁ ante ἑξῆς om. *GP* — προτέροις] πρώτως *P* πρότε-
o
ρον *C*, om. *H* — 17. προςσωρευθέντα *G* — 22. συσσωρευθέντες *SH* — schema, quod *GΓ* adponunt, hoc est:

β δ ς η ι ιβ ιδ ις ιη κ

ἀριθμοὶ περιττοί·	α	γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ
τετράγωνοι·	α	δ	ϑ	ις	κε	λς	μϑ	ξδ	πα	ρ

X *ι. Πεντάγωνος δέ ἐστιν ἀριθμὸς ὁ καὶ αὐτὸς κατὰ τὴν ἐξάπλωσιν τὴν εἰς μονάδα σχηματογραφούμενος ἐπιπέδως εἰς πενταγωνικὸν σχῆμα πάντη ἰσόπλευρον, οἷον*

α, ε, ιβ, κβ, λε, να, ο

2 *καὶ οἱ ἀνάλογοι. ἀλλ' ἔστι τοῦ μὲν πρώτου κατ' ἐνέργειαν, τουτέστι τοῦ ε ἑκάστη πλευρὰ δυάς, μονὰς μὲν γὰρ τοῦ δυνάμει πρωτίστου πενταγώνου ὑπάρχει τοῦ ἑνός, τοῦ δὲ τῶν ἐκκειμένων δευτέρου τοῦ ιβ πλευρὰ τριὰς καὶ τοῦ μετ' αὐτὸν τοῦ κβ τετρὰς καὶ τοῦ ἑξῆς τοῦ λε πεντὰς καὶ ἑξὰς τοῦ ἐπὶ τούτῳ τοῦ να καὶ ἀεὶ οὕτως· καθόλου γὰρ τοσούτων μονάδων ἡ πλευρά ἐστιν, ὅσοιπερ εἰς τὴν αὐτοῦ σύστασιν συνεσωρεύθησαν ἀριθμοὶ ἐκλεγέντες ἐκ τοῦ κατὰ φύσιν στοιχηδὸν ἐκκειμένου ἀριθ-* P 49 *μητικοῦ χύματος· παραπλησίως γὰρ καὶ ὁμοιοτρόπως ἐπισωρεύονται ἀλλήλοις εἰς πενταγώνου γένεσιν οἱ ἀπὸ μονάδος δύο διαλείποντες ἐφ' ὁσονοῦν, τουτέστιν οἱ τριάδι ἀλλήλων ὑπερέχοντες· ἡ μὲν μονὰς δυνάμει πρῶτος καὶ σχηματογραφεῖται οὕτως* [¹], *ὁ δὲ ε δεύτερος ἐκ τοῦ α καὶ δ συντεθέντων σχηματογραφούμενος καὶ αὐτὸς οὕτως* [²], *ὁ δὲ ιβ ὁ τρίτος*

X. Io. Phil. rec. I, *λε—λζ*; rec. II, *κϛ, κζ*. — Iambl. p. 85. — Theon. 26. — Boëth. II. 8.

X. *Περὶ πενταγώνου H -ων Γ* — 2. *μονάδας PC secundum unitatem* Boëth. II. 8. — *σχηματογραφόμενος P* — 6. *ἀνάλογον CSH* — 7. *τουτέστι*] *ἤγουν H* — *ἑκάστου P*, om. *H* — 9. *ἑνός*] *πρώτου S* — 12. 13. *καθ. γὰρ καὶ ἐπὶ τούτων τοσ. H* — 13. *ἑκάστου SH* — *ἔσται H* — 14. *ἐκλέγοντος P* — 15. *στιχηδόν PC* — 21. *ἐκ τοῦ πρώτου καὶ τετάρτου G* — 21. 22. *σχηματογραφούμ. . . . οὕτως* om. *H* — 22. *ὁ δὲ ιβ ὁ* om. *H*

ἔκ τε τῶν δύο προτέρων καὶ τοῦ ζ ἐπισωρευθέντος αὐτοῖς, ἵνα καὶ αὐτὸς τριάδα πλευρὰν σχῇ, ὡς τριῶν συντεθέντων εἰς τὴν αὐτοῦ σύστασιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ ὁ ε δυάδα πλευρὰν εἶχεν ἐκ δύο συντεθείς, ἡ δὲ σχηματογραφία αὐτοῦ τοιαύτη ἐστίν· [3]

[1]

[2]

[3]





οἱ δὲ ἐπὶ τούτοις γενήσονται καθεξῆς προςσωρευομένων τῶν κατὰ τριάδος ὑπεροχὴν εὐτάκτων μετὰ τὴν ἑβδομάδα ὄντων, οἷον τοῦ 3

ι, ιγ, ις, ιθ, κβ, κε

καὶ ἐπ' ἄπειρον· ἔσονται γὰρ

κβ, λε, να, ο, ϟβ, ριζ

καὶ τοῦτο μέχρι παντός.

---

2. ἔχῃ SH — 5. δυάδι H — 10. τούτῳ H — 14. ὄντων] οὕτως G — οἷον τοῦ om. H — in codice G (Γ) haec adposita sunt: ὅρα, πῶς ἐκ τοῦ φυσικοῦ χύματος ἀποτελοῦνται οἱ πεντάγωνοι (u. mrg.)·

στερεῶν σχηματογραφία τρανωθῆναι δύναιτ' ἂν μόνως καὶ σαφηνισθῆναι, οἷον

μονὰς μὲν α,
δυὰς δὲ αα,
τριὰς δὲ ααα,
τετρὰς δὲ αααα, P
πεντὰς δὲ ααααα, 45

3 καὶ εἰς πλείονα ἀεὶ ἀναλόγως. ἔσται οὖν ἡ μὲν μονὰς σημείου τόπον ἐπέχουσα καὶ τρόπον ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ διάστημα οὐδὲ ἀριθμός, ὡς τὸ σημεῖον ἀρχὴ μὲν γραμμῆς καὶ διαστήματος, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημείῳ σημεῖον συντεθὲν πλεῖόν τι ποιεῖ, ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥςπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο, οὐδὲν γὰρ ποιεῖ· κατὰ ταυτὰ γὰρ ἐφαίνετο καὶ ἐπὶ τῆς ἰσότητος ἡμῖν ἐν ταῖς σχέσεσι, σώζεται μὲν γὰρ ἀναλογία, ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον, οὐ μὴν διάστημα γεννᾶταί τι τοῖς ἄκροις πρὸς ἀλλήλους, ὥςπερ ἐπὶ τῶν ἄλλων τῶν χωρὶς ἰσότητος σχέσεων πασῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ μονὰς ἐκ παντὸς μόνη τοῦ ἀριθμοῦ ἑαυτὴν πολλαπλασιάσασα οὐδὲν πλέον ἑαυτῆς γεννᾷ· ἀδιάστατος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διάστημα εὑρίσκεται καὶ φαίνεται

8. καὶ εἰ πλείονα εἴη ἀναλ. C καὶ εἰ ἐπὶ πλέον εἴη ἀναλ. S καὶ ἐπὶ πλεῖον ἀεὶ ἀν. H — οὖν] ἡμῖν add. H — 9. τόπον . . . τρόπον] λόγον . . . τόπον S — 10. διαστήματα οὐδὲ P — 13. 14. πλεῖον . . . συντεθὲν om. P — 14. ἀδιαστάτῳ] ἤτοι ἀμερὲς ἀμερεῖ add. S — 15. σκέψοιτο P ἐπισκέπτοιτο H — 16. κατὰ ταυτὰ γὰρ] καὶ τ. γ. Ast τὰ αὐτὰ δὲ H — 19. οὕτως H sol. — 21. ἄλλων τῶν om. H — 23. πολυπλασιάσασα S πλεονάσασα C

*ἐν δυάδι, εἶτ᾽ ἐν τριάδι, εἶτα ἐν τετράδι καὶ ἑξῆς ἐν
τοῖς ἀκολούθοις· διάστημα γάρ ἐστι δυεῖν ὅρων τὸ
μεταξὺ θεωρούμενον. πρῶτον δὲ διάστημα γραμμὴ* 4
*λέγεται, γραμμὴ γάρ ἐστι τὸ ἐφ᾽ ἓν διαστατόν· δύο
δὲ διαστήματα ἐπιφάνεια, ἐπιφάνεια γάρ ἐστι τὸ
διχῆ διαστατόν· τρία δὲ διαστήματα στερεόν, στερεὸν γάρ ἐστι τὸ τριχῆ διαστατὸν καὶ οὐκ ἔστιν
οὐδαμῶς ἐπινοεῖν στερεόν, ὃ πλεόνων τέτευχε διαστημάτων ἢ τριῶν, βάθους, πλάτους, μήκους· τούτοις γὰρ αἱ λεγόμεναι περὶ πᾶν σῶμα ὑπάρχειν ἓξ
περιστάσεις ὁρίζονται, καθ᾽ ἃς αἱ κατὰ τόπον κινήσεις διακρίνονται, πρόσω, ὀπίσω, ἄνω, κάτω, δεξιά,
ἀριστερά· ἑκάστῳ γὰρ διαστήματι δύο ἐξ ἀνάγκης
περιστάσεις παρέπονται ἀλλήλαις ἀντίθετοι, ἑνὶ μὲν
αἱ ἄνω καὶ κάτω, ἑτέρῳ δὲ αἱ πρόσω καὶ ὀπίσω, τῷ
τρίτῳ δὲ αἱ ἐπὶ δεξιὰ καὶ ἀριστερά. καὶ συμβαίνει* 5
*πως οὕτως ἀναστρέφειν τὸν λόγον· εἴ τι γὰρ στερεόν ἐστιν, ἐκεῖνο τὰς τρεῖς διαστάσεις πάντως ἔχει,
μῆκος, βάθος, πλάτος καὶ ἔμπαλιν, εἴ τι ἔχει τὰς
τρεῖς διαστάσεις, ἐκεῖνο πάντως στερεόν ἐστιν, ἄλλο
δ᾽ οὐδέν. οὐκ ἄρα τὸ δύο μόνον ἔχον διαστάσεις* 6
ἔσται στερεόν, ἀλλ᾽ ἐπιφάνεια, αὕτη γὰρ διαστημάτων ἐπιδεκτικὴ δυεῖν ἐστι μόνων· καὶ ἐπ᾽ αὐτῆς
p *δυνατὸν ὁμοιοτρόπως ἀντιστρέφειν τὸν λόγον, ἐπι-*
46 *φάνειά τε γὰρ ὀρθῶς τὸ διχῆ διαστατὸν καὶ πάλιν*

---

1. *ἐν δυάδι, εἶτ᾽* om. *P* — 2. *δύο H* — 3. *δὲ*] *γὰρ GP* — 4—6. *δύο . . . διαστατὸν* om. *C* — 7. 8. *καὶ οὔτι ἔστιν οὐδαμοῦ S* — 8. *στερεόν* om. *H* — 10. *αἱ λεγ.*] *ἐκλεγόμεναι P* — 15. *ἑτέρῳ*] *ἑκατέρῳ P* — 16. *αἱ* om. *GP* — *δεξιᾷ καὶ ἀριστερᾷ P* — 17. *ἀντιστρ. H* in mrg. — 19. *μῆκ., βάθ., πλ.* om. *H* — 21. *μόνον*] *μόνας H* — 22. *ἐστίν H* — 23. *δεκτική H* — 24. *ὁμοιοτρόπος G ὁμοίως S ἀναστρ. H* (in mrg. *ἀντιστρ.*) — 25. *ὀρθῶς*] *ὑγιῶς CH* — *ἔμπαλιν S*

7 *τὸ διχῇ διαστατὸν πάντως ἐπιφάνεια ἔσται. ἑνὶ ἄρα διαστήματι ἠλάττωται ἐπιφάνεια στερεοῦ, ἑνὶ δὲ καὶ γραμμὴ ἐπιφανείας οὖσα τὸ ἐφ' ἓν διαστατὸν καὶ ἑνὸς μόνου τετευχυῖα διαστήματος, λειπομένη δὲ στερεοῦ δυσὶ διαστήμασι· ταύτης δ' αὐτῆς λείπεται ἑνὶ διαστήματι τὸ σημεῖον· διὰ τοῦτο προελέχθη εἶναι ἀδιάστατον στερεοῦ μὲν τρισὶ διαστήμασι λειπόμενον, ἐπιφανείας δὲ δυσί, γραμμῆς δὲ ἑνί.*

VII *ζ. Ἔστιν οὖν σημεῖον ἀρχὴ διαστήματος, οὐ διάστημα δέ, τὸ δ' αὐτὸ καὶ ἀρχὴ γραμμῆς, οὐ γραμμὴ δέ· καὶ γραμμὴ ἀρχὴ ἐπιφανείας, οὐκ ἐπιφάνεια δέ, καὶ ἀρχὴ τοῦ διχῇ διαστατοῦ, οὐ διχῇ δὲ διαστατόν.*
2 *καὶ εἰκότως ἡ ἐπιφάνεια ἀρχὴ μὲν σώματος, οὐ σῶμα δέ, καὶ ἡ αὐτὴ ἀρχὴ μὲν τοῦ τριχῇ διαστατοῦ,*
3 *οὐ τριχῇ δὲ διαστατόν. οὕτως δὴ καὶ ἐν τοῖς ἀριθμοῖς ἡ μὲν μονὰς ἀρχὴ παντὸς ἀριθμοῦ ἐφ' ἓν διάστημα κατὰ μονάδα προβιβαζομένου, ὁ δὲ γραμμικὸς ἀριθμὸς ἀρχὴ ἐπιπέδου ἀριθμοῦ ἐφ' ἕτερον διάστημα ἐπιπέδως πλατυνομένου, ὁ δὲ ἐπίπεδος ἀριθμὸς ἀρχὴ στερεοῦ ἀριθμοῦ ἐπὶ τρίτον διάστημα πρὸς τὰ ἐξ ἀρχῆς βάθος τι προςκτωμένου· οἷον καθ' ὑποδιαίρεσιν γραμμικοὶ μέν εἰσιν ἀριθμοὶ ἁπλῶς ἅπαντες οἱ ἀπὸ δυάδος ἀρχόμενοι καὶ κατὰ μονάδος πρόςθεσιν ἐπὶ ἓν καὶ τὸ αὐτὸ προχωροῦντες διάστημα, ἐπίπεδοι δὲ οἱ ἀπὸ τριάδος ἀρχόμενοι ἀρχι-*

VII. Io. Phil. rec. I, *κθ*, *λ*; rec. II, *κβ*, *κγ*. — Iambl. p. 80—82. — Io. Pedias. in Iahnii nou. ann. XCII, p. 371. 372. — Boëth. II. 5. 6.

1. *ἔσται* om. *PH* — 2. *ἐλαττοῦται H* — 5. *αὐτῆς*] *τῆς γραμμῆς H* — 7. *λειπομένου G λειπουμένου P*
VII. 11. *καὶ γρ.*] *γραμμὴ* om. *G*, *ἡ δὲ γρ. SH* — 14. *ἡ αὐτὸ G* — 17. *προβιβαζομένη H* — 20. *ἐπιτρίτου P* — 21. *πρὸς*] *παρὰ H* — *βάθη GP*

κωτάτης ῥίζης καὶ διὰ τῶν ἑξῆς συνεχῶν ἀριθμῶν προιόντες, λαμβάνοντες καὶ τὴν ἐπωνυμίαν κατὰ τὴν αὐτὴν τάξιν· πρώτιστοι γὰρ τρίγωνοι, εἶτα μετ' αὐτοὺς τετράγωνοι, εἶτα μετ' αὐτοὺς πεντάγωνοι, εἶτα ἐπὶ τούτοις ἑξάγωνοι καὶ ἑπτάγωνοι καὶ ἐπ' ἄπειρον· προσαγορεύονται δέ, ὡς ἔφαμεν, ἀπὸ τῶν ἀπὸ τριάδος ἐφεξῆς κειμένων ἀριθμῶν. 4 ἀρχικώτατον ἄρα σχῆμα ἐπιπέδων καὶ στοιχειωδέστατον τὸ τρίγωνον εὑρίσκεται· καὶ γὰρ ἐν τοῖς γραμμικοῖς ἐπιπέδοις ἐὰν ἀπὸ τῶν γωνιῶν ἐπὶ τὰ μέσα εὐθεῖαι ἀχθῶσι, λυθήσεται ἕκαστον εὐθύγραμμον σχῆμα πάντως εἰς τρίγωνα τοσαῦτα, ὅσαιπερ ἂν αὐτοῦ τυγχάνωσιν αἱ πλευραί, αὐτὸ δὲ τὸ τρίγωνον τὸ αὐτὸ τοῖς ἄλλοις παθὸν εἰς ἕτερόν τι οὐ μεταπεσεῖται, ἀλλ' εἰς ἑαυτό· στοιχεῖον ἄρα καὶ ἐν ἐκείνοις τὸ p 47 τρίγωνον· εἰς αὐτὸ γὰρ τὰ ἄλλα πάντα ἀναλύεται ἀναγκαίως, αὐτὸ δὲ οὐκ εἰς ἕτερον· ἐκ τούτου ἂν καὶ συσταίη τὰ λοιπά, αὐτὸ δὲ ἐξ οὐδενός· στοιχεῖον ἄρα τοῦτο τῶν ἄλλων, αὐτοῦ δὲ οὐδέν. 5 κἂν τοῖς ἀριθμητικοῖς δὲ ἐπιπέδοις προιὼν ὁ λόγος βεβαιώσει τὸ λεγόμενον.

η. Τρίγωνος μὲν οὖν ἐστιν ἀριθμὸς ὁ διαλυό- VIII

VIII. Io. Phil. rec. I, λα, λβ; rec. II, κδ. — Iambl. p. 82. 83. — Theon. 18. 19. 23. — Io. Pedias. l. l. — Boëth. II. 6.

3—5. hasce addunt codices figuras:



uel



8. ἐπιπέδων om. *H* — 9. γὰρ om. *G* — 9. 10. ἐπὶ τῶν γραμμικῶν ἐπιπέδων *S* cf. Eucl. I, ὅρ. κ. — 11. ἕκαστος *G* — 12. τοσαῦτα] τῷ ἀριθμῷ, ὁπόσα add. *S* — 14. ἕτερον ἄλλο *S* — 16. εἰς ὃ *CSH* — λύεται *SH* — 17. εἰς ἄλλο *SH*

VIII. Περὶ τριγώνου *HΓ*

μενος εἰς μονάδας καὶ τὴν κατ' ἐπίπεδον θέσιν τῶν μορίων ἰσόπλευρον σχηματογραφῶν εἰς τριγωνισμόν, οὗ ὑποδείγματα ὁ

γ, ϛ, ι, ιε, κα, κη

καὶ οἱ ἐφεξῆς· σχηματογραφίαι γὰρ αὐτῶν εὔτακτοι ἔσονται τρίγωνοί τε ἅμα καὶ ἰσόπλευροι, καὶ τὸ τοιοῦτον, μέχρις οὗ βούλει, προκόπτων τριγωνιζόμενον εὑρήσεις πρὸ πάντων στοιχειωδέστατον τάττων τὸ ἐκ μονάδος γινόμενον, ἵνα καὶ τρίγωνος δυνάμει φαίνηται ἡ μονάς, ἐνεργείᾳ δὲ πρῶτος ὁ γ.
2 *πλευραὶ δὲ παραυξηθήσονται τῷ συνεχεῖ ἀριθμῷ, τοῦ μὲν γὰρ δυνάμει πρώτου πλευρὰ μονάς, τοῦ δὲ ἐνεργείᾳ πρώτου πλευρὰ δυάς, τουτέστι τοῦ γ, τοῦ δὲ ἐνεργείᾳ δευτέρου πλευρὰ τριάς, τουτέστι τοῦ ϛ, τοῦ δὲ τρίτου πλευρὰ τετρὰς καὶ τοῦ τετάρτου*
3 *πεντὰς καὶ τοῦ πέμπτου ἑξὰς καὶ ἀεὶ οὕτως. γεννᾶται δὲ τοῦ φυσικοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος καὶ ἀεὶ ἀπ' ἀρχῆς τῶν συνεχῶν κατὰ ἕνα συντιθεμένων, κατὰ γὰρ ἑκάστην σύνθεσιν καὶ προσσώρευσιν οἱ εὔτακτοι τρίγωνοι συντελοῦνται· οἷον ἐκ μὲν τοῦ φυσικοῦ στίχου τούτου*

α, β, γ, δ, ε, ϛ, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε

τὸν μὲν πρώτιστον λαβὼν ἔχω τὸν δυνάμει πρῶτον

---

2. *μορίων*] *μονάδων CS* — *ἰσοπλεύρως C* — 3. 4. *οὗ . . . γ*] *ὑπόδειγμα γ S* — 5. 6. *εὔτακτοι ἔσονται*] *ἔσ. τοιαῦται SH* — 6. 7. *τὸ τοιοῦτον* om. *H* — 7. *προκόπτον C* — 9. *γινόμενον*] *συγκείμενον H* — *δυνάμει*] *μονάδι G* — 11. *συνεχῆ G* *ἀπὸ* [*ὑπὸ H*] *τοῦ συνεχοῦς ἀριθμοῦ SH* *δὲ* G_2 — 12. *πρῶτον* G_1 — 12. 13. *τοῦτο ἐνεργ.* G_1 — 14. *πλευρὰ* om. *H* — *τριάς* post ϛ *GP* — 15. *τρίτου*] *τοῦ δέκα* add. *CSH* — 17. *φυσικόν G* — *στιχηδόν PC* — 19. *ἑκάστου SH* — 20. *εὔτακτοι*] *σύνθετοι* add. *S* — 21. *τούτου* om. *CSH* — 22. *ια . . . ιε* om. *H* — *ιε*] *ὁ α, γ, ϛ, ι, ιε, κα, κη, λϛ, με, νε, ξϛ, οη, ϟα, ρε, ρκ* add. *C* — 23. *ἔχων PH*

τρίγωνον, τὴν μονάδα [1], εἶτα τὸν συνεχῆ αὐτῷ ἐπισωρεύσας ἔχω τὸν ἐνεργείᾳ πρῶτον τρίγωνον, β γὰρ καὶ α ὁ γ ἐστί, καὶ τῇ γε σχηματογραφίᾳ οὕτως συνίσταται· ἐπὶ μιᾷ μονάδι δύο μονάδες παράλληλοι ὑποτίθενται καὶ τριγωνίζεται ὁ γ ἀριθμός [2]· εἶτα ἑξῆς ἐπὶ τούτοις ὁ γ συνεχὴς προςσωρευθεὶς καὶ ἐξαπλωθείς γε εἰς μονάδα καὶ συντεθεὶς τὸν ϛ ἀποδίδωσι δεύτερον ἐνεργείᾳ τρίγωνον καὶ προςέτι σχηματογραφεῖ [3]· καὶ πάλιν ὁ φύσει ἀκόλουθος ὁ δ ἐπὶ τούτοις σωρευθεὶς καὶ μοναδιστὶ ὑπογραφεὶς τὸν εὔτακτον μετὰ τοὺς εἰρημένους ἀποδίδωσι τὸν ι καὶ τριγωνιστί γε σχηματίζεται [4]· καὶ ὁ ε ἐπὶ τούτῳ, εἶτα ὁ ϛ, εἶτα ὁ ζ καὶ οἱ ἑξῆς ἅπαντες, ὥςτ' ἐμμελῶς καὶ τὰς πλευρὰς ἑκάστου τοσούτων εἶναι
p μονάδων, ὁπόσοιπερ ἀριθμοὶ συνετέθησαν ἐκ τοῦ
48 φυσικοῦ στίχου εἰς τὴν αὐτοῦ σύστασιν [5 6 7]·



4. μιᾷ μ.] τῇ μ. *S* — 6. συνεχός G_1 om. *H* — 7. μονάδας *H* — ϛ] στίχον *P* — 9. σχηματόγράφει *GP* — 12. σχηματίζει *CS* — 13. εἶτα ὁ ζ om. *H* — καὶ οἱ λοιποὶ πάντες ἐφεξῆς *H* — 14. ἐμελῶς *G* — 15. ὁπόσοιπερ] ἂν καὶ add. *SH* — 16. στίχου] χύματος *H* — εἰς] πρὸς *S* — ἑαυ-



IX **ϑ**. *Τετράγωνος δέ ἐστιν ἀριθμὸς ὁ συνεχὴς τούτῳ καὶ μηκέτι τρεῖς, ὡς ὁ πρόσθεν, ἀλλὰ τέσσαρας ἐν τῇ καταγραφῇ γωνίας ἀποδιδούς, ἐν ἰσοπλεύρῳ μέντοι καὶ αὐτὸς σχηματισμῷ, οἷον*

α, δ, ϑ, ις, κε, λς, μϑ, ξδ, πα, ρ·

τούτων γὰρ αἱ καταγραφαὶ ἰσόπλευροι τετραγωνισμοὶ οὕτω πως γίνονται·

α

α	α
α	α

α	α	α
α	α	α
α	α	α

α	α	α	α
α	α	α	α
α	α	α	α
α	α	α	α

α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α
α	α	α	α	α

IX. Io. Phil. rec. I, *λγ*, *λδ*; rec. II, *κε*. — Iambl. p. 83—85. — Theon. 11. 15. 19—21. 25. 28. — Boëth. II. 7.

τοῦ GP — figuras non habent *PH*; *G* hoc addit schema, quod nos margini adposuimus, (simile *Γ*):

IX. *Περὶ τετραγώνου H* *-ων Γ* — 1. *Τρίγωνος P* — 3. *καὶ* om. *SH*, del. *C* — *ὡς πρόσϑ*. *H* — 7. *αὐτῷ G* — 10. *τούτοις S* — *καταγαφαὶ G* — figuras om. *GP*

καὶ ἐφεξῆς οὕτως, μέχρις οὗ βούλει. καὶ τούτοις δὲ 2
συμβέβηκεν, ὥςπερ καὶ τοῖς πρὸ αὐτῶν, τὴν τῶν πλευρῶν πρόβασιν κατὰ τὸν φυσικὸν ἀριθμὸν προκόπτειν· τῷ μὲν γὰρ δυνάμει πρώτῳ τῷ ἑνὶ πλευρὰ μονάς, τῷ δὲ ἐνεργείᾳ πρώτῳ τῷ δ πλευρὰ δυάς, τῷ δὲ ἐνεργείᾳ δευτέρῳ τῷ ϑ πλευρὰ τριάς, τῷ δὲ μετ' αὐτὸν ἐνεργείᾳ τρίτῳ τῷ ις πλευρὰ τετρὰς καὶ τῷ τετάρτῳ πεντὰς καὶ τῷ πέμπτῳ ἑξὰς καὶ καθόλου ἑξῆς τοῖς ἐφεξῆς. γεννᾶται δὲ καὶ οὗτος στοι- 3
χηδὸν ἐκτεθέντος φυσικοῦ ἀριθμοῦ τῇ μονάδι ἐπισωρευθέντων οὐκέτι τῶν ἐφεξῆς τοῖς ἐφεξῆς, ὡς δέδεικται, ἀλλὰ τῶν παρ' ἕνα κειμένων πάντων, τουτέστι τῶν περισσῶν· πρῶτος γὰρ ὁ α δυνάμει πρῶτος τετράγωνος, δεύτερος ὁ α καὶ γ ἐνεργείᾳ πρῶτος τετράγωνος, τρίτος δὲ ὁ α καὶ γ καὶ ε ἐνεργείᾳ δεύτερος τετράγωνος, τέταρτος δὲ ὁ α καὶ γ καὶ ε καὶ ζ ἐνεργείᾳ τρίτος τετράγωνος καὶ ὁ ἑξῆς τοῖς προτέροις προςσωρευθέντος τοῦ ϑ γίνεται καὶ ὁ μετ' αὐτόν τοῦ ια προςτεθέντος καὶ οὕτως ἀεί. καὶ 4
ἐπὶ τούτων δὲ συμβέβηκε τοσούτων μονάδων τὴν ἑκάστου πλευρὰν εἶναι, ὁπόσοιπερ ἂν ὦσιν οἱ εἰς τὴν αὐτοῦ γένεσιν ἐπισωρευθέντες ἀριθμοί.

---

1. οὕτως om. *H* — μεχ. ὅσου *H* — 3. 4. κόπτειν *P* — 4. πρώτῳ] μόνῳ *C* — 6—8. τῷ δὲ μετ' . . . ἑξὰς] καὶ τῷ τετάρτῳ τετρὰς καὶ τῷ πέμπτῳ πεντὰς καὶ τῷ ς ἑξάς *S* — 9. αἱ ἐφεξῆς τοῖς ἐφ. *C* οἱ ἐφεξῆς τοῖς ἑξῆς *S* οἱ ἐφεξῆς *H* — οὗτος] ἀπὸ τοῦ add. *CSH* — στιχηδὸν *C* — 10. ἐπισωρευθέντος *P* ἐπισωρευομένων *CH* — 12. δέδεικται] ἐπὶ τῶν τριγώνων add. *S* — 14. α] πρῶτος *G* — 17. ὁ ante ἑξῆς om. *GP* — προτέροις] πρώτως *P* πρότε(ο)ρον *C*, om. *H* — 17. προςσωρευθέντα *G* — 22. συσσωρευθέντες *SH* — schema, quod *GΓ* adponunt, hoc est:

β δ ς η ι ιβ ιδ ις ιη κ

ἀριθμοὶ περιττοί·	α	γ	ε	ζ	ϑ	ια	ιγ	ιε	ιζ	ιϑ
τετράγωνοι·	α	δ	ϑ	ις	κε	λς	μϑ	ξδ	πα	ρ

X *ι. Πεντάγωνος δέ ἐστιν ἀριθμὸς ὁ καὶ αὐτὸς κατὰ τὴν ἐξάπλωσιν τὴν εἰς μονάδα σχηματογραφούμενος ἐπιπέδως εἰς πενταγωνικὸν σχῆμα πάντη ἰσόπλευρον, οἷον*

α, ε, ιβ, κβ, λε, να, ο

2 *καὶ οἱ ἀνάλογοι. ἀλλ' ἔστι τοῦ μὲν πρώτου κατ' ἐνέργειαν, τουτέστι τοῦ ε ἑκάστη πλευρὰ δυάς, μονὰς μὲν γὰρ τοῦ δυνάμει πρωτίστου πενταγώνου ὑπάρχει τοῦ ἑνός, τοῦ δὲ τῶν ἐκκειμένων δευτέρου τοῦ ιβ πλευρὰ τριὰς καὶ τοῦ μετ' αὐτὸν τοῦ κβ τετρὰς καὶ τοῦ ἑξῆς τοῦ λε πεντὰς καὶ ἑξὰς τοῦ ἐπὶ τούτῳ τοῦ να καὶ ἀεὶ οὕτως· καθόλου γὰρ τοσούτων μονάδων ἡ πλευρά ἐστιν, ὅσοιπερ εἰς τὴν αὐτοῦ σύστασιν συνεσωρεύθησαν ἀριθμοὶ ἐκλεγέντες ἐκ τοῦ κατὰ φύσιν στοιχηδὸν ἐκκειμένου ἀριθ-* P 49 *μητικοῦ χύματος· παραπλησίως γὰρ καὶ ὁμοιοτρόπως ἐπισωρεύονται ἀλλήλοις εἰς πενταγώνου γένεσιν οἱ ἀπὸ μονάδος δύο διαλείποντες ἐφ' ὁσονοῦν, τουτέστιν οἱ τριάδι ἀλλήλων ὑπερέχοντες· ἡ μὲν μονὰς δυνάμει πρῶτος καὶ σχηματογραφεῖται οὕτως* [1], *ὁ δὲ ε δεύτερος ἐκ τοῦ α καὶ δ συντεθέντων σχηματογραφούμενος καὶ αὐτὸς οὕτως* [2], *ὁ δὲ ιβ ὁ τρίτος*

X. Io. Phil. rec. I, *λε—λζ*; rec. II, *κϛ, κζ*. — Iambl. p. 85. — Theon. 26. — Boëth. II. 8.

X. *Περὶ πενταγώνου H -ων Γ* — 2. *μονάδας PC secundum unitatem* Boëth. II. 8. — *σχηματογραφόμενος P* — 6. *ἀνάλογον CSH* — 7. *τουτέστι*] *ἤγουν H* — *ἑκάστου P*, om. *H* — 9. *ἑνός*] *πρώτου S* — 12. 13. *καθ. γὰρ καὶ ἐπὶ τούτων τοσ. H* — 13. *ἑκάστου SH* — *ἔσται H* — 14. *ἐκλέγοντος P* — 15. *στιχηδόν PC* — 21. *ἐκ τοῦ πρώτου καὶ τετάρτου G* — 21. 22. *σχηματογραφούμ. . . . οὕτως* om. *H* — 22. *ὁ δὲ ιβ ὁ* om. *H*

ἔκ τε τῶν δύο προτέρων καὶ τοῦ ζ ἐπισωρευθέντος αὐτοῖς, ἵνα καὶ αὐτὸς τριάδα πλευρὰν σχῇ, ὡς τριῶν συντεθέντων εἰς τὴν αὐτοῦ σύστασιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ ὁ ε δυάδα πλευρὰν εἶχεν ἐκ δύο συντεθείς, ἡ δὲ σχηματογραφία αὐτοῦ τοιαύτη ἐστίν· [3]

[1]

[2]

[3]





οἱ δὲ ἐπὶ τούτοις γενήσονται καθεξῆς προσσωρευομένων τῶν κατὰ τριάδος ὑπεροχὴν εὐτάκτων μετὰ τὴν ἑβδομάδα ὄντων, οἷον τοῦ 3

ι, ιγ, ις, ιθ, κβ, κε

καὶ ἐπ' ἄπειρον· ἔσονται γὰρ

κβ, λε, να, ο, ϟβ, ριζ

καὶ τοῦτο μέχρι παντός.

---

2. ἔχῃ *SH* — 5. δυάδι *H* — 10. τούτῳ *H* — 14. ὄντων] οὕτως *G* — οἷον τοῦ om. *H* — in codice *G* (Γ) haec adposita sunt: ὅρα, πῶς ἐκ τοῦ φυσικοῦ χύματος ἀποτελοῦνται οἱ πεντάγωνοι (u. mrg.)·

XI ια. Ἑξάγωνοι δὲ καὶ ἑπτάγωνοι καὶ οἱ ἑξῆς κατὰ τὴν αὐτὴν ἔφοδον προβιβασθήσονται ἀπὸ τοῦ φυσικοῦ χύματος τοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος αἰεὶ κατὰ μονάδος πρόςθεσιν τῶν ἀποστάσεων γινομένων· ὡς γὰρ ὁ μὲν τρίγωνος τοὺς μονάδι διαφέροντας, μηδὲν παραλείποντας εἰς τὴν σωρείαν δεχόμενος ἀπετελεῖτο, ὁ δὲ τετράγωνος τοὺς δυάδι μὲν διαφέροντας, ἕνα δὲ παραλείποντας, πεντάγωνος δὲ ἀκολούθως τοὺς τριάδι μὲν διαφέροντας, δύο δὲ παραλείποντας, οὓς καὶ ἀπεδείξαμεν ὑποδείγματα αὐτῶν τε καὶ τῶν ἀποτελουμένων ἐκθέμενοι ἐξ αὐτῶν, οὕτως καὶ ἑξάγωνοι γνώμονας ἕξουσι τοὺς τετράδι μὲν διαφέροντας, τρεῖς δὲ παραλείποντας, ἐξ ὧν συντεθέντων σωρηδὸν ἀποτελοῦνται, οἷον

α, ε, ϑ, ιγ, ιζ, κα

καὶ ἐφεξῆς, ἵνα οἱ ἀποτελούμενοι ἑξάγωνοι ὦσιν

α, ϛ, ιε, κη, με, ξϛ

2 καὶ ἀεί, μέχρις ἂν τις θέλῃ. οἱ δὲ τούτοις ἀκόλουθοι ἑπτάγωνοι τοὺς μὲν γνώμονας ἔχουσι πεντάδι μὲν διαφέροντας, τετράδι δὲ διαλείποντας, οἷον

α, ϛ, ια, ιϛ, κα, κϛ, λα, λϛ

καὶ ἐφ᾽ ὁσονοῦν, αὐτοὶ δὲ οἱ συνιστάμενοί εἰσιν



XI. Io. Phil. rec. I, λη—μα; rec. II, κη, κϑ. — Iambl. p. 85. 86. — Theon. 27. — Boëth. II. 9.

XI. 1. καϑεξῆς *H* — 2. αὐτῶν *G* — 3. τοῦ ἀρ. . . . ἐκτεϑ. om. *PC* — στιχηδὸν *H* — 10. ὑπεδείξαμεν *CH* — 11. ϑέμενοι *H* — 14. οἷον] τοὺς add. *P* — 18. ἂν] οὐ *HS* — ϑέλοι *P* ϑέλει *SH* — *G* hanc adscribit figuram (u. marg.): — οἱ] εἰ *G* — 19. ἕξουσι *C* Io. Phil. rec. I, μ

α, ζ, ιη, λδ, νε, πα, ριβ, ρμη

καὶ τοῦτο μέχρι παντός. ὀκτάγωνοι δὲ κατὰ τὴν 3
αὐτὴν τάξιν τοῖς τε γνώμοσιν ἑξάδι διαφέροντες
προκόπτουσι καὶ τοῖς συστήμασιν ἀναλόγως. ἵνα δὲ 4
ἐπὶ πάντων παρατηροῦντι τοῦτο καθολικὸν σύμφωνον ᾖ, ἑκάστου πολυγώνου τοὺς γνώμονας διαφέρειν ἀλλήλων δυάδι ἐλαττόνως, ἢ κατὰ τὴν ἐν τῷ ὀνόματι ποσότητα τῶν γωνιῶν, τουτέστι μονάδι μὲν τὸν τρίγωνον, δυάδι δὲ τὸν τετράγωνον, τριάδι δὲ τὸν πεντάγωνον, τετράδι δὲ τὸν ἑξάγωνον καὶ πεντάδι τὸν ἑπτάγωνον καὶ ἀεὶ κατὰ παραύξησιν οὕτως.

ιβ. Καὶ περὶ μὲν τῆς τῶν πολυγώνων φύσεως XII
τῶν ἐπιπέδων ἱκανὰ ταῦτα ὡς ἐν πρώτῃ εἰςαγωγῇ· ὅτι δὲ συμφωνοτάτη διδασκαλία ἡ περὶ αὐτῶν τῇ γραμμικῇ καὶ οὐκ ἀπᾴδουσα, δῆλον ἂν εἴη οὐ μόνον

XII. Io. Phil. rec. I, μβ—μδ; rec. II, λ—λγ. — Iambl. p. 86—101. — Boëth. II. 10. 11.

---

1. ριβ, ρμη om. *H* — 2. ὀκταγώνιοι *H* — haec schemata adponit *G*:



5. τὸ αὐτὸ *SH*

XII. 15. συμφωνότατος *H* — παρ' αὐτῶν *C*

ἐκ τῆς σχηματογραφίας τῆς καθ' ἕκαστον, ἀλλὰ κἀκεῖθεν· πᾶν τετράγωνον σχῆμα διαγωνίως διαιρεθὲν εἰς δύο τρίγωνα λύεται καὶ πᾶς τετράγωνος ἀριθμὸς εἰς δύο τριγώνους συνεχεῖς λύεται καὶ ἐξ ἄρα δύο τριγώνων συνεχῶν συνέστηκεν· οἷον τρίγωνοι μέν εἰσιν

α, γ, ϛ, ι, ιε, κα, κη, λϛ, με, νε

καὶ οἱ ἑξῆς, τετράγωνοι δὲ

α, δ, θ, ιϛ, κε, λϛ, μθ, ξδ, πα, ρ.

2 δύο δή, οὓς ἂν θέλῃς, τριγώνους συνεχεῖς ἀλλήλοις συνθεὶς πάντως τετράγωνον ποιήσεις καὶ ὁντινοῦν τετράγωνον ἄρα διαλύσας δυνήσῃ δύο ἀπ' αὐτῶν τριγώνους ποιῆσαι· καὶ πάλιν παντὶ τετραγώνῳ σχήματι τρίγωνον προςζευχθὲν ὁθενοῦν πεντάγωνον ποιεῖ, οἷον τῷ δ τετραγώνῳ ὁ α τρίγωνος προςζευχθεὶς τὸν ε πεντάγωνον ποιεῖ καὶ τῷ θ τῷ ἑξῆς ὁ ἑξῆς προςτεθείς, δηλονότι ὁ γ, πεντάγωνον τὸν ιβ ποιεῖ, τῷ δὲ ιϛ ὄντι ἀκολούθῳ ὁ ϛ ἀκόλουθος ἐπισυντεθεὶς τὸν κβ ἀκόλουθον ἀποδίδωσιν καὶ τῷ κε

---

3. hocce schema codicis *G*:



— 5. συνέστη *H* — 7. με, νε om. *H* — 9. πα, ρ om. *H* — 10. ἐθέλοις *C* — 12. αὐτοῦ *S* — 14. τρίγωνον σχῆμα συζευχθέν *H* — πρωτάγωνον G_1 (εν G_2) — 15. δ] τετάρτῳ *G* — προςζευχθεὶς] προςτεθεὶς *S* συντεθεὶς *H* — 16. ε om. *P* — 16. 17. ὁ ἑξῆς om. *P* τῷ ἑξ. τῷ θ ὁ ἑξ. τρίτος προςτεθεὶς τὸν ἑξῆς πενταγ. ιβ *S* τῷ ἑξῆς τρίγωνος ὁ γ τὸν ἑξῆς τὸν ιβ πεντάγ. *H* — 18. ἀκολούθως *H*

ὁ ι τὸν λε καὶ ἀεὶ οὕτως. κατὰ δὲ τὰ αὐτὰ κἂν 3
τοῖς πενταγώνοις οἱ τρίγωνοι προςτιθοῖντο τῇ αὐτῇ
τάξει, τοὺς εὐτάκτους γεννήσουσιν ἑξαγώνους καὶ
πάλιν ἐκείνοις οἱ αὐτοὶ προςπλεκόμενοι τοὺς ἐν
τάξει ἑπταγώνους ποιήσουσι καὶ μετ' ἐκείνους τοὺς
ὀκταγώνους καὶ τοῦτο ἐπ' ἄπειρον· πρὸς δὲ ὑπό- 4
μνησιν ἐκκείσθωσαν ἡμῖν πολυγώνων στίχοι παραλ-
λήλως γεγραμμένοι οἵδε, ὁ πρῶτος τριγώνων, ὁ
μετ' αὐτὸν τετραγώνων, μετὰ δὲ ἀμφοτέρους πεντα-
γώνων, εἶτα ἑξαγώνων, εἶτα ἑπταγώνων, εἶτα, εἰ
ἐθέλοι τις, καὶ τῶν ἑξῆς πολυγώνων·

μῆκος καὶ πλάτος

τρίγωνοι	α	γ	ς	ι	ιε	κα	κη	λς	με	νε	βάθος
τετράγωνοι	α	δ	θ	ις	κε	λς	μθ	ξδ	πα	ρ	
πεντάγωνοι	α	ε	ιβ	κβ	λε	να	ο	ϟβ	ριζ	ρμε	
ἑξάγωνοι	α	ς	ιε	κη	με	ξς	ϟα	ρκ	ρνγ	ρϟ	
ἑπτάγωνοι	α	ζ	ιη	λδ	νε	πα	ριβ	ρμη	ρπθ	σλε	

p ἔξεστι δὲ καὶ τῶν ἐφεξῆς πολυγώνων τὴν ἔκθεσιν ἐν
51 παραλλήλοις οὕτω στίχοις ποιήσασθαι. καθολικῶς 5
γὰρ εὑρήσεις τοὺς μὲν τετραγώνους τῶν ὑπὲρ αὐ-
τοὺς σύστημα ὄντας ὁμοταγῶν τριγώνων καὶ ἔτι
τῶν ὑπερκειμένων ἐκείνοις ὁμογενῶν, οἷον

ον
1. τὰ αὐτὰ] ταῦτα *S* — 2. εἰ τρίγων προςτεθοῖντο *S* εἰ τρ·γ. προςτίθενται *H* — 3. 4. καὶ πάλιν μετ' *H* — 6. ὀκταγών. om. *H* — τοῦτο] οὕτως *H* — 7. ἐκκείσθω *S* — παράλληλοι *H* — 8. οἵδε om. *CH* — 8. 9. ὁ μετ' αὐτὸν] ὁ δεύτερος *H* — 9. ἀμφότερα *G* — 10. εἶτα ἑξῆς ἑξαγ. *H* — 11. θέλει *SH* — 13—17. schema om. *PH* — 18 ἔξεστι . . . πολυγ. om. *H* ἔξεστι γὰρ καὶ τὴν τούτων ἔκθεσιν *C* — ἐν om. *H* — 19. οὕτω om. *C* — στίχοις] ὥςπερ τῶν πρὸ αὐτῶν add. *SC* — ποιεῖσθαι *H* — 20. 21. αὐτοὺς] κειμένων add. *S* — 22. ὑπερκειμ.] ὑπὲρ ἐκείνους κειμένων *H*

τὸν δ τοῦ γ καὶ α,
τὸν ϑ τοῦ ς καὶ γ,
τὸν ις τοῦ ι καὶ ς,
τὸν κε τοῦ ιε καὶ ι,
τὸν δὲ λς τοῦ κα καὶ ιε

καὶ μέχρις ἀεὶ οὕτως· τοὺς δὲ πενταγώνους τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν τετραγώνων σύστημα ὄντας καὶ προςέτι τῶν πρωτογενῶν τριγώνων, ὅσοι εἰσὶ μονάδι ἔλαττον ὁμοταγεῖς, οἷον

ὁ μὲν ε τοῦ δ καὶ α,
ὁ δὲ ιβ τοῦ ϑ καὶ γ,
ὁ δὲ κβ τοῦ ις καὶ ς,
ὁ δὲ λε τοῦ κε καὶ ι

6 καὶ ἀεὶ οὕτως. πάλιν δὲ οἱ ἑξάγωνοι τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν πενταγώνων καὶ τῶν προεκτεϑέντων τριγώνων ὁμοίως, οἷον

ὁ ς τοῦ ε καὶ α,
ὁ ιε τοῦ ιβ καὶ γ,
ὁ δὲ κη τοῦ κβ καὶ ς,
ὁ δὲ με τοῦ λε καὶ ι

7 καὶ μέχρις οὗ βούλει. τῶν δὲ ἑπταγώνων ὁ αὐτὸς τρόπος·

ὁ μὲν γὰρ ζ σύστημα τοῦ ς καὶ α,
ὁ δὲ ιη τοῦ ιε καὶ γ,
ὁ δὲ λδ τοῦ κη καὶ ς

καὶ οἱ ἑξῆς ἀκολούϑως, ἵνα ἕκαστος πολύγωνος σύστημα ᾖ τοῦ τε ὑπὲρ αὐτὸν ὁμοταγοῦς μονάδι ἐλάτ-

---

1. α] τοῦ α codd. — 3. ς] τοῦ ς codd. — 5. τὸν δὲ λς . . . ιε om. H — 6. μέχρις om. H — κἂν τοῖς πενταγώνοις εὕροις S — 8. πρωτογώνων S — 9. ἐλάττονες SH — 14. ἀεὶ οὕτως] μέχρις οὗ βούλει P — 15. πενταγώνων om. SH — προεκϑέντων P — 16. οἷον om. SH — 27. αὐτῷ (ὁ supra) G

*τονος ὁμογωνίου καὶ τοῦ ἀνωτάτου τριγώνου τοῦ
[μονάδι ἐλάττονος] ὁμοταγοῦς παρ' ἓν κειμένου.
εἰκότως ἄρα στοιχεῖον πολυγώνων τὸ τρίγωνον καὶ* 8
*ἐν γραμμαῖς καὶ ἐν ἀριθμοῖς· καὶ γὰρ καὶ κατὰ
βάθος καὶ κατὰ πλάτος ἐν τῷ διαγράμματι εὑρίσκον-
ται οἱ συνεχεῖς αἰεὶ ἀριθμοὶ κατὰ τοὺς στίχους αὐτοὺς
ἔχοντες διαφορὰς τοὺς εὐτάκτους τριγώνους.*

ιγ. Ἐντεῦθεν ἤδη ῥᾴδιον συνιδεῖν, τίς τε ὁ XIII
*στερεὸς ἀριθμὸς καὶ πῶς ἰσοπλεύρως ὁ τοιοῦτος
προκόπτει· ὁ γὰρ πρὸς τοῖς δυσὶ διαστήμασι τοῖς
ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ θεωρουμένοις ἐπὶ
μῆκος καὶ ἐπὶ πλάτος τρίτον διάστημα προςειληφώς,
ὅ τινες μὲν βάθος, τινὲς δὲ πάχος καλοῦσιν, ἔνιοι
δὲ ὕψος, ἐκεῖνος ἂν εἴη στερεὸς ἀριθμὸς ὁ τριχῇ
διαστατὸς καὶ ἔχων ἐν ἑαυτῷ μῆκος, βάθος, πλάτος.*

Πρώτιστα δὲ οὗτος φαντάζεται ἐν ταῖς λεγομέ- 2
*ναις πυραμίσιν. αὗται δὲ γίνονται ἐκ πλατυτέρων
βάσεων μειουριζόμεναι εἰς ὀξεῖαν κορυφήν, πρῶτον
μὲν κατὰ τριγωνισμὸν ἀπὸ τριγώνου βάσεως, δεύ-
τερον δὲ κατὰ τετραγωνισμὸν ἀπὸ τετραγώνου βά-
σεως, ἑξῆς δὲ τούτοις κατὰ πενταγωνισμὸν ἀπὸ*

XIII. Io. Phil. rec. I, *με*, *μϛ*; rec. II, *λδ*, *λε*. — Iambl. p. 131—138. — Theon. 28—30. — Boëth. II. 12—14.

---

1. *ὁμογωνίου*] *-ώνου H* *πολυγώνου C* — *ἀνωτάτου* om. *C* — 2. [*μον. ἐλάττ.*] delenda censeo; librarii neglegentia repetita sunt. — *παρ' ἓν κειμένου*] *τῷ πολυγώνῳ τριγώνου CH*, om *S* — 5. *καὶ κ. πλάτος*, quae Ast deleuit, tuetur Io. Phil. I, *μδ* (II, *λγ*) — 6. *καὶ κατὰ G*
XIII. *Περὶ στερεῶν Cμ* — 9. *ἰσόπλευρος P* — 14. *στερεὸς* om. *P*
XIII, 2. *Περὶ πυραμίδων Cμ* — 17. *πλατυτ.*] *ἐπιπέδων βάσ.* add. *H* — 18. *μειουριζομένων GS* *μυουριζόμεναι* (*ει* supra) *C* — 20. *βάσεως* om. *H* *δεύτερος . . . βάσεως* om. *S* 21. *ἑξῆς . . . ἀπὸ* om. *P*

πενταγώνου βάσεως, εἶτα ἀνάλογον ἀπὸ ἑξαγώνου p 52 καὶ ἑπταγώνου καὶ ὀκταγώνου καὶ ἀεὶ ἐπ' ἄπειρον.

3 καθάπερ ἀμέλει καὶ ἐν τοῖς γεωμετρικοῖς στερεοῖς σχήμασιν ἀπὸ τριγώνου ἰσοπλεύρου ἐάν τις εὐθείας ἐννοήσῃ τρεῖς ἀπὸ τῶν γωνιῶν τῷ μήκει ἴσας ταῖς τοῦ τριγώνου πλευραῖς καθ' ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ὑπὸ τεσσάρων περιεχομένη τριγώνων ἰσοπλεύρων τε καὶ ἴσων ἀλλήλοις, ἑνὸς μὲν τοῦ ἐξ ἀρχῆς τριγώνου, τριῶν δὲ τῶν περιγραφέντων ὑπὸ τῶν λεχθεισῶν τριῶν εὐθειῶν.

4 καὶ πάλιν ἀπὸ τετραγώνου ἐπιπέδου ἐάν τις τέσσαρας εὐθείας λογίσηται τῷ μήκει ἴσας ταῖς τοῦ τετραγώνου πλευραῖς ἑκάστην ἑκάστῃ πάλιν κατὰ τὸ ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ἀπὸ τετραγώνου βάσεως τετραγωνικῶς μειουριζομένη, περιεχομένη δὲ ὑπὸ τεσσάρων μὲν τριγώνων ἰσοπλεύρων, ἑνὸς δὲ τετραγώνου τοῦ ἐξ ἀρχῆς.

5 καὶ ἀπὸ πενταγώνου δὲ καὶ ἑξαγώνου καὶ ἑπταγώνου καὶ μέχρις οὗ βούλεταί τις προχωρεῖν, τῷ αὐτῷ τρόπῳ εὐθεῖαι ἰσάριθμοι ταῖς γωνίαις ἀπ' αὐτῶν τῶν γωνιῶν ἀνεγειρόμεναι καὶ εἰς ἓν καὶ τὸ αὐτὸ συννεύουσαι σημεῖον πυραμίδα ἀποκορυφοῦσιν ὀνομαζομένην ἀπὸ πενταγώνου βάσεως ἢ ἑξαγώνου ἢ ἑπταγώνου

---

1. πενταγώνου βάσεως om. *P* — πενταγ.] τριγώνου *G* — 5. ἐπινοήσῃ *CSH* — τῷ μήκει om. *H* — 8. ὑπὸ τ. περιεχ. om. *H* — 10. παραγραφέντων *G* — 12. λογήσηται *GP* — 15. ἂν ἀποτελ. om. *S* — 16. τετραγωνικῶς om. *H* — μηουριζ. *G* μυουριζ. *C* — *G* adponit hasce figuras:



— 17. ἰσοπλεύρων om. *H* — 20. βούλει *C* — προχωροῦσι *H*

ἢ ἀνάλογον. οὕτω δὲ καὶ ἐν τοῖς ἀριθμοῖς ἀπὸ 6
μὲν μονάδος ὡς ἀπὸ σημείου πᾶς γραμμικὸς ηὐξήθη ἀριθμός, οἷον

α, β γ, δ, ε

καὶ οἱ ἑξῆς ἐπ' ἄπειρον· ἀπ' αὐτῶν δὲ τούτων γραμμικῶν ὄντων καὶ ἐφ' ἓν διαστατῶν πως συντεθέντων καὶ οὐχ ὡς ἔτυχεν οἱ πολύγωνοι καὶ ἐπίπεδοι ἀριθμοὶ πλάσσονται, τρίγωνοι μὲν παρὰ μηδένα συντεθέντων τῶν γνωμόνων, τετράγωνοι δὲ παρὰ ἕνα, πεντάγωνοι δὲ παρὰ δύο καὶ ἀεὶ οὕτως.
τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτῶν τούτων τῶν ἐπιπέ- 7
δων πολυγώνων ἀριθμῶν ἐπισωρευομένων ἀλλήλοις καὶ ὡσανεὶ ἐποικοδομουμένων αἱ ὁμογενεῖς ἑκάστῳ πυραμίδες γεννῶνται, ἡ μὲν ἀπὸ τριγώνου βάσεως ἀπ' αὐτῶν τῶν τριγώνων, ἡ δὲ ἀπὸ τετραγώνου βάσεως ἀπ' αὐτῶν τῶν τετραγώνων, ἡ δὲ ἀπὸ πενταγώνου ἀπὸ τῶν πενταγώνων καὶ ἡ ἀπὸ ἑξαγώνου ἀπὸ τῶν ἑξαγώνων καὶ τοῦτο δι' ὅλου. εἰσὶν οὖν 8
αἱ μὲν ἀπὸ τριγώνου βάσεως εὔτακτοι αὗται

α, δ, ι, κ, λε, νς, πδ

---

2. γραμμικῶς *GP* (-ός tuetur Io. Phil. I, μς (II, λε) — 3 οἷον om. *H* — 6. διαστατὸν *C* — 8—10. τρίγωνος ... τετράγωνος ... πεντάγωνος *H* — 11. τούτων om. *H* — 13. ὡς ἂν ἐπ. *S* — ἐπικοδομ. *G* ἐνοικοδ. *H* — 14. ἀπογενν. *H* — 15. αὐτῶν om. *S* — οἱ δὲ *G* — 16. βάσεως om. *H* — αὐτῶν om. *SH* — 16. 17. βάσεως ... πενταγώνου om. *G* — 17. καὶ ἡ ... ἑξαγώνου om. *H* — 18. *G* adscribit:

πρώτη πυραμίς.	δευτέρα πυραμίς.	[τρίτη πυραμίς. om. *G*]
α	α	α
α	α	α
αα	αα	αα
	ααα	ααα
	ααα	ααα
		ααααα
		ααααα

X ι. Πεντάγωνος δέ ἐστιν ἀριθμὸς ὁ καὶ αὐτὸς κατὰ τὴν ἐξάπλωσιν τὴν εἰς μονάδα σχηματογραφούμενος ἐπιπέδως εἰς πενταγωνικὸν σχῆμα πάντη ἰσόπλευρον, οἷον

α, ε, ιβ, κβ, λε, να, ο

2 καὶ οἱ ἀνάλογοι. ἀλλ' ἔστι τοῦ μὲν πρώτου κατ' ἐνέργειαν, τουτέστι τοῦ ε ἑκάστη πλευρὰ δυάς, μονὰς μὲν γὰρ τοῦ δυνάμει πρωτίστου πενταγώνου ὑπάρχει τοῦ ἑνός, τοῦ δὲ τῶν ἐκκειμένων δευτέρου τοῦ ιβ πλευρὰ τριὰς καὶ τοῦ μετ' αὐτὸν τοῦ κβ τετρὰς καὶ τοῦ ἑξῆς τοῦ λε πεντὰς καὶ ἑξὰς τοῦ ἐπὶ τούτῳ τοῦ να καὶ ἀεὶ οὕτως· καθόλου γὰρ τοσούτων μονάδων ἡ πλευρά ἐστιν, ὅσοιπερ εἰς τὴν αὐτοῦ σύστασιν συνεσωρεύθησαν ἀριθμοὶ ἐκλεγέντες ἐκ τοῦ κατὰ φύσιν στοιχηδὸν ἐκκειμένου ἀριθ- P 49 μητικοῦ χύματος· παραπλησίως γὰρ καὶ ὁμοιοτρόπως ἐπισωρεύονται ἀλλήλοις εἰς πενταγώνου γένεσιν οἱ ἀπὸ μονάδος δύο διαλείποντες ἐφ' ὁσονοῦν, τουτέστιν οἱ τριάδι ἀλλήλων ὑπερέχοντες· ἡ μὲν μονὰς δυνάμει πρῶτος καὶ σχηματογραφεῖται οὕτως [1], ὁ δὲ ε δεύτερος ἐκ τοῦ α καὶ δ συντεθέντων σχηματογραφούμενος καὶ αὐτὸς οὕτως [2], ὁ δὲ ιβ ὁ τρίτος

X. Io. Phil. rec. I, λε—λζ; rec. II, κς, κζ. — Iambl. p. 85. — Theon. 26. — Boëth. II. 8.

X. Περὶ πενταγώνου H -ων Γ — 2. μονάδας PC *secundum unitatem* Boëth. II. 8. — σχηματογραφόμενος P — 6. ἀνάλογον CSH — 7. τουτέστι] ἤγουν H — ἑκάστου P, om. H — 9. ἑνός] πρώτου S — 12. 13. καθ. γὰρ καὶ ἐπὶ τούτων τοσ. H — 13. ἑκάστου SH — ἔσται H — 14. ἐκλέγοντος P — 15. στιχηδόν PC — 21. ἐκ τοῦ πρώτου καὶ τετάρτου G — 21. 22. σχηματογραφούμ. . . . οὕτως om. H — 22. ὁ δὲ ιβ ὁ om. H

ἔκ τε τῶν δύο προτέρων καὶ τοῦ ζ ἐπισωρευθέντος αὐτοῖς, ἵνα καὶ αὐτὸς τριάδα πλευρὰν σχῇ, ὡς τριῶν συντεθέντων εἰς τὴν αὐτοῦ σύστασιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ ὁ ε δυάδα πλευρὰν εἶχεν ἐκ δύο συντεθείς, ἡ δὲ σχηματογραφία αὐτοῦ τοιαύτη ἐστίν· [3]

[1]

[2]

[3]



οἱ δὲ ἐπὶ τούτοις γενήσονται καθεξῆς προςσωρευομένων τῶν κατὰ τριάδος ὑπεροχὴν εὐτάκτων μετὰ τὴν ἑβδομάδα ὄντων, οἷον τοῦ

ι, ιγ, ις, ιθ, κβ, κε

καὶ ἐπ' ἄπειρον· ἔσονται γὰρ

κβ, λε, να, ο, ϟβ, ριζ

καὶ τοῦτο μέχρι παντός.



---

2. ἔχῃ SH — 5. δυάδι H — 10. τούτῳ H — 14. ὄντων] οὕτως G — οἷον τοῦ om. H — in codice G (Γ) haec adposita sunt: ὅρα, πῶς ἐκ τοῦ φυσικοῦ χύματος ἀποτελοῦνται οἱ πεντάγωνοι (u. mrg.)·

XI ια. Ἑξάγωνοι δὲ καὶ ἑπτάγωνοι καὶ οἱ ἑξῆς κατὰ τὴν αὐτὴν ἔφοδον προβιβασθήσονται ἀπὸ τοῦ φυσικοῦ χύματος τοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος αἰεὶ κατὰ μονάδος πρόσθεσιν τῶν ἀποστάσεων γινομένων· ὡς γὰρ ὁ μὲν τρίγωνος τοὺς μονάδι διαφέροντας, μηδὲν παραλείποντας εἰς τὴν σωρείαν δεχόμενος ἀπετελεῖτο, ὁ δὲ τετράγωνος τοὺς δυάδι μὲν διαφέροντας, ἕνα δὲ παραλείποντας, πεντάγωνος δὲ ἀκολούθως τοὺς τριάδι μὲν διαφέροντας, δύο δὲ παραλείποντας, οὓς καὶ ἀπεδείξαμεν ὑποδείγματα αὐτῶν τε καὶ τῶν ἀποτελουμένων ἐκθέμενοι ἐξ αὐτῶν, οὕτως καὶ ἑξάγωνοι γνώμονας ἕξουσι τοὺς τετράδι μὲν διαφέροντας, τρεῖς δὲ παραλείποντας, ἐξ ὧν συντεθέντων σωρηδὸν ἀποτελοῦνται, οἷον

α, ε, θ, ιγ, ιζ, κα

καὶ ἐφεξῆς, ἵνα οἱ ἀποτελούμενοι ἑξάγωνοι ὦσιν

α, ϛ, ιε, κη, με, ξϛ

2 καὶ ἀεί, μέχρις ἂν τις θέλῃ. οἱ δὲ τούτοις ἀκόλουθοι ἑπτάγωνοι τοὺς μὲν γνώμονας ἔχουσι πεντάδι μὲν διαφέροντας, τετράδι δὲ διαλείποντας, οἷον

α, ϛ, ια, ιϛ, κα, κϛ, λα, λϛ



καὶ ἐφ' ὁσονοῦν, αὐτοὶ δὲ οἱ συνιστάμενοί εἰσιν

XI. Io. Phil. rec. I, λη—μα; rec. II, κη, κθ. — Iambl. p. 85. 86. — Theon. 27. — Boëth. II. 9.

XI. 1. καθεξῆς *H* — 2. αὐτῶν *G* — 3. τοῦ ἀρ. . . . ἐκτεθ. om. *PC* — στιχηδὸν *H* — 10. ὑπεδείξαμεν *CH* — 11. θέμενοι *H* — 14. οἷον] τοὺς add. *P* — 18. ἂν] οὐ *HS* — θέλοι *P* θέλει *SH* — *G* hanc adscribit figuram (u. marg.): — οἱ] εἰ *G* — 19. ἕξουσι *C* Io. Phil. rec. I, μ

α, ζ, ιη, λδ, νε, πα, ριβ, ρμη

καὶ τοῦτο μέχρι παντός. ὀκτάγωνοι δὲ κατὰ τὴν 3
p αὐτὴν τάξιν τοῖς τε γνώμοσιν ἑξάδι διαφέροντες
10 προκόπτουσι καὶ τοῖς συστήμασιν ἀναλόγως. ἵνα δὲ 4
ἐπὶ πάντων παρατηροῦντι τοῦτο καθολικὸν σύμφωνον ᾖ, ἑκάστου πολυγώνου τοὺς γνώμονας διαφέρειν ἀλλήλων δυάδι ἐλαττόνως, ἢ κατὰ τὴν ἐν τῷ ὀνόματι ποσότητα τῶν γωνιῶν, τουτέστι μονάδι μὲν τὸν τρίγωνον, δυάδι δὲ τὸν τετράγωνον, τριάδι δὲ τὸν πεντάγωνον, τετράδι δὲ τὸν ἑξάγωνον καὶ πεντάδι τὸν ἑπτάγωνον καὶ ἀεὶ κατὰ παραύξησιν οὕτως.

ιβ. Καὶ περὶ μὲν τῆς τῶν πολυγώνων φύσεως XII
τῶν ἐπιπέδων ἱκανὰ ταῦτα ὡς ἐν πρώτῃ εἰςαγωγῇ· ὅτι δὲ συμφωνοτάτη διδασκαλία ἡ περὶ αὐτῶν τῇ γραμμικῇ καὶ οὐκ ἀπᾴδουσα, δῆλον ἂν εἴη οὐ μόνον

XII. Io. Phil. rec. I, μβ—μδ; rec. II, λ—λγ. — Iambl. p. 86—101. — Boëth. II. 10. 11.

---

1. ριβ, ρμη om. *H* — 2. ὀκταγώνιοι *H* — haec schemata adponit *G*:





5. τὸ αὐτὸ *SH*

XII. 15. συμφωνότατος *H* — παρ' αὐτῶν *C*

ἐκ τῆς σχηματογραφίας τῆς καθ' ἕκαστον, ἀλλὰ κἀκεῖθεν· πᾶν τετράγωνον σχῆμα διαγωνίως διαιρεθὲν εἰς δύο τρίγωνα λύεται καὶ πᾶς τετράγωνος ἀριθμὸς εἰς δύο τριγώνους συνεχεῖς λύεται καὶ ἐξ ἄρα δύο τριγώνων συνεχῶν συνέστηκεν· οἷον τρίγωνοι μέν εἰσιν

α, γ, ϛ, ι, ιε, κα, κη, λϛ, με, νε

καὶ οἱ ἑξῆς, τετράγωνοι δὲ

α, δ, θ, ιϛ, κε, λϛ, μθ, ξδ, πα, ρ.

2 δύο δή, οὓς ἂν θέλῃς, τριγώνους συνεχεῖς ἀλλήλοις συνθεὶς πάντως τετράγωνον ποιήσεις καὶ ὁντινοῦν τετράγωνον ἄρα διαλύσας δυνήσῃ δύο ἀπ' αὐτῶν τριγώνους ποιῆσαι· καὶ πάλιν παντὶ τετραγώνῳ σχήματι τρίγωνον προςζευχθὲν ὁθενοῦν πεντάγωνον ποιεῖ, οἷον τῷ δ τετραγώνῳ ὁ α τρίγωνος προςζευχθεὶς τὸν ε πεντάγωνον ποιεῖ καὶ τῷ θ τῷ ἑξῆς ὁ ἑξῆς προςτεθείς, δηλονότι ὁ γ, πεντάγωνον τὸν ιβ ποιεῖ, τῷ δὲ ιϛ ὄντι ἀκολούθῳ ὁ ϛ ἀκόλουθος ἐπισυντεθεὶς τὸν κβ ἀκόλουθον ἀποδίδωσιν καὶ τῷ κε

---

3. hocce schema codicis *G*:



— 5. συνέστη *H* — 7. με, νε om. *H* — 9. πα, ρ om. *H* — 10. ἐθέλοις *C* — 12. αὐτοῦ *S* — 14. τρίγωνον σχῆμα ἐν G_2 συζευχθὲν *H* — πρωτάγωνον G_1 — 15. δ] τετάρτῳ *G* — προςζευχθεὶς] προςτεθεὶς *S* συντεθεὶς *H* — 16. ε om. *P* — 16. 17. ὁ ἑξῆς om. *P* τῷ ἑξ. τῷ θ ὁ ἑξ. τρίτος προςτεθεὶς τὸν ἑξῆς πενταγ. ιβ *S* τῷ ἑξῆς τρίγωνος ὁ γ τὸν ἑξῆς τὸν ιβ πεντάγ. *H* — 18. ἀκολούθως *H*

ὁ ι τὸν λε καὶ ἀεὶ οὕτως. κατὰ δὲ τὰ αὐτὰ κἂν 3
τοῖς πενταγώνοις οἱ τρίγωνοι προςτιθοῖντο τῇ αὐτῇ
τάξει, τοὺς εὐτάκτους γεννήσουσιν ἑξαγώνους καὶ
πάλιν ἐκείνοις οἱ αὐτοὶ προςπλεκόμενοι τοὺς ἐν
τάξει ἑπταγώνους ποιήσουσι καὶ μετ' ἐκείνους τοὺς
ὀκταγώνους καὶ τοῦτο ἐπ' ἄπειρον· πρὸς δὲ ὑπό- 4
μνησιν ἐκκείσθωσαν ἡμῖν πολυγώνων στίχοι παραλ-
λήλως γεγραμμένοι οἵδε, ὁ πρῶτος τριγώνων, ὁ
μετ' αὐτὸν τετραγώνων, μετὰ δὲ ἀμφοτέρους πεντα-
γώνων, εἶτα ἑξαγώνων, εἶτα ἑπταγώνων, εἶτα, εἰ
ἐθέλοι τις, καὶ τῶν ἑξῆς πολυγώνων·

μῆκος καὶ πλάτος

τρίγωνοι	α	γ	ϛ	ι	ιε	κα	κη	λϛ	με	νε	βάθος
τετράγωνοι	α	δ	ϑ	ιϛ	κε	λϛ	μϑ	ξδ	πα	ρ	
πεντάγωνοι	α	ε	ιβ	κβ	λε	να	ο	ϟβ	ριζ	ρμε	
ἑξάγωνοι	α	ϛ	ιε	κη	με	ξϛ	ϟα	ρκ	ρνγ	ρϟ	
ἑπτάγωνοι	α	ζ	ιη	λδ	νε	πα	ριβ	ρμη	ρπϑ	σλε	

p ἔξεστι δὲ καὶ τῶν ἐφεξῆς πολυγώνων τὴν ἔκθεσιν ἐν
51 παραλλήλοις οὕτω στίχοις ποιήσασθαι. καθολικῶς 5
γὰρ εὑρήσεις τοὺς μὲν τετραγώνους τῶν ὑπὲρ αὐ-
τοὺς σύστημα ὄντας ὁμοταγῶν τριγώνων καὶ ἔτι
τῶν ὑπερκειμένων ἐκείνοις ὁμογενῶν, οἷον

ον
1. τὰ αὐτὰ] ταῦτα *S* — 2. εἰ τρίγων προςτεθοῖντο *S* εἰ τρ·γ. προςτίθενται *H* — 3. 4. καὶ πάλιν μετ' *H* — 6. ὀκταγών. om. *H* — τοῦτο] οὕτως *H* — 7. ἐκκείσθω *S* — παράλληλοι *H* — 8. οἵδε om. *CH* — 8. 9. ὁ μετ' αὐτὸν] ὁ δεύτερος *H* — 9. ἀμφότερα *G* — 10. εἶτα ἑξῆς ἑξαγ. *H* — 11. θέλει *SH* — 13—17. schema om. *PH* — 18 ἔξεστι . . . πολυγ. om. *H* ἔξεστι γὰρ καὶ τὴν τούτων ἔκθεσιν *C* — ἐν om. *H* — 19. οὕτω om. *C* — στίχοις] ὥςπερ τῶν πρὸ αὐτῶν add. *SC* — ποιεῖσθαι *H* — 20. 21. αὐτοὺς] κειμένων add. *S* — 22. ὑπερκειμ.] ὑπὲρ ἐκείνους κειμένων *H*

τὸν δ τοῦ γ καὶ α,
τὸν ϑ τοῦ ϛ καὶ γ,
τὸν ιϛ τοῦ ι καὶ ϛ,
τὸν κε τοῦ ιε καὶ ι,
τὸν δὲ λϛ τοῦ κα καὶ ιε

καὶ μέχρις ἀεὶ οὕτως· τοὺς δὲ πενταγώνους τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν τετραγώνων σύστημα ὄντας καὶ προςέτι τῶν πρωτογενῶν τριγώνων, ὅσοι εἰσὶ μονάδι ἔλαττον ὁμοταγεῖς, οἷον

ὁ μὲν ε τοῦ δ καὶ α,
ὁ δὲ ιβ τοῦ ϑ καὶ γ,
ὁ δὲ κβ τοῦ ιϛ καὶ ϛ,
ὁ δὲ λε τοῦ κε καὶ ι

6 καὶ ἀεὶ οὕτως. πάλιν δὲ οἱ ἑξάγωνοι τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν πενταγώνων καὶ τῶν προεκτεθέντων τριγώνων ὁμοίως, οἷον

ὁ ϛ τοῦ ε καὶ α,
ὁ ιε τοῦ ιβ καὶ γ,
ὁ δὲ κη τοῦ κβ καὶ ϛ,
ὁ δὲ με τοῦ λε καὶ ι

7 καὶ μέχρις οὗ βούλει. τῶν δὲ ἑπταγώνων ὁ αὐτὸς τρόπος·

ὁ μὲν γὰρ ζ σύστημα τοῦ ϛ καὶ α,
ὁ δὲ ιη τοῦ ιε καὶ γ,
ὁ δὲ λδ τοῦ κη καὶ ϛ

καὶ οἱ ἑξῆς ἀκολούϑως, ἵνα ἕκαστος πολύγωνος σύστημα ᾖ τοῦ τε ὑπὲρ αὐτὸν ὁμοταγοῦς μονάδι ἐλάτ-

1. α] τοῦ α codd. — 3. ϛ] τοῦ ϛ codd. — 5. τὸν δὲ λϛ . . . ιε om. *H* — 6. μέχρις om. *H* — κἂν τοῖς πενταγώνοις εὕροις *S* — 8. πρωτογώνων *S* — 9. ἐλάττονες *SH* — 14. ἀεὶ οὕτως] μέχρις οὗ βούλει *P* — 15. πενταγώνων om. ὁ *SH* — προεκϑέντων *P* — 16. οἷον om. *SH* — 27. αὐτῷ *G*

τονος ὁμογωνίου καὶ τοῦ ἀνωτάτου τριγώνου τοῦ [μονάδι ἐλάττονος] ὁμοταγοῦς παρ᾽ ἓν κειμένου.
εἰκότως ἄρα στοιχεῖον πολυγώνων τὸ τρίγωνον καὶ 8
ἐν γραμμαῖς καὶ ἐν ἀριθμοῖς· καὶ γὰρ καὶ κατὰ βάθος καὶ κατὰ πλάτος ἐν τῷ διαγράμματι εὑρίσκονται οἱ συνεχεῖς αἰεὶ ἀριθμοὶ κατὰ τοὺς στίχους αὐτοὺς ἔχοντες διαφορὰς τοὺς εὐτάκτους τριγώνους.

ιγ. Ἐντεῦθεν ἤδη ῥᾴδιον συνιδεῖν, τίς τε ὁ XIII
στερεὸς ἀριθμὸς καὶ πῶς ἰσοπλεύρως ὁ τοιοῦτος προκόπτει· ὁ γὰρ πρὸς τοῖς δυσὶ διαστήμασι τοῖς ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ θεωρουμένοις ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος τρίτον διάστημα προςειληφώς, ὅ τινες μὲν βάθος, τινὲς δὲ πάχος καλοῦσιν, ἔνιοι δὲ ὕψος, ἐκεῖνος ἂν εἴη στερεὸς ἀριθμὸς ὁ τριχῇ διαστατὸς καὶ ἔχων ἐν ἑαυτῷ μῆκος, βάθος, πλάτος.

Πρώτιστα δὲ οὗτος φαντάζεται ἐν ταῖς λεγομέ- 2
ναις πυραμίσιν. αὗται δὲ γίνονται ἐκ πλατυτέρων βάσεων μειουριζόμεναι εἰς ὀξεῖαν κορυφήν, πρῶτον μὲν κατὰ τριγωνισμὸν ἀπὸ τριγώνου βάσεως, δεύτερον δὲ κατὰ τετραγωνισμὸν ἀπὸ τετραγώνου βάσεως, ἑξῆς δὲ τούτοις κατὰ πενταγωνισμὸν ἀπὸ

XIII. Io. Phil. rec. I, *με*, *μϛ*; rec. II, *λδ*, *λε*. — Iambl. p. 131—138. — Theon. 28—30. — Boëth. II. 12—14.

---

1. *ὁμογωνίου*] *-ώνου H πολυγώνου C* — *ἀνωτάτου* om. *C* — 2. [*μον. ἐλάττ.*] delenda censeo; librarii neglegentia repetita sunt. — *παρ᾽ ἓν κειμένου*] *τῷ πολυγώνῳ τριγώνου CH*, om *S* — 5. *καὶ κ. πλάτος*, quae Ast deleuit, tuetur Io. Phil. I, *μδ* (II, *λγ*) — 6. *καὶ κατὰ G*

XIII. *Περὶ στερεῶν Cμ* — 9. *ἰσόπλευρος P* — 14. *στερεὸς* om. *P*

XIII, 2. *Περὶ πυραμίδων Cμ* — 17. *πλατυτ.*] *ἐπι-*
ει
πέδων βάσ. add. *H* — 18. *μειουριζομένων GS μυουριζόμεναι C* — 20. *βάσεως* om. *H δεύτερος . . . βάσεως* om. *S* 21. *ἑξῆς . . . ἀπὸ* om. *P*

πενταγώνου βάσεως, εἶτα ἀνάλογον ἀπὸ ἑξαγώνου p
καὶ ἑπταγώνου καὶ ὀκταγώνου καὶ ἀεὶ ἐπ' ἄπειρον. 52

3 *καθάπερ ἀμέλει καὶ ἐν τοῖς γεωμετρικοῖς στερεοῖς σχήμασιν ἀπὸ τριγώνου ἰσοπλεύρου ἐάν τις εὐθείας ἐννοήσῃ τρεῖς ἀπὸ τῶν γωνιῶν τῷ μήκει ἴσας ταῖς τοῦ τριγώνου πλευραῖς καθ' ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ὑπὸ τεσσάρων περιεχομένη τριγώνων ἰσοπλεύρων τε καὶ ἴσων ἀλλήλοις, ἑνὸς μὲν τοῦ ἐξ ἀρχῆς τριγώνου, τριῶν δὲ τῶν περιγραφέντων ὑπὸ τῶν λεχθεισῶν*
4 *τριῶν εὐθειῶν. καὶ πάλιν ἀπὸ τετραγώνου ἐπιπέδου ἐάν τις τέσσαρας εὐθείας λογίσηται τῷ μήκει ἴσας ταῖς τοῦ τετραγώνου πλευραῖς ἑκάστην ἑκάστῃ πάλιν κατὰ τὸ ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ἀπὸ τετραγώνου βάσεως τετραγωνικῶς μειουριζομένη, περιεχομένη δὲ ὑπὸ τεσσάρων μὲν τριγώνων ἰσοπλεύρων,*
5 *ἑνὸς δὲ τετραγώνου τοῦ ἐξ ἀρχῆς. καὶ ἀπὸ πενταγώνου δὲ καὶ ἑξαγώνου καὶ ἑπταγώνου καὶ μέχρις οὗ βούλεταί τις προχωρεῖν, τῷ αὐτῷ τρόπῳ εὐθεῖαι ἰσάριθμοι ταῖς γωνίαις ἀπ' αὐτῶν τῶν γωνιῶν ἀνεγειρόμεναι καὶ εἰς ἓν καὶ τὸ αὐτὸ συννεύουσαι σημεῖον πυραμίδα ἀποκορυφοῦσιν ὀνομαζομένην ἀπὸ πενταγώνου βάσεως ἢ ἑξαγώνου ἢ ἑπταγώνου*

---

1. *πενταγώνου βάσεως* om. *P* — *πενταγ.*] *τριγώνου* *G* — 5. *ἐπινοήσῃ* *CSH* — *τῷ μήκει* om. *H* — 8. *ὑπὸ τ. περιεχ.* om. *H* — 10. *παραγραφέντων* *G* — 12. *λογήσηται* *GP* — 15. *ἂν ἀποτελ.* om. *S* — 16. *τετραγωνικῶς* om. *H* — *μηουριζ.* *G* *μυουριζ.* *C* — *G* adponit hasce figuras:



— 17. *ἰσοπλεύρων* om. *H* — 20. *βούλει* *C* — *προχωροῦσι* *H*

ἢ ἀνάλογον. οὕτω δὲ καὶ ἐν τοῖς ἀριθμοῖς ἀπὸ 6
μὲν μονάδος ὡς ἀπὸ σημείου πᾶς γραμμικὸς ηὐξήθη
ἀριθμός, οἷον

α, β γ, δ, ε

καὶ οἱ ἑξῆς ἐπ' ἄπειρον· ἀπ' αὐτῶν δὲ τούτων
γραμμικῶν ὄντων καὶ ἐφ' ἓν διαστατῶν πως συντε-
θέντων καὶ οὐχ ὡς ἔτυχεν οἱ πολύγωνοι καὶ ἐπί-
πεδοι ἀριθμοὶ πλάσσονται, τρίγωνοι μὲν παρὰ μη-
δένα συντεθέντων τῶν γνωμόνων, τετράγωνοι δὲ
παρὰ ἕνα, πεντάγωνοι δὲ παρὰ δύο καὶ ἀεὶ οὕτως.
τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτῶν τούτων τῶν ἐπιπέ- 7
δων πολυγώνων ἀριθμῶν ἐπισωρευομένων ἀλλήλοις
καὶ ὡςανεὶ ἐποικοδομουμένων αἱ ὁμογενεῖς ἑκάστῳ
πυραμίδες γεννῶνται, ἡ μὲν ἀπὸ τριγώνου βάσεως
ἀπ' αὐτῶν τῶν τριγώνων, ἡ δὲ ἀπὸ τετραγώνου
βάσεως ἀπ' αὐτῶν τῶν τετραγώνων, ἡ δὲ ἀπὸ πεν-
ταγώνου ἀπὸ τῶν πενταγώνων καὶ ἡ ἀπὸ ἑξαγώνου
ἀπὸ τῶν ἑξαγώνων καὶ τοῦτο δι' ὅλου. εἰσὶν οὖν 8
αἱ μὲν ἀπὸ τριγώνου βάσεως εὔτακτοι αὗται

α, δ, ι, κ, λε, νς, πδ

---

2. γραμμικῶς *GP* (-ός tuetur Io. Phil. I, μς (II, λε) — 3 οἷον om. *H* — 6. διαστατὸν *C* — 8—10. τρίγωνος ... τετράγωνος ... πεντάγωνος *H* — 11. τούτων om. *H* — 13. ὡς ἂν ἐπ. *S* — ἐπικοδομ. *G* ἐνοικοδ. *H* — 14. ἀπογενν. *H* — 15. αὐτῶν om. *S* — οἱ δὲ *G* — 16. βάσεως om. *H* — αὐτῶν om. *SH* — 16. 17. βάσεως ... πενταγώνου om. *G* — 17. καὶ ἡ ... ἑξαγώνου om. *H* — 18. *G* adscribit:

πρώτη πυραμίς.	δευτέρα πυραμίς.	[τρίτη πυραμίς. om. *G*]
α	α	α
α	α	α
αα	αα	αα
	ααα	ααα
	ααα	ααα
		ααααα
		ααααα

καὶ ἐφεξῆς, ὧν ἡ γένεσις αὐτοὶ οἱ τρίγωνοι ἀλλήλοις ἐπισωρευόμενοι, πρῶτος μὲν ὁ α, εἶτα ὁ αγ, P 53 εἶτα ὁ αγς, εἶτα πρὸς τούτοις ὁ ι καὶ ἐφεξῆς σὺν τοῖς πρόσθεν ὁ ιε καὶ ἐπὶ τούτοις ὁ κα καὶ ἑξῆς ὁ
9 κη καὶ ἐπ' ἄπειρον. δῆλον δέ, ὅτι καὶ ὁ μείζων τῶν ἀριθμῶν κατώτατος νοεῖται, αὐτὸς γὰρ βάσις εὑρίσκεται, ὁ δὲ εὐθὺς μετ' αὐτὸν ὑπὲρ αὐτὸν καὶ ὁ μετ' ἐκεῖνον ὑπὲρ τοῦτον, ἕως ἂν ἡ μονὰς ἐπὶ τῇ κορυφῇ φανῇ καὶ ὡςανεὶ εἰς σημεῖον ἀπομειουρίσῃ τὴν τελείωσιν τῆς πυραμίδος.

XIV ιδ. Αἱ δὲ ἑξῆς πυραμίδες εἰσὶν αἱ ἀπὸ τετραγώνου βάσεως ὁμοιοσχημόνως ἀνιστάμεναι ἐφ' ἓν καὶ τὸ αὐτὸ σημεῖον· αὗται δὲ τῷ αὐτῷ τρόπῳ πλάσσονται ταῖς προλεχθείσαις τριγωνικαῖς· τοὺς γὰρ ἀπὸ μονάδος εὐτάκτους τετραγώνους στοιχηδὸν ἐκθέμενος

α, δ, θ, ις, κε, λς, μθ, ξδ, πα, ρ

καὶ τοὺς ἑξῆς πάλιν σωρηδὸν ἐπιτίθημι ἀλλήλοις κατὰ βάθος αὐτούς, τὸν α ἐπάνω τοῦ δ, καὶ γίνεται πυραμὶς ἡ ε ἐνεργείᾳ πρώτη ἀπὸ τετραγώνου βάσεως, δυνάμει γὰρ πρώτη καὶ ἐνταῦθα ἡ μονάς.
2 πάλιν δ' αὐτὴν ταύτην, ὡς ἔχει, τὴν πυραμίδα τὴν ἐκ πέντε μονάδων ἐπιτίθημι ὅλην τῷ θ τετραγώνῳ

XIV. Io. Phil. rec. I, μζ, μη; rec. II, λε—λζ. — Iambl. p. 131—138. — Boëth. II. 14. 15.

---

2. ἐπισορ. G — 7. εὐθὺς ὑπ' αὐτὸν H — 8. ἐκεῖνον] καὶ add. G — ἕως [ὡς H] ἂν εἰς SH — 9. ἀπομυνουρίσῃ C; H in mrg: δύναται καὶ οὕτως ἀπογινώσκεσθαι· ἀπομυνουρίσῃ.

XIV. 12. ἱστάμεναι S — 15. εὐτάκτως H — στιχηδὸν PC — 19. γίνονται C — 20. τὰ ε C — βάσεως] πλευρὰν ἔχουσα πάντοθι [-θεν H] δυάδα add. CH — 21. διναμει G — πρώτη] α P — 21—(p. 103)2. δυνάμει ...

καὶ συνίσταταί μοι ἡ ιδ πυραμὶς ἀπὸ τετραγώνου
βάσεως πλευρὰν ἔχουσα πάντοθι τριάδα, τῆς προ-
τέρας δυάδα ἐχούσης τῆς ε, τῆς δὲ δυνάμει πρωτί-
στης μονάδα· δεῖ γὰρ καὶ ἐνθάδε τοσούτων ἑκά-
στην πλευρὰν ἡςτινοςοῦν πυραμίδος μονάδων εἶναι,
ὅσοιπέρ εἰσι τὸν ἀριθμὸν οἱ εἰς σύστασιν αὐτῆς
συσσωρευθέντες πολύγωνοι. πάλιν γὰρ τὴν ιδ πυ- 3
ραμίδα συνόλην βάσιν ἔχουσαν τὸν θ τετράγωνον
ἐπιτίθημι τῷ ις τετραγώνῳ καὶ ἀποτελεῖταί μοι ἡ λ
πυραμὶς τρίτη κατ᾽ ἐνέργειαν τῶν ἀπὸ τετραγώνου
βάσεως οὖσα· τῇ δ᾽ αὐτῇ τάξει καὶ ἀγωγῇ καὶ ἀπὸ
πενταγώνου βάσεως καὶ ἀπὸ ἑξαγώνου καὶ ἑπταγώ-
νου βάσεως καὶ ἐπὶ πλεῖον ἀεὶ προχωροῦντες πυ-
ραμίδας συστησόμεθα τοὺς ἀναλογοῦντας ἑκάστῃ
πολυγώνους ἐπισωρεύοντες ἀλλήλοις ἀπὸ μονάδος
ἀρχόμενοι ὡς ἀπὸ ἐλαχίστου καὶ προχωροῦντες
μέχρις ἀπείρου καθ᾽ ἑκάστην. καὶ ἐκ τούτου δῆλον 4
γίνεται, ὅτι στοιχειωδέστερα τὰ τρίγωνα· πᾶσαι γὰρ
ἁπλῶς αἱ δεικνύμεναι καὶ φαινόμεναι πυραμίδες
ἀπὸ τῶν καθ᾽ ἑκάστην πολυγώνων βάσεων τριγώ-
νοις μέχρι κορυφῆς περιέχονται.

βάσεως om. *H*, qui haec sola scribit: εἶτα β^{α} πυραμὶς ὁ ιδ. *G* adscribit:

α	α
αα	αα
αα	αα
	ααα
	ααα
	ααα

2. πάντοθεν *S* πανταχόθεν *H* — τριάδος *P* — 6. τῶν ἀριθμῶν *G* — αὐτοῦ *GP* — 7. συσωρ. *GP* ubique; σωρευθ. *S* — 8. ὅλην *H* — 9. ις] ἑξακαιδεκάτῳ *G* — μοι om. *C* — 13. βάσεως om. *CSH* — 14. ἑκάστους *P* — 17. τούτων δὲ δ. *H* — 18. στοιχιωδ. *G* — 19. ἁπλῶς om. *S* — ὑφαινόμεναι *GH*

p 54

5 Ἵνα δὲ μὴ ἀνήκοοι ὦμεν κολούρων καὶ δικολούρων καὶ τρικολούρων πυραμίδων, ὧν τοῖς ὀνόμασιν ἐντευξόμεθα ἐν συγγράμμασι μάλιστα τοῖς θεωρηματικοῖς, ἰστέον, ὅτι, ἐὰν πυραμὶς ἀφ' ἧςτινοςοῦν βάσεως, τουτέστιν ὁντιναοῦν πολύγωνον ἔχουσα βάσιν εἴτε τρίγωνον εἴτε τετράγωνον εἴτε πεντάγωνον εἴτε τῶν ἑξῆς τινα τῶν ὁμογενῶν πολυγώνων, κατὰ σωρείαν αὐξηθεῖσα μὴ ἐπὶ μονάδα μειουρισθῇ, κόλουρος ἁπλῶς λέγεται ἐστερημένη τῆς φυσικῆς καὶ πᾶσιν ἐπιβαλλούσης κορυφώσεως· οὐ γὰρ εἰς τὸν δυνάμει πολύγωνον τὴν μονάδα τελευτᾷ αὕτη ὡς εἰς ἕν τι σημεῖον, ἀλλ' εἰς ἕτερον ἐνεργείᾳ, καὶ οὐκέτι μονὰς κορυφή, ἀλλ' ἐπίπεδον αὐτῇ τὸ πέρας γίνεται ἰσογώνιον τῇ βάσει· ἐὰν δὲ πρὸς τῷ μὴ εἰς μονάδα τελευτᾶν ἔτι καὶ μὴ εἰς τὸν παρὰ τὴν μονάδα ἐνεργείᾳ πρῶτον τελευτήσῃ, δικόλουρος λέγεται ἡ τοιαύτη· ἐὰν δὲ καὶ ἔτι μὴ ἔχῃ τὸν ἐνεργείᾳ δεύτερον πολύγωνον ἐπὶ τῷ συμπεράσματι, ἀλλὰ μόνον τὸν ὑπ' αὐτόν, τρικόλουρος κεκλήσεται καὶ τετρακόλουρός γε, ἂν καὶ τὸν μετ' ἐκεῖνον μὴ ἔχῃ, καὶ πεντακόλουρος κατὰ τὸ ἑξῆς καὶ ἀεὶ μέχρι βούλει παρεκτείνειν τὸ ὄνομα.

XIV, 5. *Περὶ κολούρων* SH — 1. ἀνείκοοι G — 3. θεωρητικοῖς P θεολογικοῖς S (cf. Io. Phil. rec. I, μη: ἐπειδήπερ τοῖς τοιούτοις ὀνόμασιν, οἷα εἰκός, ἐντευξόμεθα ἐν βιβλίοις τισὶ *θεωρητικοῖς* — καὶ αὐτὸς γὰρ μεγίστην πραγματείαν θεολογικὴν τοιαύτην ἔγραψεν — εἴπωμεν κτλ. — rec. II, λζ: ὥςτε μὴ ἀνεννοήτους ἡμᾶς τούτων εἶναι παντάπασι, φησίν, ὡς ἐπειδήπερ τοῖς τοιούτοις ὀνόμασιν ἐντευξόμεθα ἐν βιβλίοις τισὶ *θεωρηματικοῖς*, τουτέστι θεωρήματα μαθηματικὰ περιέχουσι — καὶ αὐτὸς γὰρ ὁ Νικόμαχος μεγίστην πραγματείαν περὶ τούτων ἔγραψεν — εἴπωμεν κτλ.) — 4. ὁςτινοςοῦν G ἡντιναοῦν C — 6. εἴτε πεντ. om. S — 7. τὸν ἑξ. P — 8. μὴ] καὶ G — μυουρισθῇ C μειουρηθῇ S — 9. ἅπλος P — 10. ἐπιβαλούσης P — 15. καὶ εἰς, om. μὴ GS — 21. μέχρις οὗ PCH

ιε. *Καὶ ἡ μὲν τῶν ἰσοπλεύρων στερεῶν ἀριθ-* XV
μῶν πυραμοειδῶν γένεσις καὶ προκοπὴ καὶ ἐπαύξησις καὶ φύσις τοιαύτη σπέρμα καὶ ῥίζαν ἔχουσα τοὺς πολυγώνους αὐτοὺς καὶ τὴν ἐκείνων εὔτακτον ἐπισωρείαν, ἑτέρα δέ τις στερεῶν ἑτερογενῶν εὐταξία ἐστὶ τῶν λεγομένων κύβων, δοκίδων, πλινθίδων, σφηνίσκων, σφαιρικῶν, παραλληλεπιπέδων, τὴν τῆς προβάσεως τάξιν ἔχουσα τοιαύτην τινά.. οἱ προ- 2
φρασθέντες τετράγωνοι

α, δ, θ, ις, κε, λς, μθ, ξδ

καὶ οἱ ἑξῆς διχῇ ὄντες διαστατοὶ καὶ ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ μῆκος καὶ πλάτος μόνον ἔχοντες ἔτι καὶ τρίτον προςλήψονται διάστημα καὶ ἔσονται στερεοὶ καὶ τριχῇ διαστατοί, ἐὰν τῇ ἰδίᾳ πλευρᾷ ἕκαστος πολλαπλασιασθῇ, ὁ μὲν δ δὶς β ὢν πάλιν δὶς γενόμενος, ἵνα ὀγδοὰς ἀποτελεσθῇ, ὁ δὲ θ τρὶς γ ὢν πάλιν τριάδι ἐπ' ἄλλο διάστημα αὐξηθῇ καὶ γένηται ὁ κζ, ὁ δὲ ις τετράκις δ ὑπάρχων πάλιν τετράδι τῇ αὐτοῦ πλευρᾷ μεγεθυνθῇ καὶ γένηται ὁ ξδ, καὶ οἱ ἑξῆς παραπλησίως μέχρι παντός. τοσού- 3

XV. Io. Phil. rec. I, *μθ, ν*; rec. II, *λη*. — Iambl. p. 137. 138. — Boëth. II. 16.

XV. 2. *πυραμιδῶν* *P* *-μίδων* *H* — *γέννησις* *H* in mrg. — 2. 3. *ἐπαύξησις καὶ φύσις* *P* *ἐπαύξησις, φύσις* *G* *ἐπαυξήσεως φύσις* *CSH* *ἐπαύξησις φυσικὴ* Ast — 5. *Περὶ κύβων, δοκίδων, σφηνίσκων καὶ πλινθίδων* *H* — *ἑτέρων* *C* — *ἑτερογενῶν* om. *P* — 7. *σφηνίκων* *C* — 10. *ξδ* om. *PCH* — 11. *ὄντες*] *ἐπὶ μῆκος ἢ πλάτος* add. *S* — 14. *πλευρᾷ*] *πάλιν* add. *H* — 15. *πολυπλ.* *H* *διπλασιασθῇ* *S* — *δὶς*] *ἕκαστος* *S* — 16. *γενόμενοι* *C* — *ἀποτελεσθείη* *H* — 16—18. *ὁ δὲ θ ... κζ* om. *C* — 19. *τῇ αὐτῇ* *CSH* — 18. 19. *ὁ κζ . . . γένηται* om. *P* — 19. *ὁ* om. *G* — 20. *παντὸς*] *κύβοι οὗτοι πάντες καλοῦνται* add. *C*

των δὲ καὶ ἐνθάδε μονάδων αἱ πλευραὶ ἔσονται,
ὅσωνπερ ἦσαν καὶ αἱ τῶν τετραγώνων, ἀφ' ὧν ἐγέ-
νοντο, ἕκαστος ἀφ' ἑκάστου, αἱ μὲν τοῦ η δυάδων,
ὅσων καὶ αἱ τοῦ δ, αἱ δὲ τοῦ κζ τριάδων, ὅσων καὶ
αἱ τοῦ θ, αἱ δὲ τοῦ ξδ τετράδων, ὅσων καὶ αἱ τοῦ
ις, καὶ τοῦτο ἐφεξῆς, ὥςτε καὶ ἡ τῆς δυνάμει κύβου
μονάδος πλευρὰ μονὰς ἔσται πανταχόθι, ὅσηπερ καὶ
4 ἡ τῆς δυνάμει τετραγώνου μονάδος. καθόλου δὲ
ἕκαστος τετράγωνος ἓν μὲν ἐπίπεδόν ἐστι, γωνίας
δὲ ἔχει τέσσαρας καὶ πλευρὰς τέσσαρας, ἕκαστος δὲ
κύβος ηὐξημένος ὢν ἐξ ἑκάστου τετραγώνου τῇ ἰδίᾳ
πλευρᾷ πολυπλασιασθέντος ἐπίπεδα μὲν ἕξει πάν-
τως ἕξ, ὧν ἕκαστον ἶσον τῷ προγόνῳ αὐτοῦ τετρα-
γώνῳ, πλευρὰς δὲ δώδεκα, ὧν ἑκάστη ἴση καὶ μο-
νάδων γε τῶν αὐτῶν τῇ τοῦ προγόνου τετραγώνου
πλευρᾷ, γωνίας δὲ ὀκτὼ στερεάς, ὧν ἑκάστη περιέχε-
ται ὑπὸ τριῶν πλευρῶν, οἷα ἐστὶν ἑκάστη τῶν ἐν
τῷ προγόνῳ τετραγώνῳ.

XVI ις. Ἐπειδὴ οὖν πάντῃ ἰσόπλευρον ἐπὶ μῆκος καὶ

XVI. Io. Phil. rec. I, να, νβ; rec. II. λθ. — Theon. 29. — Boëth. II. 16.

---

1. μονάδι P — 3. ἕκαστος] ἑκάστ(οη) G -ον P — 5. αἱ πλευραὶ τοῦ θ H — 6. ὥςτε] ὅθεν H — 7. πανταχόθεν P — ὅσηςπερ GSH ὅση P ὅσηπερ C — 12. πολλαπλ. S — ἔχει H — 13. ἕξ] ἐξ P — 14—16. μονάδων γε τοσαύτων, ὅση τοῦ προγ. τετραγ. πλευρά P, μον. γε τοσαύτων, ὅσων [καὶ C] ἡ τοῦ προγ. τετρ. πλευρά CH — 17. πλευρῶν] τοιούτων [scil. γωνιῶν] Ast. sed intellegendum γραμμικῶν, non ἐπιπέδων; Io. Phil. uocem πλευρῶν hoc loco ignorauit cf. rec. I, ν: ὑπὸ γ δὲ τινων· γραμμῶν δηλονότι· τίνων γὰρ ἄλλων; αἱ μὲν γὰρ ἐν τῷ ἐπιπέδῳ γωνίαι ἑκάστη ὑπὸ β γραμμῶν περιέχεται, βαθυνομένου δὲ τοῦ ἐπιπέδου πρὸς ταῖς β τῆς γωνίας γραμμαῖς καὶ γη αὐταῖς προςτίθεται ἡ τοῦ βάθους. — rec. II, λη: . . . . . γίνεται στερεὰ γωνία περιεχομένη ὑπὸ γ εὐθειῶν. — ἐν om. P

βάθος καὶ πλάτος σχῆμα στερεὸν ὑπάρχει ὁ κύβος καὶ ἐπὶ τὰς λεγομένας ἓξ περιστάσεις ἰσοδιάστατον, ἀκόλουθον ἄρα ἐστίν, ἀντικεῖσθαι αὐτῷ τὸ μηδαμῇ ἴσας ἔχον τὰς διαστάσεις ἀλλήλαις, ἀλλ' ἄνισον τὴν τοῦ βάθους τῇ τοῦ πλάτους καὶ ἑκατέρᾳ τούτων τὴν τοῦ μήκους, οἷον δὶς τρὶς τετράκις ἢ δὶς τετράκις ὀκτάκις ἢ τρὶς πεντάκις δωδεκάκις ἢ κατά τινα ἄλλην ἀνισότητα τοιαύτην. τὰ δὲ τοιαῦτα στερεὰ σχήματα 2
λέγεται σκαληνὰ ἁπλῶς, ὧν πάντῃ τὰ διαστήματα ἄνισα ἀλλήλοις ἐστί· τινὲς δὲ αὐτὰ πωλυωνύμως σφηνίσκους καλοῦσι, καὶ γὰρ καὶ οἱ σφῆνες ἀνισόπλευροι πανταχῇ τεκτονικοί τε καὶ οἰκοδομικοὶ καὶ χαλκευτικοὶ καὶ οἱ τῶν ἄλλων τεχνῶν πλάσσονται ἀπὸ ὀξυτέρου ἄκρου διαδύνειν ἀρχόμενοι καὶ αἰεὶ μᾶλλον πλατυνόμενοι ἀνομοίως κατὰ πάντα τὰ διαστήματα· τινὲς δὲ τοὺς αὐτοὺς σφηκίσκους καλοῦσι, τοιοῦτος γὰρ καὶ ὁ τῶν σφηκῶν μάλιστα ὄγκος ἀποσφιγγόμενος κατὰ μέσον καὶ τὴν λεχθεῖσαν ὁμοιότητα ἐμφαίνων· παρὰ τοῦτο εἰκὸς καὶ τὸ σφήκωμα ὠνομάσθαι, ἔνθα γὰρ ἂν ἀποσφίγξῃ, τὴν τοῦ σφηκὸς ἐντομὴν μιμεῖται· ἕτεροι δὲ τοὺς αὐτοὺς βωμίσκους προςαγορεύουσιν ἀπὸ οἰκείας εἰκόνος, οἱ γὰρ παλαιότροποι βωμοί, μάλιστα δὲ ἰωνικοί, οὔτε τὸ πλάτος τῷ βάθει οὔτε συναμφότερα τῷ μήκει ἴσα ἔχουσιν οὔτε τὴν βάσιν τῇ κορυφῇ, ἀλλὰ πάντῃ εἰσὶν ἐξηλλαγμέ-

XVI. 3. ἄρα om. *S* — μηδαμῶς *PSH* — 4. ἔχων *P* — ἄνισον] ἔχον add. *H* — 5. 6. ἑκατέραν . . . τῇ *S* — 6. 7. οἷον δὶς ε, τετράκις ε, ἢ δὶς δ, τετράκις δ, ὀκτάκις δ, ἢ τρὶς γ, πεντάκις γ, δωδεκάκις γ ἢ κατά . . *P* δὶς τρία τετράκις ἢ δὶς δ ὀκτάκις ἢ τρὶς ε δωδεκάκις *C* — 10. σφῆναις *G* — 16. σφηνίσκους καὶ σφηκ. *H* — 17. μάλιστα om. *S* — ἀποσφηγγόμ. *G* ἀποσφιγγόμενοι *P* — 18. ἀνομοιότητα *H* — 22. παλαιότεροι *H* — 25. ἐξηλαγμ. *P*

3 νοι ταῖς διαστάσεσιν. ὡς οὖν ἀκροτήτων δύο κύβου τε καὶ σκαληνοῦ, τοῦ μὲν κατ' ἰσότητα διεστῶτος, τοῦ δὲ κατ' ἀνισότητα πάντη, μέσοι εἰσὶ στερεοὶ ἀριθμοὶ οἱ λεγόμενοι παραλληλεπίπεδοι, ὧν καὶ τὰ ἐπίπεδα ἑτερομήκεις ὑπάρχουσιν ἀριθμοί, ὥςπερ καὶ τῶν κύβων αὐτῶν τετράγωνοι ἀριθμοὶ ἦσαν τὰ ἐπίπεδα, ὡς ἐδείχθη.

XVII ιζ. Πάλιν οὖν ἄνωθεν ἑτερομήκης ἀριθμὸς λέγεται, οὗ ἐπιπέδως σχηματογραφηθέντος τετράπλευρος μὲν καὶ τετραγώνιος γίνεται ἡ καταγραφή, οὐ μὴν ἴσαι ἀλλήλαις αἱ πλευραὶ· οὐδὲ τὸ μῆκος τῷ πλάτει ἴσον, ἀλλὰ παρὰ μονάδα, οἷον

ὁ β, ὁ ς, ὁ ιβ, ὁ κ, ὁ λ, ὁ μβ

καὶ οἱ ἑξῆς· ἂν γὰρ αὐτοὺς ἐπιπέδως διαγράφῃ τις, πάντως οὕτω ποιήσει·

ἅπαξ β β, δὶς γ ς, τρὶς δ ιβ

καὶ τοὺς ἑξῆς ἀναλόγως·

τετράκις ε, πεντάκις ς, ἑξάκις ζ, ἑπτάκις η

καὶ ἐπ' ἄπειρον, μόνον ἵνα μονάδι μείζων ἡ ἑτέρα πλευρὰ τῆς λοιπῆς ᾖ, ἄλλῳ δὲ μηδενὶ ἀριθμῷ· ἐὰν δὲ ἄλλως παρὰ τὴν μονάδα διαφέρωσιν ἀλλήλων αἱ πλευραί, οἷον δυάδι, τριάδι, τετράδι ἢ ἐφεξῆς, ὡς τὰ

δὶς δ ἢ τρὶς ς ἢ τετράκις η

XVII. Io. Phil. rec. I, νγ—νζ; rec. II, μ—μβ. — Iambl. p. 102 seq. — Theon. 24. 29. — Boëth. II. 17—20.

3. πάντη om. *S*

XVII. Περὶ ἑτερομήκους *GP* — 8. ἑτερομήκις *G* — 10. τετράγωνος *C* — 14. διαγράφει *P* — 15. οὕτω om. *S* — 16. β . . ς . . ιβ om. *H* — 17. ἀνάλογον *H* — 18. ε, πεντ. om. *P* — 20. οὐδενὶ *SH* — 21. ἄλλως] ἄλλῳ *H* — 22. δυάδι ἢ τρ. ἢ τετρ. *SH* — 24. τρὶς η *GPH* cf. XVIII, 2.

ἢ ὅπως ποτὲ οὖν ἑτέρως, οὐκέτι κυρίως ὁ τοιοῦτος ἑτερομήκης κληθήσεται, ἀλλὰ προμήκης· ἕτερον γὰρ καὶ ἑτερότητα οἱ παλαιοὶ οἱ περί τε Πυθαγόραν καὶ τοὺς ἐκείνου διαδόχους πυθμενικῶς ἐν τῇ δυάδι ἐθεώρουν, ταυτὸν δὲ καὶ ταυτότητα ἐν τῇ μονάδι, ὡς ἐν δυσὶν ἀρχαῖς τῶν ὅλων· εὑρίσκονται δὲ αὗται μονάδι μόνον ἀλλήλων διαφέρουσαι, ὥστε καὶ τὸ ἕτερον σπερματικῶς μονάδι ἕτερόν ἐστι καὶ οὐκ ἄλλῳ ἀριθμῷ· διόπερ καὶ συνήθως ἐπὶ δυοῖν, ἀλλ' οὐκ ἐπὶ πλειόνων τὸ ἕτερον λέγεται παρὰ τοῖς ὀρθῶς διαλεγομένοις. ἀλλὰ μὴν καὶ μονάδι μὲν εἰδοποιεῖσθαι ἀπεδείχθη ὁ περισσὸς πᾶς ἀριθμός, δυάδι δὲ ὁ ἄρτιος πᾶς· ὅθεν εἰκότως τὸν μὲν περισσὸν τῆς ταυτοῦ φύσεως ἐροῦμεν μετέχειν, τὸν δὲ ἄρτιον τῆς θατέρου, καὶ γὰρ δὴ καὶ κατὰ σωρείαν ἑκατέρου ἀποτελοῦνται φύσει, ἀλλ' οὐχ ἡμῶν θεμένων, τῇ μὲν τοῦ ἀπὸ μονάδος περισσοῦ ἐπ' ἄπειρον ἡ τετραγώνων φύσις, τῇ δὲ τοῦ ἀπὸ δυάδος ἀρτίου ἐπ' ἄπειρον ἡ τῶν ἑτερομηκῶν. πᾶσα ἄρα ἀνάγκη, τὸν μὲν τετρά- 3
γωνον οἴεσθαι πάλιν τῆς ταυτοῦ φύσεως μετέχειν· τὸν γὰρ αὐτὸν λόγον καὶ ὅμοιον καὶ ἀπαράλλακτον καὶ ἐν ἰσότητι κείμενον αἱ πλευραὶ αὐτοῦ ἀποδεικνύουσι πρὸς ἑαυτάς, τὸν δὲ ἑτερομήκη τῆς θατέρου· ὃν γὰρ μονὰς πρὸς δυάδα τρόπον παρήλλακται μονάδι μόνῃ διαφέρουσα, τοῦτον καὶ παντὸς ἑτερομήκους αἱ πλευραὶ πρὸς ἀλλήλας διαλλάσσου-

---

ις
2. ἑτερομήκες G — προμήκις G — 5. 6. ὡς ... μονάδι om. P — 6. δυσὶν] δισσαὶς CS — 9. ἐπὶ δυ.] ἐστὶ δυ. H — 12. ὁ περισσὸς om. H — ὁ ante ἄρτιος om. GH — 13. τῆς τοῦ ταυτοῦ S — 17. τετραγώνου P — 20. αὐτοῦ P — μετέχειν] εἶναι SH — 25. μόνον S — τοῦτο P τούτῳ S — παντὸς] παντὶ G τοῦ S

σιν, ἡ ἑτέρα τῆς ἑτέρας μονάδι μόνον διαφέρουσα· οἷον ἐκκειμένου μοι τοῦ ἀπὸ μονάδος συνεχοῦς ἑξῆς ἀριθμοῦ ἐκλεξάμενος ἰδίᾳ μὲν τοὺς περισσοὺς τάσσω ἐν ἑνὶ στίχῳ, ἰδίᾳ δὲ τοὺς ἀρτίους ἐν ἑτέρῳ. καὶ γίνονταί μοι δύο στίχοι τοιοῦτοι·

α, γ, ε, ζ, ϑ, ια, ιγ, ιε, ιζ, ιϑ, κα, κγ, κε, κζ·
β, δ, ϛ, η, ι, ιβ, ιδ, ιϛ, ιη, κ, κβ, κδ, κϛ, κη.

4 ἀρχὴ μὲν οὖν τοῦ τῶν περισσῶν στίχου ἡ μονὰς ὁμογενής τε οὖσα καὶ τὴν τοῦ ταυτοῦ φύσιν ἔχουσα· διὸ οὔτε ἐάν τε ἑαυτὴν πολυπλασιάσῃ ἐπιπέδως ἢ στερεῶς, ἑτεροιοῦται οὔτε ἄλλον ὁντιναοῦν ἐξίστησι τοῦ ἐξ ἀρχῆς, ἀλλὰ τηρεῖ αὐτὸν ἐν ταυτῷ· τὸ δὲ
5 τοιοῦτον περὶ ἄλλον ἀριθμὸν εὑρεῖν ἀδύνατον. τοῦ δ' ἄλλου στίχου ἄρχει ἡ δυὰς ὁμογενὴς αὐτῷ οὖσα καὶ ἑτερότητος καταρκτική· εἴτε γὰρ ἑαυτὴν εἴτε ἄλλον πολυπλασιάσειεν, ἔκστασιν ποιεῖ, οἷον

δὶς β, δὶς γ.

6 Ὅταν δὲ ἢ

ὀκτάκις η δὶς ἢ τρίς,

τὰ τοιαῦτα στερεὰ σχήματα πλινθίδες λέγονται ἰσάκις ἴσοι ἐλαττονάκις· ἐὰν δὲ καὶ μείζονα τὰ ὕψη τῷ τετραγώνῳ προσγένηται, δοκίδες οἱ τοιοῦτοι ἀριθμοὶ λέγονται, οἷον

τρὶς γ ἑπτάκις ἢ ὀκτάκις ἢ ἐνάκις

---

2. μοι om. *P*, ἡμῖν *SH* — συνεχῶς *H*, om. *C* — 4. τάσσων *S* — 5. δύο om. *S* — τοιοῦτοι *CSH* — 8. ἄρχει *P* — 9. τὴν τοῦ αὐτοῦ *P* τὴν ταυτοῦ *S* — 10. διόπερ *H* — ἐάν τε om. *CH* — αὐτὴν *H* — πολυπλασιάσασα *CH* — 11. ἑτεριοῦται *P* — 12. τοῦ ἐξ ἀρχ.] τῆς ἀρχ. *H* — 14. ἄλλον] ἑτέρου *S* — ἀρχὴ *S* — 15. ἑαυτὸν *GP* — 16. ἄλλην *H* — 18. ἢ om. *SH* — 21. 22. τῶν τετραγώνων *SH* — 22. γένηται *S* προσγίν. *H* — 24—(p. 111) 1. ἑπτάκις ... μόνον] τετράκις ἢ πεντάκις ἢ ἑξάκις η ἑπτάκις ἢ ὁσακιςοῦν μόριον ὑπερβ. *S* — 24. ἐννάκις *P* ἐννεάκις *CH*

ἢ ὁσακισοῦν μόνον ὑπερβαλλόντως· ἔστι δὲ δοκὶς ἀριθμὸς ἰσάκις ἴσος μειζονάκις· οἱ δέ γε σφηνίσκοι ἦσαν ἀνισάκις ἄνισοι ἀνισάκις καὶ οἱ κύβοι ἰσάκις ἶσοι ἰσάκις. αὐτῶν δὲ τῶν κύβων ὅσοι πρὸς 7
τῷ ἰσάκις ἶσοι ἰσάκις εἶναι ἔτι ἔχουσι καὶ τὸ αἰεὶ καταλήγειν κατὰ πᾶσαν πολυπλασίασιν εἰς τὸ αὐτό, ἀφ' οὗπερ ἤρξαντο, σφαιρικοὶ καλοῦνται, οἱ δ'
3 αὐτοὶ καὶ ἀποκαταστατικοί, ὥςπερ ἀμέλει ὁ ἀπὸ τῆς ε πλευρᾶς καὶ ὁ ἀπὸ τῆς ϛ· ὅσαις γὰρ ἂν αὐξήσεσιν αὐξήσω τούτων ἑκάτερον, εἰς τὸ αὐτὸ συμπέρασμα ἀεὶ τελευτήσει πάντως, ὁ μὲν ἀπὸ τοὺ ϛ εἰς αὐτὸ τὸ ϛ, ὁ δὲ ἀπὸ τοῦ ε εἰς αὐτὸ τὸ ε· οἷον πεντάκις ε εἰς τὸ ε τελευτήσει καὶ τοῦτο πεντάκις καὶ εἰ δέοι πάλιν πεντάκις τοῦτο καὶ μέχρις ἀπείρου ἑτέρα τις τελευτὴ οὐχ εὑρεθήσεται, πλὴν εἰ μὴ ἡ ε, καὶ ἀπὸ τοῦ ϛ τὸν αὐτὸν τρόπον ἡ ϛ καὶ ἄλλη οὐδεμία· ὥςτε καὶ ἡ μονὰς δυνάμει σφαιρική ἐστι καὶ ἀποκαταστατική, τὸ γὰρ αὐτὸ πάσχει τοῦτο, ὡς εἰκός, πάθος τὸ περὶ τὰς σφαίρας καὶ τοὺς κύκλους· ἐκείνων γὰρ ἑκάτερον, ὅθεν ἄρχεται, ἐκεῖ καὶ τελευτᾷ περικυκλούμενον καὶ περιστρεφόμενον. ὡς καὶ οἱ λεχθέντες οὗτοι ἀριθμοὶ μονώτατοι τῶν ἄλλων τῶν ἰσάκις ἴσων καταστρέφουσιν εἰς τὴν αὐτὴν ἀρχήν,

---

2. *ἴσον P* — 5. *τῷ*] *τὸ G* — *ἔτι*] *εἰ* add. *H* — 6. *πολυπλάσιον P* — 9. *ὅσαι P* — *ἂν* om. *H* — 12. 13. *πεντ. ε*] *κε* add. *S* — 13. 14. *καὶ τοῦτο . . . τοῦτο*] *καὶ τοῦτο πάλιν πεντάκις εἰς τὸ αὐτὸ τελευτήσει καὶ πάλιν τοῦτο πεντάκις καὶ εἰ δέοι πάλιν πεντάκις τοῦτο καὶ μέχρ. C καὶ πάλ. τοῦτον πεντάκ. καὶ εἰς τὸν αὐτὸν τελευτήσει πάλιν ρκε καὶ μέχρ. S καὶ τοῦ πεντ. πάλ. ρκε εἰς τὸ αὐτὸ τελ. καὶ πάλ. τοῦ πεντάκις καὶ μέχρ. H* — 14. *τοῦτο* scripsi pro *ε* (*GP*) — 15. *εἰ μὴ* om. *S* *ὁ ε CH* — 16. *ὁ ϛ C* — 19. *τὸ παρὰ P τῷ περὶ C* — 23. *ἴσων καὶ εἰς*, om. *καταστρέφουσιν P* — *εἰς . . . ἀρχὴν*] *εἰς τοὺς αὐτοὺς S*

ὅθεν ἤρξαντο, κατὰ πάσας τὰς αὐξήσεις· ἀλλ' ἂν μὲν ἐπιπέδως δυσὶ διαστήμασι προκόψωσι, κυκλικοὶ λέγονται, ὡς ὁ

α, κε, λϛ

ἐκ τοῦ ἅπαξ α καὶ τοῦ πεντάκις ε καὶ τοῦ ἑξάκις ϛ· ἐὰν δὲ τρία διαστήματα ἔχωσιν ἢ ἐπὶ πλέον τούτων πολλαπλασιασθῶσι, σφαιρικοὶ στερεοὶ λέγονται, ὡς ὁ

α, ρκε, σιϛ

ἢ ἄλλως

α, χκε, ασϟϛ.

XVIII ιη. Καὶ περὶ μὲν στερεῶν ἀριθμῶν ἱκανὰ ἐν τῷ παρόντι καὶ ταῦτα· ἐπεὶ δὲ ἀρχὰς τῶν ὅλων οἵ τε φυσικοὶ καὶ οἱ ἐκ τῶν μαθημάτων ὁρμώμενοι τὸ ταυτὸν καὶ τὸ ἕτερον λέγουσιν, ἀπεδείχθη δὲ τὸ ταυτὸν μὲν ὑπάρχουσα ἡ μονὰς καὶ οἱ κατὰ εἰδοποίησιν αὐτῆς περισσοί, πολὺ δὲ μᾶλλον οἱ ἐκ τούτων συσσωρευομένων συνιστάμενοι τετράγωνοι ὡς ἂν δὴ ἰσότητος ἐν ταῖς πλευραῖς μετέχοντες, ἕτερον δὲ δυάς τε καὶ ὁ ὑπὸ ταύτης εἰδοποιούμενος πᾶς ἄρτιος, μάλιστα δὲ οἱ ὑπὸ τούτων συσσωρευομένων συνιστάμενοι ἑτερομήκεις διὰ τὸ πρώτης ἀνισότητος

XVIII. Io. Phil. rec. I, νη; rec. II, μγ, μδ. — Iambl. p. 102 seq. — Theon. 12—14. 17. 21. — Boëth. II, 21. 22.

2. κύκλοι *S* — 6. τοῦτον *P* — 7. πολυπλ. *SH* — σφαιρικοὶ] τότε praemittit *S* — 10. ἄλλως] πάλιν *S*

XVIII. 13. ὅλων] ὄντων *C* — 16. ει (οἱ) *G* — 17. αὐτῆς] ἀριθμοὶ add. *H* — 18. συνιστάμενοι om. *S* — 19. ἰσότητα *G* — 20. εἰδοποιούμενοι ἄρτιοι *S* — 21. τούτων] ·ω *P* ·ου *H* — σωρευομένων *S* ·ου *H* — 22. διὰ τὸ καὶ τῆς πρώτης ἀνισ. *S* διὰ τὸ πρώτως τῆς ἀνισ. *C*

καὶ ἑτερότητος ἐν τῇ τῶν πλευρῶν διαφορᾷ μετέχειν, ἔτι τοῦτο ἀποδεικτέον ἀναγκαιότατα, πῶς ἐν ἀμφοτέροις τούτοις ὡς ἐν ἀρχαῖς καὶ σπέρμασι δυνάμει πάντα τὰ τοῦ ἀριθμοῦ ἰδιώματα προυπόκειται εἰδῶν τε αὐτοῦ καὶ ὑποδιαιρέσεων σχέσεών τε πασῶν καὶ πολυγώνων καὶ τῶν παραπλησίων. πρότερον δὲ 2 διασταλτέον ἡμῖν, ᾗ διαφέρει προμήκης ἀριθμὸς ἑτερομήκους· ἑτερομήκης μὲν γάρ ἐστιν, ὡς προελέχθη, ὁ γινόμενος ὑπὸ ἀριθμοῦ τὸν μονάδι ἑαυτοῦ μείζονα πολυπλασιάσαντος, οἷον

ὁ ϛ ὑπὸ τοῦ δὶς γ,

ὁ ιβ ὑπὸ τοῦ τρὶς δ,

προμήκης δέ ἐστιν ὁ ὑπὸ δύο μὲν ἀριθμῶν διαφερόντων ὁμοίως καὶ αὐτὸς γινόμενος, οὐ μὴν μονάδι γε, ἀλλὰ μείζονί τινι ἀριθμῷ, οἷον

δὶς δ, τρὶς ϛ, τετράκις η,

καὶ οἱ παραπλήσιοι τῷ μήκει προπεπτωκότες τρόπον τινὰ καὶ ὑπερβεβηκότες τὴν τῆς μονάδος διαφοράν. οὐκοῦν ὅτι μὲν οἱ τετράγωνοι ὑπό τινων ἀριθμῶν 3 ἰδίῳ μήκει μηκυνθέντων γίνονται, ταυτὸν ἔχοντες τὸ μῆκος τῷ πλάτει, ἰδιομήκεις ἂν κυρίως καὶ ταυτομήκεις λέγοιντο, οἷον

δὶς β, τρὶς γ, τετράκις δ

καὶ οἱ ἐφεξῆς· εἰ δὲ τοῦτο, ἐπιδεκτικοὶ πάντως ταυτότητος καὶ ἰσότητος, διόπερ ὡρισμένοι τε καὶ περαίνοντες· τὸ γὰρ ἶσον καὶ τὸ ταυτὸν ἑνὶ τρόπῳ

---

1. πλευρῶν] παλαιῶν S — 2. ἀναγκαιότ. om. S — 7. ἡμῖν om. SH — ᾗ] τίνι S — 8. ἑτερομήκεις μὲν G — 9. τοῦ μον. H — 10. πολλαπλ. H — 13. ἐστιν om. SH — 19. ἀριθμῶν om. S — 20. γίνεται C — τὸ αὐτὸ H — 21. πλάτος τῷ μήκει SH — ἰδιωμήκ. G — 22. οἷον om. H — 24. ἐπιδεικτικοὶ SH — 26. τὸ αὐτὸ H

καὶ ὡρισμένῳ τοιοῦτον· ὅτι δὲ καὶ οἱ ἑτερομήκεις
ἀριθμοὶ οὐκ ἰδίῳ μήκει, ἀλλ' ἑτέρου μηκυνθέντος
ἀποτελοῦνται, ἑτερομήκεις τε διὰ τοῦτο καὶ ἑτερό-
4 τητος ἐπιδεκτικοὶ ἀπειρίας τε καὶ ἀοριστίας. τῇ δὲ
ἄρα διχοστατεῖ καὶ διανενέμηται καὶ ἐναντία ἀλλή-
λοις φαίνεται τά τε τοῦ ἀριθμοῦ πάντα καὶ τὰ ἐν
κόσμῳ πρὸς ταῦτα ἀποτελεσθέντα καὶ καλῶς οἱ
παλαιοὶ φυσιολογεῖν ἀρχόμενοι τὴν πρώτην διαί-
ρεσιν τῆς κοσμοποιίας ταύτῃ ποιοῦνται· Πλά-
των μὲν τῆς ταυτοῦ φύσεως καὶ τῆς θατέρου
ὀνομάζων καὶ πάλιν τῆς ἀμερίστου καὶ ἀεὶ
κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας τῆς τε αὖ μερι-
στῆς γινομένης, Φιλόλαος δὲ ἀναγκαῖον τὰ ἐόντα
πάντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαί-
νοντα ἅμα καὶ ἄπειρα, ὅπερ μᾶλλον συγκατατίθε-
ται εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνε-
στάναι τὸν κόσμον, κατ' εἰκόνα δηλονότι τοῦ
ἀριθμοῦ· καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ
δυάδος σύγκειται ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσό-
τητός τε καὶ ἀνισότητος ἐμφαντικὰ ταυτότητός τε
καὶ ἑτερότητος περαίνοντός τε καὶ ἀπείρου ὡρι-
σμένου τε καὶ ἀορίστου.

XIX ιθ. Ἵνα δὲ καὶ ἐναργῶς πεισθῶμεν περὶ τῶν λεγομένων, ὅτι ἄρα ἐκ μαχομένων καὶ ἐναντίων

XIX. Io. Phil. rec. I, νθ—ξδ; rec. II, με. μς. — Iambl. p. 102 seq. — Boëth. II. 22. 23.

1. ὅτι δὲ καὶ] ἔτι δὲ *CH* — 2. ἑτέρῳ *S* — 3. τῇ δὲ] ἡ δὲ *P* οὕτως *H* — 9. κοσμωποιίας *G* — ταύτην Ast. — Πλάτων] cf. Tim. VIII (p. 35 A) — 13. Φιλόλαος] cf. Stob. Eclog. phys. I. p. 454 Heer. — ἀνάγκη *H* — ἐόντα om. *G* ὄντα *S* — 14. πάντα om. *P*, *omnia quae sunt* Boëth. II, 22 — εἶμεν] εἶναι *P* ἦμεν *C* m. 2. εἰ μὲν *H* ἔμμεναι *Γ* — 18. οὕτως *G* — ἅπας *S* — 20. ἐμφαν///τικά *G* ἐκφαντικά *H*
XIX. 21. μαχομένου καὶ ἐναντίου *S*

συνέστη τὰ ὄντα καὶ εἰκότως ἁρμονίαν ὑπεδέξατο (ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίνεται· ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων συμφρόνησις), ἐκθώμεθα ἐν δυσὶ παραλλήλοις ἐπὶ μῆκος στίχοις μηκέτι ἰδίᾳ ἀρτίους ἀπὸ δυάδος καὶ περισσοὺς ἀπὸ μονάδος, ὡς πρὸ μικροῦ, ἀλλὰ τοὺς ἐξ αὐτῶν τούτων συσσωρευθέντων αὐτοῖς ἀποτελεσθέντας, τετραγώνους μὲν ἀπὸ περισσῶν, ἑτερομήκεις δὲ ἀπὸ ἀρτίων· ἐνατενίζοντες γὰρ τῇ ἐκθέσει αὐτῶν θαυμάσομεν τὴν φιλαλληλίαν καὶ τὸ συλληπτικὸν ἀλλήλοις εἰς τὸ ἀπογεννᾶν τὰ λοιπὰ καὶ ἐκτελεῖν, ἵνα εἰκότως ἐπινοῶμεν καὶ ἐν τῇ τῶν ὅλων φύσει ἐντεῦθέν ποθεν τὸ τοιοῦτον ὑπὸ τῆς κοσμικῆς προνοίας συντελεῖσθαι. ἔστωσαν οὖν οἱ 2
δύο στίχοι τοιοῦτοι·

ὁ μὲν τῶν τετραγώνων ἀπὸ μονάδος

α, δ, θ, ις, κε, λς, μθ, ξδ, πα, ρ, ρκα, ρμδ, ρξθ, ρϙς, σκε·

ὁ δὲ τῶν ἑτερομηκῶν ἀπὸ δυάδος ἀρχόμενος καὶ αὐτὸς οὕτως·

β, ς, ιβ, κ, λ, μβ, νς, οβ, ϙ, ρι, ρλβ, ρνς, ρπβ, σι, σμ.

πρῶτον μὲν οὖν πρῶτος πρώτου πυθμὴν πολλα- 3
πλάσιος, δεύτερος δὲ δευτέρου ἡμιόλιος, τρίτος δὲ τρίτου ἐπίτριτος, τέταρτος δὲ τετάρτου ἐπιτέταρτος,

---

4. *σύμφρασις GP συμφρόνασις CΓ συμφρόνησις SH* (Theo Smyrn. I. p. 15) *dissentientium consensio* Boëth. II, 22 (cf. Boeckh, Philol. p. 61.) — 4. 5. *ἐπὶ μῆκος*] *ἐπιμήκης S -εις H* — 6. *πρὸ μικροῦ*] *πρὶν S* — 7. *τούτων*] *τοιούτων P τουτέστι S* — *αὐτοῖς*] *-ῶν S* — 10. *θαυμάζομεν P* — *φιλαδελφίαν C amicitiam* Boëth. II, 23 — 12. *καὶ ἐν*] *καὶ* om. *G* — 13. *ποθεν* om. *H* — 14. *συντελεῖται H* — 19. 20. *ἀρχόμ. . . . οὕτως* om. *C* — 23. *πρῶτος* om. *S* — 25. *τρίτου*] *-ον G* — *τετάρτου*] *-ον G*

8*

εἶτα ἐπίπεμπτος καὶ ἔφεκτος καὶ τοῦτο ἐπ' ἄπειρον
ἀναλόγως· διαφοραὶ δὲ αὐτῶν προκόψουσι κατὰ τὸν
συνεχῆ ἀπὸ μονάδος ἀριθμόν, μονὰς μὲν τῶν πρώ-
των, δυὰς δὲ τῶν δευτέρων, τριὰς δὲ τῶν τρίτων
καὶ ἀεὶ οὕτως· εἶτα δὲ ἐὰν ἀρξάμενος ὁ τῶν τετρα-
γώνων δεύτερος συγκρίνηται κατὰ δυασμὸν τῷ
πρώτῳ τῶν ἑτερομηκῶν καὶ ὁ τρίτος δευτέρῳ καὶ ὁ
τέταρτος τρίτῳ καὶ ἀκολούθως οἱ λοιποί, τοὺς αὐ-
τοὺς ἀπαραλλάκτους λόγους διατηρήσουσι τοῖς πρό-
σθεν, αἱ δὲ διαφοραὶ οὐκέτι ἀπὸ μονάδος, ἀλλ' ἀπὸ
δυάδος ἄρξονται προχωρεῖν αἱ αὐταί, καὶ κατὰ πρό-
βασιν δὲ ἐν τῇ προτέρᾳ συγκρίσει πρῶτος μὲν πρώ-
του πρῶτον πυθμένα πολλαπλάσιον ἕξει, δεύτερος δὲ
δευτέρου δεύτερον ἀπὸ πυθμένος ἡμιόλιον, τρίτος
δὲ τρίτου τρίτον ἀπὸ πυθμένος ἐπίτριτον, καὶ
4 παραπλησίως προκόψουσιν οἱ ἑξῆς. ἔτι δὲ οἱ μὲν
τετράγωνοι πρὸς ἑαυτοὺς διαφορὰς τοὺς περισσοὺς
μόνον ἔχουσιν, οἱ δὲ ἑτερομήκεις τοὺς ἀρτίους· ἂν
δὲ καὶ τὸν πρῶτον ἑτερομήκη μέσον ἀμφοτέρων τῶν
πρώτων τετραγώνων θῶμεν, τὸν δὲ δεύτερον τῶν
ἑξῆς, τὸν δὲ τρίτον τῶν μετ' αὐτούς, τὸν τέταρτον
δὲ τῶν ἐφεξῆς, τούτοις ὀφθήσονται εὐτακτότεραι αἱ p
σχέσεις ἐν τρισὶν ὅροις· ἣν γὰρ ὁ δ πρὸς τὸν β 61
σχέσιν ἔχει, οὕτως ὁ β πρὸς μονάδα, καὶ ἣν ὁ θ

---

5. εἶτα δὲ] ἔπειτα *S* — ἐὰν ἀρξ.] ἐναρξάμ. *P* — 6. δεύτερος] -α *G* — 7. δευτέρῳ] β *P* — 9. λόγους om. *P* — 13. πρῶτον om. *S* — 14. δεύτερον πυθμένα *GP* — τρίτος δὲ om. *H* — 17. διαφορὰν *H* — 18. μόνους *C* — 21. μετὰ τούτους *H* — 23—(p. 117)4. ὅροις . . . μείζων om. *S* — 23. 24. ἣν ... μονάδα] ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., οὕτως ὁ β πρὸς τὸν δ *G* ἣν ὁ δεύτερος πρὸς τὸν πρῶτον σχ. ἔχ., οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον *P* ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., ταύτην καὶ ὁ δεύτερος πρ. τὸν τέταρτον *H*. codicis *C* lectionem, quam ταύτην in οὕτως mutato recepi, tuetur Io. Phil. I, ξβ (II, μϛ).

πρὸς τὸν ϛ ἡμιολίως, οὕτως ὁ ϛ πρὸς τὸν δ, καὶ ἣν ὁ ιϛ πρὸς τὸν ιβ, οὕτως ὁ ιβ πρὸς τὸν ϑ, καὶ τοῦτο ἐφεξῆς τῶν ἀριθμῶν καὶ τῶν λόγων προκοπτόντων εὐτάκτως· ὡς γὰρ ὁ μείζων πρὸς τὸν μέσον, οὕτως ὁ μέσος πρὸς τὸν ἐλάχιστον ἔσται, καὶ οὐ τῷ αὐτῷ λόγῳ, ἀλλὰ ποικίλῳ ἀεὶ κατὰ προκοπήν· καὶ ἐπὶ πασῶν τῶν συζυγιῶν τὸ ὑπό¯ ἴσον τῷ ἀπό¯ καὶ ἅπαξ τὰ ἄκρα σὺν δὶς τῷ μέσῳ ἐναλλὰξ τετράγωνον πάντως ποιήσει καὶ τὸ πάντων τούτων γλαφυρώτατον, ἐξ ἀμφοτέρων συντιθεμένων τριγώνων γένεσις εὔτακτος γίνεται σημαίνουσα, ὡς τῆς τῶν πάντων ἀρχῆς ἀρχικωτέρα ἡ τούτων φύσις, α καὶ β, καὶ β καὶ δ, καὶ δ καὶ ϛ, καὶ ϛ καὶ ϑ, καὶ ϑ καὶ ιβ, καὶ ιβ καὶ ιϛ, καὶ ιϛ καὶ κ, καὶ ἀεὶ οὕτως οἱ τῶν πολυγώνων γεννητικοὶ τρίγωνοι εὔτακτοι γίνονται.

κ. Ἔτι δὲ καὶ πᾶς τετράγωνος προςλαβὼν τὴν XX
ἑαυτοῦ πλευρὰν ἑτερομήκης γίνεται ἢ νὴ Δί' ἀφαιρεθεὶς τὴν ἑαυτοῦ πλευράν· οὕτως καὶ τὸ ἕτερον καὶ ἐπὶ τὸ πλεῖον καὶ ἐπὶ τὸ ἔλαττον νοεῖται τοῦ ταυτοῦ, εἴπερ κατὰ πρόςθεσιν καὶ ἀφαίρεσιν συντελεῖται, καθὰ καὶ τοῦ ἀνίσου τὰ δύο εἴδη τό τε μεῖζον καὶ τὸ ἔλαττον κατὰ πρόςθεσιν ἢ ἀφαίρεσιν
προςγινομένην τῷ ἴσῳ τὴν γένεσιν λαμβάνει. ἱκα- 2

XX. Io. Phil. rec. I, ξε—ξζ; rec. II, μϛ, μζ. — Iambl. p. 102 seq. — Boëth. II. 24—29.

---

6. ποικίλλων *P* ποικίλως Io. Phil. I, ξβ — ἀεὶ om. *H* — 8. συνδεὶς *P* συνθεὶς *S* — ἐναλλὰξ om. *C* — 9. ποιήσεις *S* — γλαφυρώτερον *SH* — 10. συντιθεμένων] τετραγώνου καὶ ἑτερομήκους add. *H* — 12—14. αβ καὶ βδ κτλ. *S* — 13. καὶ δ om. *G* — 14. κ] καὶ κ καὶ κε add. *H*

XX. 19. νοεῖται] θεωρεῖται *H* in mrg. — 19. 20. τοῦ αὐτοῦ *GP* — 20. καθὸ *S* — 22. τὸ om. *GP*

νὸν καὶ τοῦτο τεκμήριον τοῦ ταυτότητος καὶ ἑτερό-
τητος μετέχειν τὰ εἴδη ἀμφότερα, ἑτερότητος μὲν
ἀορίστως, ταυτότητος δὲ ὡρισμένως, γενικῶς μὲν
μονάδα καὶ δυάδα, ὑποβεβηκότως δὲ περισσὸν μὲν
ταυτότητος διὰ τὸ μονάδι ὁμογενὲς εἶναι, ἄρτιον δὲ
3 ἑτερότητος διὰ τὸ δυάδι. καὶ ἔτι ἐκδηλότερον, τε-
τράγωνον μὲν διὰ τὸ σύνθεσιν περισσοῦ εἶναι ταυ-
τότητι συγγενῆ ὑπάρχειν, ἑτερομήκη δὲ διὰ τὸ ἀρ-
τίου ἑτερότητι· καὶ γὰρ καὶ ὡς φιλάλληλα ἐν τοῖς
δυσὶ στίχοις μεταδιδόασιν ἀλλήλοις τὰ δύο εἴδη
ταῦτα παρὰ μέρος τῶν αὐτῶν διαφορῶν, εἰ μὴ καὶ
τῶν αὐτῶν λόγων, καὶ ἀνάπαλιν τῶν αὐτῶν λόγων,
εἰ μὴ καὶ τῶν αὐτῶν διαφορῶν· ὃ γὰρ μεταξὺ τοῦ
δ καὶ τοῦ β διπλασίως, τοῦτο ἐπιμορίως μεταξὺ τοῦ
ϛ καὶ τοῦ δ, καὶ πάλιν ὃ μεταξὺ τοῦ θ καὶ ϛ ἡμιο- p
λίως, τοῦτο μεταξὺ τοῦ ιβ καὶ θ ἐπιτρίτως, καὶ ἀεὶ 62
οὕτως· καὶ ὃ ποιότητι ταυτόν, ποσότητι ἕτερον, καὶ
4 τοὐναντίον ὃ ποσότητι ταυτόν, ποιότητι ἕτερον. καὶ
πάλιν, ὅτι ἀναγκαίως κατὰ πάσας τὰς σχέσεις ἡ
αὐτὴ διαφορὰ τῶν δύο ὅρων μονάδι ἐξηλλαγμένως
μέρος λεχθήσεται, τοῦ μὲν ἥμισυ, τοῦ δὲ τρίτον
ὑπάρχουσα, ἢ τοῦ μὲν τρίτον, τοῦ δὲ τέταρτον, ἢ
ἄλλως τοῦ μὲν τέταρτον, τοῦ δὲ πέμπτον, καὶ ἐφε-
5 ξῆς οὕτως. ὃ δὲ μάλιστα βεβαιώσει, ταυτότητος
αἰτιώτατον εἶναι τὸ περισσόν, οὐδέποτε δὲ τὸ ἄρ-
τιον, ἐκεῖνο παραδεικτέον ἐν πάσῃ ἀπὸ μονάδος ἀνα-
λόγῳ ἐκθέσει, οἷον διπλασίῳ μὲν

α, β, δ, η, ιϛ, λβ, ξδ, ρκη, σνϛ,

---

5. ὁμογενῆ C — 10. μεταδίδωσιν CH — 17. 18. κὰκ τοῦ ἐναντίου H, S superscr. — 25. τὸν περ. ... ἄρτ. P τὸν περ. ... τὸν ἄρτ. C — 26. ἀναλόγως C ἀνάλογον H — 27. διπλασίᾳ H

τριπλασίῳ δὲ

α, γ, ϑ, κζ, πα, σμγ, ψκϑ, ͵βρπζ

καὶ μέχρι οὗ βούλει, πάντας εὑρήσεις ἐξ ἀνάγκης τοὺς ἐν περισσαῖς χώραις τετραγώνους, ἄλλους δὲ οὐκέτι οὐδεμιᾷ μηχανῇ, οὐδένα δὲ ἐν ἀρτίᾳ τετράγωνον, ἀλλὰ καὶ οἱ ἰσάκις ἴσοι ἰσάκις ἅπαντες, τουτέστι κύβοι τριχῇ διαστατοὶ ὄντες καὶ ταυτότητος ἐπὶ πλεῖον δοκοῦντες μετέχειν ἔργον εἰσὶ περισσῶν, ἀλλ' οὐκ ἀρτίων,

ὁ α καὶ η καὶ κζ καὶ ξδ καὶ ρκε καὶ σις

καὶ οἱ ἀνάλογον προχωροῦντες καὶ ἁπλῇ γε καὶ ἀποικίλῳ ἐφόδῳ· ἐκτεθέντων γὰρ τῶν ἀπὸ μονάδος ἐπ' ἄπειρον συνεχῶν περισσῶν ἐπισκόπει οὕτως, ὁ πρῶτος τὸν δυνάμει κύβον ποιεῖ, οἱ δὲ δύο μετ' ἐκεῖνον συντεθέντες τὸν δεύτερον, οἱ δὲ ἐπὶ τούτοις τρεῖς τὸν τρίτον, οἱ δὲ συνεχεῖς τούτοις τέσσαρες τὸν τέταρτον, οἱ δὲ ἐφεξῆς τούτοις πέντε τὸν πέμπτον καὶ οἱ ἑξῆς ἓξ τὸν ἕκτον καὶ τοῦτο μέχρις αἰεί.

κα. Ἐπὶ δὲ τούτοις καιρὸς ἂν εἴη τὸν περὶ ἀνα- XXI
λογιῶν τρόπον προσθέντας ἀναγκαιότατον ὄντα εἰς τὰς φυσιολογίας καὶ εἰς τὰ μουσικά τε καὶ σφαιρικὰ καὶ γραμμικὰ θεωρήμαται, οὐχ ἥκιστα δὲ καὶ εἰς τὰς τῶν παλαιῶν συναναγνώσεις, τέλος ἐπιθεῖναι τῇ ἀριθ-

---

XXI. Io. Phil. rec. I, *ξη — ογ*; rec. II, *μη*, *μϑ*. — Iambl. p. 138—141. — Boëth. II. 30.

---

1. *τριπλασίᾳ H* — 3. *οὗ* om. *P* — 4. *χώραις*] *τεταγμένους* add. *C* — 5. *ἀρτίῳ SH* — 6. *τουτέστιν οἱ S* — 8. *ἔργων P* — 10. *ὁ η G*, artic. quinquies add. *SH* — 11. *ἀνάλογοι P* — 13. *συνεχῶς P* — 17. *ἑξῆς*] *εὐθύς H*, *ἑξ.* in mrg.

XXI. *Περὶ ἀναλογιῶν GCμSHΓ* — 19. *δὲ*] *δὴ G ἐπειδὴ P* — 20. *τρόπον* codd. *τόπον* Ast. ex Iambl. p. 138 recepit — 21. *τοὺς μουσ. G*

μητικῇ εἰςαγωγῇ τὸ ἁρμόζον ἅμα καὶ συμμετρότα-
2 τον. ἔστιν οὖν ἀναλογία κυρίως δυεῖν ἢ πλειόνων
λόγων σύλληψις ἐς τὸ αὐτό, κοινότερον δὲ δυεῖν ἢ
πλεόνων σχέσεων, κἂν μὴ λόγῳ τῷ αὐτῷ ὑποτάσ-
3 σωνται, διαφορᾷ δὲ ἤ τινι ἑτέρῳ. λόγος μὲν οὖν
ἐστι δύο ὅρων πρὸς ἀλλήλους σχέσις, σύνθεσις δὲ
τῶν τοιούτων ἡ ἀναλογία, ὥςτε ἐν ἐλαχίστοις ὅροις p
τρισὶν αὕτη συμμέμικται, δύναταί γε μὴν καὶ ἐν 63
πλείοσι κατὰ τὸ αὐτὸ διάστημα ἢ κατὰ τὸν αὐτὸν
λόγον προχωρεῖν· οἷον τοῦ α πρὸς τὸν β λόγος
ἐστὶ δύο ὅρων ὑπαρχόντων, εἷς ὁ διπλάσιος, ἀλλὰ
καὶ τοῦ β πρὸς τὸν δ ἕτερος λόγος ὅμοιος· ἀναλο-
γία ἄρα ἡ

α, β, δ,

λόγων γὰρ σύλληψις ἢ ὅρων τριῶν κατὰ τὸν αὐτὸν
4 λόγον θεωρουμένων πρὸς ἀλλήλους. καὶ ἐν πλείοσι
δὲ καὶ ἐπιμηκεστέραις ἐκθέσεσι τὸ αὐτὸ δύναται θεω-
ρεῖσθαι· προςαπτέσθω γὰρ τέταρτος ὅρος ὁ η μετὰ
τὸν δ πάλιν ἐν ὁμοίᾳ σχέσει, διπλασίων γάρ, καὶ
5 πάλιν μετὰ τὸν η ὁ ις καὶ ἀεὶ οὕτως. ἐὰν μὲν οὖν
ὁ αὐτὸς ὅρος ἀεὶ εἷς καὶ ἀπαράλλακτος πρὸς τοὺς
παρ' ἑκάτερα αὐτοῦ ἀποκρίνηται, πρὸς μὲν τὸν μεί-
ζονα ὡς ὑπόλογος, πρὸς δὲ τὸν ἐλάσσονα ὡς

---

1. συμμετρότητι G -τρώτατον P — 2. ἀναλογία cf. Eucl. V, ὅρ. ζ—θ (ις) — 3. σύλλήψεις G — ἐς om. H — 4. ὑπο(ις)τάσσονται PC — 6. σχέσεις G — 8. σύμμικται P συμβήσεται H — δύν. γε μὴν καὶ] δύν. μὲν H — 9. κατὰ τὸ ... ἢ om. P — 10. ὁ τοῦ α H — 11. ὑπάρχων, ὧν εἷς (ε) Ast. — εἷς ὁ διπλ.] ὑποδιπλάσιος H — 12. λόγων G — 15. τριῶν] τοὐλάχιστον add. CS — κατὰ] ἀνὰ H — 16. πρὸς ἀλλήλους] ἡ ἀναλογία ἐστί μ — 17. δύνασθαι S — 19. ἐν om. H — διπλάσιος S -ίω C

πρόλογος, συνημμένη λέγεται ἡ τοιαύτη ἀναλογία, οἷον

α, β, δ

κατὰ ποιότητα· οἷος γὰρ ὁ δ πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν α, καὶ ἀνάπαλιν οἷος ὁ α πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν δ· κατὰ ποσότητα δὲ οἷον

α, β, γ·

ὅσον γὰρ ὁ γ τοῦ β ὑπερέχει, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ α, καὶ ἐξ ἐναντίου, ὅσον ὁ α τοῦ β ἐλαττοῦται, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ γ. ἐὰν δὲ ἕτερος 6
μὲν ὅρος ὑπακούῃ πρὸς τὸν ἐλάττονα πρόλογος γινόμενος καὶ μείζων, ἕτερος δὲ καὶ μὴ ὁ αὐτὸς πρὸς τὸν μείζονα ὑπόλογός τε γινόμενος καὶ ἐλάττων, οὐκέτι συνημμένη, ἀλλὰ διεζευγμένη λέγεται ἡ τοιαύτη μεσότης τε καὶ ἀναλογία· οἷον κατὰ μὲν τὸ ποιὸν

α, β, δ, η·

ὡς γὰρ τὰ β πρὸς τὸ α, οὕτω τὰ η πρὸς τὰ δ, καὶ ἀνάπαλιν

ὡς τὸ α πρὸς τὰ β, οὕτως τὰ δ πρὸς τὰ η,

ἐναλλάξ τε

ὡς τὸ α πρὸς τὰ δ, οὕτω τὰ β πρὸς τὰ η,

ἢ

ὡς τὰ δ πρὸς τὸ α, οὕτως τὰ η πρὸς τὰ β·

κατὰ δὲ τὸ ποσὸν οὕτως

---

5. *πρὸς τὸ α* G — 6. *τοιοῦτος*] *οὕτως* G — *αὐτὸς* om. S — 10. 11. *καὶ ἐξ ... γ* om. H — 10. *ὅσον ὁ β τοῦ α* G — 11. *καὶ τοσοῦτ.* G — 14. *γινόμενος*] *λεγόμενος* H — 19—22. *ὡς γὰρ ... ἐναλλάξ*] *ὡς γὰρ ἡ μονὰς πρὸς τὰ β, οὕτω τὰ δ πρὸς τὰ η, ἐναλλ.* H — 20. *καὶ ἀνάπ ... δ* om. C — 22. *καὶ ἐναλλ. τε* G *τε* om. P — 24. 25. *ἢ ὡς ... α* om. S — 25. *τὰ η πρὸς*] *τὰ β πρ.* G — 26. *οὕτως*] *ὡς* H

α, β, γ, δ·

ὅσῳ γὰρ τὸ α τοῦ β λείπεται, τοσούτῳ καὶ τὰ γ τοῦ δ,

ἢ

ὅσῳ τὰ δ τοῦ γ περισσεύει, τοσούτῳ καὶ τὰ β τοῦ α,

ἢ καὶ ἀναμὶξ

ὅσῳ τὰ γ τοῦ α, τοσούτῳ τὰ δ τοῦ β,

ἢ

ὅσῳ λείπεται τὸ α τῶν γ, τοσούτῳ τὰ β τῶν δ.

XXII *κβ. Εἰσὶν οὖν ἀναλογίαι αἱ μὲν πρῶται καὶ παρὰ πᾶσι τοῖς παλαιοῖς ὁμολογούμεναι, Πυθαγόρᾳ τε καὶ Πλάτωνι καὶ Ἀριστοτέλει, τρεῖς πρώτισται ἀριθμητική, γεωμετρική, ἁρμονική, αἱ δὲ ταύταις ὑπεναντίαι ἄλλαι τρεῖς, ἰδίων μὴ τετευχυῖαι ὀνομάτων, κοινότερον δὲ λεγόμεναι μεσότητες τετάρτη,* p. 64 *πέμπτη, ἕκτη· μεθ' ἃς καὶ ἄλλας τέσσαρας οἱ νεώτεροι εὑρίσκουσι, συμπληροῦντες τὸν δέκατον ἀριθμὸν κατὰ τὸ τοῖς Πυθαγορικοῖς δοκοῦν ὡς τελειότατον, καθ' ὃν καὶ αἱ δέκα σχέσεις ὤφθησαν ἡμῖν πρὸ βραχέος ποσότητα λαμβάνουσαι καὶ αἱ δέκα λεγόμεναι κατηγορίαι καὶ τῶν ἡμετέρων χειρῶν καὶ*

XXII. Io. Phil. rec. I, οδ; rec. II, ν. — Iambl. p. 141. 142. — Boëth. II. 31.

---

2. *ὅσων . . . τοσσῦτον S* — 8. *τοσούτῳ* ante *τὰ δ* om. *H*

XXII. 11. *ἀναλογία G* — 12. *παρὰ* om. *C* — *Πυθαγορικοῖς H* — 13. *καὶ Πλάτωνι* om. *G* *παρὰ Πλ. καὶ παρὰ Ἀρ. H* — 15. *τετευχεῖαι P* — 16. *κοινότεραι G* — 18. *εὗρον S* — *συμπληροῦντα G* — *δέκατον* om. *S* *τὸν ι CH* *denarius numerus* Boëth. II, 31 — 19. *Πυθαγόρᾳ S* *quod erat Pythagorae complacitus* Boëth. — 21. *ποσότητι G* — *αἱ δέκα*] *αἱ δὲ P* —

ποδῶν αἱ τῶν ἀκρωτηρίων διαιρέσεις καὶ σχέσεις
καὶ ἕτερα μυρία, ἃ κατ' οἰκεῖον τόπον ἐν ἑτέροις
ὀψόμεθα. νῦν δὲ περὶ τῶν ἀναλογιῶν ἄνωθεν τε- 2
χνολογητέον καὶ πρῶτόν γε περὶ τῆς κατὰ τὸ ποσὸν
τὴν τῶν ὅρων σύγκρισιν οἰκειούσης ἀλλήλοις καὶ
συνδεούσης, ἥ ἐστι κατὰ τὴν τῶν ὅρων πρὸς ἀλλή-
λους διαφορὰν ἴση κατὰ τὸ ποσὸν οὖσα· αὕτη δ'
ἂν εἴη ἡ ἀριθμητική, ταύτης γὰρ ἴδιον προαπεδόθη
τὸ ποσόν. τίς οὖν ἡ αἰτία, ὅτι περὶ ταύτης πρώτης 3
καὶ οὐ περὶ ἄλλης; ἢ δῆλον, ὅτι καὶ ἡ φύσις αὐτὴν
πρὸ τῶν ἄλλων ἐμφαίνει· ἐν γὰρ τῇ τοῦ ἁπλοῦ
ἀριθμοῦ φυσικῇ ἀπὸ μονάδος ἐκθέσει μηδενὸς πα-
ραλειπομένου μηδ' ὑπεξαιρουμένου σώζεται ὁ ταύ-
της μόνης λόγος, ἀλλὰ καὶ ἐν τοῖς ἔμπροσθεν ἀπε-
δείξαμεν συλλογισάμενοι καὶ αὐτὴν τὴν ἀριθμητικὴν
εἰςαγωγὴν πρὸ πασῶν τῶν ἄλλων ὑπάρχειν συν-
αναιροῦσαν μὲν ἑαυτῇ ἐκείνας, οὐ συναναιρουμένην
δέ, καὶ συνεπιφερομένην μὲν ἐκείναις, οὐ συνεπιφέ-
ρουσαν δέ, ὥςτε εἰκότως καὶ ἡ ὁμώνυμος τῇ ἀριθ-
μητικῇ μεσότης οὐκ ἀλόγως προηγήσεται τῶν ἐν
ἐκείναις ὁμωνύμων μεσοτήτων, γεωμετρικῆς τε καὶ
ἁρμονικῆς· τῶν γὰρ ὑπεναντίων ἐκδηλότατον ὅτι
πολὺ μᾶλλον ἡγήσεται, ὧνπερ αὗται ἡγεμόνες. πρω- 4
τίστη ἄρα καὶ ἔξαρχος δικαιοτάτη ἡ ἀριθμητικὴ οὖσα
φυσικῶς καὶ παρ' ἡμῶν τυγχανέτω διαρθρώσεως
πρό γε τῶν ἄλλων.

---

1. ποδῶν] κώλων *H* — αἱ τῶν ἀκρ.] κατὰ τὰ ἀκρωτήρια *C* — 3. σκεψόμεθα *S* — ἄνωθεν om. *S* — 4. περὶ τῆς] τὴν *S* — 6. ἣ ἔστιν *P* ὃ ἐστι *H* — 7. ἴσην . . . οὖσαν *C* — 8. ταύτης] αὐτῆς *H* — 10. ἢ om. *H* — αὐτὴ ἡ φύσις *S* — 14. μόνος *P* — 17. μὴ συναναιρ. *S* — 20. ἐν om. *S* — 22. τῶν γὰρ] ἄλλων add. *SH* — 24. ἐξ ἀρχῆς *GP* — δικαιότατα *CSH* — 25. διάρθρωσις *P*

καὶ ὡρισμένῳ τοιοῦτον· ὅτι δὲ καὶ οἱ ἑτερομήκεις ἀριθμοὶ οὐκ ἰδίῳ μήκει, ἀλλ' ἑτέρου μηκυνθέντος ἀποτελοῦνται, ἑτερομήκεις τε διὰ τοῦτο καὶ ἑτερό-
4 *τητος ἐπιδεκτικοὶ ἀπειρίας τε καὶ ἀοριστίας. τῇ δὲ ἄρα διχοστατεῖ καὶ διανενέμηται καὶ ἐναντία ἀλλήλοις φαίνεται τά τε τοῦ ἀριθμοῦ πάντα καὶ τὰ ἐν κόσμῳ πρὸς ταῦτα ἀποτελεσθέντα καὶ καλῶς οἱ παλαιοὶ φυσιολογεῖν ἀρχόμενοι τὴν πρώτην διαίρεσιν τῆς κοσμοποιίας ταύτῃ ποιοῦνται· Πλάτων μὲν τῆς ταυτοῦ φύσεως καὶ τῆς θατέρου ὀνομάζων καὶ πάλιν τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας τῆς τε αὖ μεριστῆς γινομένης, Φιλόλαος δὲ ἀναγκαῖον τὰ ἐόντα πάντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαίνοντα ἅμα καὶ ἄπειρα, ὅπερ μᾶλλον συγκατατίθεται εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνεστάναι τὸν κόσμον, κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ· καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσότητός τε καὶ ἀνισότητος ἐμφαντικὰ ταυτότητός τε καὶ ἑτερότητος περαίνοντός τε καὶ ἀπείρου ὡρισμένου τε καὶ ἀορίστου.*

XIX *ιθ. Ἵνα δὲ καὶ ἐναργῶς πεισθῶμεν περὶ τῶν λεγομένων, ὅτι ἄρα ἐκ μαχομένων καὶ ἐναντίων*

XIX. Io. Phil. rec. I, *νθ*—*ξδ*; rec. II, *με*. *μς*. — Iambl. p. 102 seq. — Boëth. II. 22. 23.

1. *ὅτι δὲ καὶ*] *ἔτι δὲ* *CH* — 2. *ἑτέρῳ* *S* — 3. *τῇ δὲ*] *ἡ δὲ* *P* *οὕτως* *H* — 9. *κοσμωποιίας* *G* — *ταύτην* Ast. — *Πλάτων*] cf. Tim. VIII (p. 35 A) — 13. *Φιλόλαος*] cf. Stob. Eclog. phys. I. p. 454 Heer. — *ἀνάγκη* *H* — *ἐόντα* om. *G* *ὄντα* *S* — 14. *πάντα* om. *P*, *omnia quae sunt* Boëth. II, 22 — *εἶμεν*] *εἶναι* *P* *ἦμεν* *C* m. 2. *εἰ μὲν* *H* *ἔμμεναι* *Γ* — 18. *οὕτως* *G* — *ἅπας* *S* — 20. *ἐμφαν///τικά* *G* *ἐκφαντικά* *H*
XIX. 24. *μαχομένου καὶ ἐναντίου* *S*

συνέστη τὰ ὄντα καὶ εἰκότως ἁρμονίαν ὑπεδέξατο (ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίνεται· ἔστι γὰρ
P ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων
60 συμφρόνησις), ἐκθώμεθα ἐν δυσὶ παραλλήλοις ἐπὶ μῆκος στίχοις μηκέτι ἰδίᾳ ἀρτίους ἀπὸ δυάδος καὶ περισσοὺς ἀπὸ μονάδος, ὡς πρὸ μικροῦ, ἀλλὰ τοὺς ἐξ αὐτῶν τούτων συσσωρευθέντων αὐτοῖς ἀποτελεσθέντας, τετραγώνους μὲν ἀπὸ περισσῶν, ἑτερομήκεις δὲ ἀπὸ ἀρτίων· ἐνατενίζοντες γὰρ τῇ ἐκθέσει αὐτῶν θαυμάσομεν τὴν φιλαλληλίαν καὶ τὸ συλληπτικὸν ἀλλήλοις εἰς τὸ ἀπογεννᾶν τὰ λοιπὰ καὶ ἐκτελεῖν, ἵνα εἰκότως ἐπινοῶμεν καὶ ἐν τῇ τῶν ὅλων φύσει ἐντεῦθέν ποθεν τὸ τοιοῦτον ὑπὸ τῆς κοσμικῆς προνοίας συντελεῖσθαι. ἔστωσαν οὖν οἱ 2
δύο στίχοι τοιοῦτοι·

ὁ μὲν τῶν τετραγώνων ἀπὸ μονάδος

α, δ, ϑ, ις, κε, λς, μϑ, ξδ, πα, ρ, ρκα, ρμδ, ρξϑ, ρϟς, σκε·

ὁ δὲ τῶν ἑτερομηκῶν ἀπὸ δυάδος ἀρχόμενος καὶ αὐτὸς οὕτως·

β, ς, ιβ, κ, λ, μβ, νς, οβ, ϟ, ρι, ρλβ, ρνς, ρπβ, σι, σμ.

πρῶτον μὲν οὖν πρῶτος πρώτου πυθμὴν πολλα- 3
πλάσιος, δεύτερος δὲ δευτέρου ἡμιόλιος, τρίτος δὲ τρίτου ἐπίτριτος, τέταρτος δὲ τετάρτου ἐπιτέταρτος,

---

4. σύμφρασις *GP* συμφρόνασις *CΓ* συμφρόνησις *SH* (Theo Smyrn. I. p. 15) *dissentientium consensio* Boëth. II, 22 (cf. Boeckh, Philol. p. 61.) — 4. 5. ἐπὶ μῆκος] ἐπιμήκης *S* -εις *H* — 6. πρὸ μικροῦ] πρὶν *S* — 7. τούτων] τοιούτων *P* τουτέστι *S* — αὐτοῖς] -ῶν *S* — 10. θαυμάζομεν *P* — φιλαδελφίαν *C* *amicitiam* Boëth. II, 23 — 12. καὶ ἐν] καὶ om. *G* — 13. ποθεν om. *H* — 14. συντελεῖται *H* — 19. 20. ἀρχόμ. . . . οὕτως om. *C* — 23. πρῶτος om. *S* — 25. τρίτου] -ον *G* — τετάρτου] -ον *G*

εἶτα ἐπίπεμπτος καὶ ἔφεκτος καὶ τοῦτο ἐπ' ἄπειρον ἀναλόγως· διαφοραὶ δὲ αὐτῶν προκόψουσι κατὰ τὸν συνεχῆ ἀπὸ μονάδος ἀριθμόν, μονὰς μὲν τῶν πρώτων, δυὰς δὲ τῶν δευτέρων, τριὰς δὲ τῶν τρίτων καὶ ἀεὶ οὕτως· εἶτα δὲ ἐὰν ἀρξάμενος ὁ τῶν τετραγώνων δεύτερος συγκρίνηται κατὰ δυασμὸν τῷ πρώτῳ τῶν ἑτερομηκῶν καὶ ὁ τρίτος δευτέρῳ καὶ ὁ τέταρτος τρίτῳ καὶ ἀκολούθως οἱ λοιποί, τοὺς αὐτοὺς ἀπαραλλάκτους λόγους διατηρήσουσι τοῖς πρόσθεν, αἱ δὲ διαφοραὶ οὐκέτι ἀπὸ μονάδος, ἀλλ' ἀπὸ δυάδος ἄρξονται προχωρεῖν αἱ αὐταί, καὶ κατὰ πρόβασιν δὲ ἐν τῇ προτέρᾳ συγκρίσει πρῶτος μὲν πρώτου πρῶτον πυθμένα πολλαπλάσιον ἕξει, δεύτερος δὲ δευτέρου δεύτερον ἀπὸ πυθμένος ἡμιόλιον, τρίτος δὲ τρίτου τρίτον ἀπὸ πυθμένος ἐπίτριτον, καὶ
4 παραπλησίως προκόψουσιν οἱ ἑξῆς. ἔτι δὲ οἱ μὲν τετράγωνοι πρὸς ἑαυτοὺς διαφορὰς τοὺς περισσοὺς μόνον ἔχουσιν, οἱ δὲ ἑτερομήκεις τοὺς ἀρτίους· ἂν δὲ καὶ τὸν πρῶτον ἑτερομήκη μέσον ἀμφοτέρων τῶν πρώτων τετραγώνων θῶμεν, τὸν δὲ δεύτερον τῶν ἑξῆς, τὸν δὲ τρίτον τῶν μετ' αὐτούς, τὸν τέταρτον δὲ τῶν ἐφεξῆς, τούτοις ὀφθήσονται εὐτακτότεραι αἱ σχέσεις ἐν τρισὶν ὅροις· ἣν γὰρ ὁ δ πρὸς τὸν β σχέσιν ἔχει, οὕτως ὁ β πρὸς μονάδα, καὶ ἣν ὁ θ p 61

5. εἶτα δὲ] ἔπειτα *S* — ἐὰν ἀρξ.] ἐναρξάμ. *P* — 6. δεύτερος] -α *G* — 7. δευτέρῳ] β *P* — 9. λόγους om. *P* — 13. πρῶτον om. *S* — 14. δεύτερον πυθμένα *GP* — τρίτος δὲ om. *H* — 17. διαφορὰν *H* — 18. μόνους *C* — 21. μετὰ τούτους *H* — 23—(p. 117) 4. ὅροις ... μείζων om. *S* — 23. 24. ἣν ... μονάδα] ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., οὕτως ὁ β πρὸς τὸν δ *G* ἣν ὁ δεύτερος πρὸς τὸν πρῶτον σχ. ἔχ., οὕτως ὁ δεύτερος πρὸς τὸν τρίτον *P* ἣν ὁ πρῶτος πρὸς τὸν δεύτερον σχ. ἔχ., ταύτην καὶ ὁ δεύτερος πρ. τὸν τέταρτον *H*. codicis *C* lectionem, quam ταύτην in οὕτως mutato recepi, tuetur Io. Phil. I, ξβ (II, μϛ).

πρὸς τὸν ϛ ἡμιολίως, οὕτως ὁ ϛ πρὸς τὸν δ, καὶ ἣν ὁ ιϛ πρὸς τὸν ιβ, οὕτως ὁ ιβ πρὸς τὸν θ, καὶ τοῦτο ἐφεξῆς τῶν ἀριθμῶν καὶ τῶν λόγων προκοπτόντων εὐτάκτως· ὡς γὰρ ὁ μείζων πρὸς τὸν μέσον, οὕτως ὁ μέσος πρὸς τὸν ἐλάχιστον ἔσται, καὶ οὐ τῷ αὐτῷ λόγῳ, ἀλλὰ ποικίλῳ ἀεὶ κατὰ προκοπήν· καὶ ἐπὶ πασῶν τῶν συζυγιῶν τὸ ὑπό- ἴσον τῷ ἀπό- καὶ ἅπαξ τὰ ἄκρα σὺν δὶς τῷ μέσῳ ἐναλλὰξ τετράγωνον πάντως ποιήσει καὶ τὸ πάντων τούτων γλαφυρώτατον, ἐξ ἀμφοτέρων συντιθεμένων τριγώνων γένεσις εὔτακτος γίνεται σημαίνουσα, ὡς τῆς τῶν πάντων ἀρχῆς ἀρχικωτέρα ἡ τούτων φύσις, α καὶ β, καὶ β καὶ δ, καὶ δ καὶ ϛ, καὶ ϛ καὶ θ, καὶ θ καὶ ιβ, καὶ ιβ καὶ ιϛ, καὶ ιϛ καὶ κ, καὶ ἀεὶ οὕτως οἱ τῶν πολυγώνων γεννητικοὶ τρίγωνοι εὔτακτοι γίνονται.

κ. Ἔτι δὲ καὶ πᾶς τετράγωνος προςλαβὼν τὴν XX
ἑαυτοῦ πλευρὰν ἑτερομήκης γίνεται ἢ νὴ Δί' ἀφαιρεθεὶς τὴν ἑαυτοῦ πλευράν· οὕτως καὶ τὸ ἕτερον καὶ ἐπὶ τὸ πλεῖον καὶ ἐπὶ τὸ ἔλαττον νοεῖται τοῦ ταυτοῦ, εἴπερ κατὰ πρόςθεσιν καὶ ἀφαίρεσιν συντελεῖται, καθὰ καὶ τοῦ ἀνίσου τὰ δύο εἴδη τό τε μεῖζον καὶ τὸ ἔλαττον κατὰ πρόςθεσιν ἢ ἀφαίρεσιν προςγινομένην τῷ ἴσῳ τὴν γένεσιν λαμβάνει. ἱκα- 2

XX. Io. Phil. rec. I, ξε—ξζ; rec. II, μϛ, μζ. — Iambl. p. 102 seq. — Boëth. II, 24—29.

---

6. *ποικίλλων P* *ποικίλως* Io. Phil. I, ξβ — *ἀεὶ* om. *H* — 8. *συνδεὶς P συνθεὶς S* — *ἐναλλὰξ* om. *C* — 9. *ποιήσεις S* — *γλαφυρώτερον SH* — 10. *συντιθεμένων*] *τετραγώνου καὶ ἑτερομήκους* add. *H* — 12—14. *αβ καὶ βδ κτλ. S* — 13. *καὶ δ* om. *G* — 14. *κ*] *καὶ κ καὶ κε* add. *H*

XX. 19. *νοεῖται*] *θεωρεῖται H* in mrg. — 19. 20. *τοῦ αὐτοῦ GP* — 20. *καθὸ S* — 22. *τὸ* om. *GP*

νὸν καὶ τοῦτο τεκμήριον τοῦ ταυτότητος καὶ ἑτερότητος μετέχειν τὰ εἴδη ἀμφότερα, ἑτερότητος μὲν ἀορίστως, ταυτότητος δὲ ὡρισμένως, γενικῶς μὲν μονάδα καὶ δυάδα, ὑποβεβηκότως δὲ περισσὸν μὲν ταυτότητος διὰ τὸ μονάδι ὁμογενὲς εἶναι, ἄρτιον δὲ

3 *ἑτερότητος διὰ τὸ δυάδι. καὶ ἔτι ἐκδηλότερον, τετράγωνον μὲν διὰ τὸ σύνθεσιν περισσοῦ εἶναι ταυτότητι συγγενῆ ὑπάρχειν, ἑτερομήκη δὲ διὰ τὸ ἀρτίου ἑτερότητι· καὶ γὰρ καὶ ὡς φιλάλληλα ἐν τοῖς δυσὶ στίχοις μεταδιδόασιν ἀλλήλοις τὰ δύο εἴδη ταῦτα παρὰ μέρος τῶν αὐτῶν διαφορῶν, εἰ μὴ καὶ τῶν αὐτῶν λόγων, καὶ ἀνάπαλιν τῶν αὐτῶν λόγων, εἰ μὴ καὶ τῶν αὐτῶν διαφορῶν· ὃ γὰρ μεταξὺ τοῦ δ καὶ τοῦ β διπλασίως, τοῦτο ἐπιμορίως μεταξὺ τοῦ ς καὶ τοῦ δ, καὶ πάλιν ὃ μεταξὺ τοῦ ϑ καὶ ς ἡμιολίως,* P 62 *τοῦτο μεταξὺ τοῦ ιβ καὶ ϑ ἐπιτρίτως, καὶ ἀεὶ οὕτως· καὶ ὃ ποιότητι ταυτόν, ποσότητι ἕτερον, καὶ*

4 *τοὐναντίον ὃ ποσότητι ταυτόν, ποιότητι ἕτερον. καὶ πάλιν, ὅτι ἀναγκαίως κατὰ πάσας τὰς σχέσεις ἡ αὐτὴ διαφορὰ τῶν δύο ὅρων μονάδι ἐξηλλαγμένως μέρος λεχϑήσεται, τοῦ μὲν ἥμισυ, τοῦ δὲ τρίτον ὑπάρχουσα, ἢ τοῦ μὲν τρίτον, τοῦ δὲ τέταρτον, ἢ ἄλλως τοῦ μὲν τέταρτον, τοῦ δὲ πέμπτον, καὶ ἐφε-*

5 *ξῆς οὕτως. ὃ δὲ μάλιστα βεβαιώσει, ταυτότητος αἰτιώτατον εἶναι τὸ περισσόν, οὐδέποτε δὲ τὸ ἄρτιον, ἐκεῖνο παραδεικτέον ἐν πάσῃ ἀπὸ μονάδος ἀναλόγῳ ἐκϑέσει, οἷον διπλασίῳ μὲν*

α, β, δ, η, ις, λβ, ξδ, ρκη, σνς,

5. *ὁμογενῆ C* — 10. *μεταδίδωσιν CH* — 17. 18. *κἀκ τοῦ ἐναντίου H, S* superscr. — 25. *τὸν περ. ... ἄρτ. P τὸν περ. . . . τὸν ἄρτ. C* — 26. *ἀναλόγως C ἀνάλογον H* — 27. *διπλασίᾳ H*

τριπλασίῳ δὲ

α, γ, ϑ, κζ, πα, σμγ, ψκϑ, ‚βρπζ

καὶ μέχρι οὗ βούλει, πάντας εὑρήσεις ἐξ ἀνάγκης τοὺς ἐν περισσαῖς χώραις τετραγώνους, ἄλλους δὲ οὐκέτι οὐδεμιᾷ μηχανῇ, οὐδένα δὲ ἐν ἀρτίᾳ τετράγωνον, ἀλλὰ καὶ οἱ ἰσάκις ἴσοι ἰσάκις ἅπαντες, τουτέστι κύβοι τριχῇ διαστατοὶ ὄντες καὶ ταυτότητος ἐπὶ πλεῖον δοκοῦντες μετέχειν ἔργον εἰσὶ περισσῶν, ἀλλ' οὐκ ἀρτίων,

ὁ α καὶ η καὶ κζ καὶ ξδ καὶ ρκε καὶ σις

καὶ οἱ ἀνάλογον προχωροῦντες καὶ ἁπλῇ γε καὶ ἀποικίλῳ ἐφόδῳ· ἐκτεθέντων γὰρ τῶν ἀπὸ μονάδος ἐπ' ἄπειρον συνεχῶν περισσῶν ἐπισκόπει οὕτως, ὁ πρῶτος τὸν δυνάμει κύβον ποιεῖ, οἱ δὲ δύο μετ' ἐκεῖνον συντεθέντες τὸν δεύτερον, οἱ δὲ ἐπὶ τούτοις τρεῖς τὸν τρίτον, οἱ δὲ συνεχεῖς τούτοις τέσσαρες τὸν τέταρτον, οἱ δὲ ἐφεξῆς τούτοις πέντε τὸν πέμπτον καὶ οἱ ἑξῆς ἓξ τὸν ἕκτον καὶ τοῦτο μέχρις αἰεί.

κα. Ἐπὶ δὲ τούτοις καιρὸς ἂν εἴη τὸν περὶ ἀνα- XXI
λογιῶν τρόπον προςθέντας ἀναγκαιότατον ὄντα εἰς τὰς φυσιολογίας καὶ εἰς τὰ μουσικά τε καὶ σφαιρικὰ καὶ γραμμικὰ θεωρήμαται, οὐχ ἥκιστα δὲ καὶ εἰς τὰς τῶν παλαιῶν συναναγνώσεις, τέλος ἐπιθεῖναι τῇ ἀριθ-

---

XXI. Io. Phil. rec. I, ξη — ογ; rec. II, μη, μϑ. — Iambl. p. 138—141. — Boëth. II. 30.

---

1. τριπλασίᾳ *H* — 3. οὗ om. *P* — 4. χώραις] τεταγμένους add. *C* — 5. ἀρτίῳ *SH* — 6. τουτέστιν οἱ *S* — 8. ἔργων *P* — 10. ὁ η *G*, artic. quinquies add. *SH* — 11. ἀνάλογοι *P* — 13. συνεχῶς *P* — 17. ἑξῆς] εὐθὺς *H*, ἑξ. in mrg.

XXI. Περὶ ἀναλογιῶν *GCμSHΓ* — 19. δὲ] δὴ *G* ἐπειδὴ *P* — 20. τρόπον codd. τόπον Ast. ex Iambl. p. 138 recepit — 21. τοὺς μουσ. *G*

μητικῇ εἰςαγωγῇ τὸ ἁρμόζον ἅμα καὶ συμμετρότα-
2 *τον. ἔστιν οὖν ἀναλογία κυρίως δυεῖν ἢ πλειόνων*
λόγων σύλληψις ἐς τὸ αὐτό, κοινότερον δὲ δυεῖν ἢ
πλεόνων σχέσεων, κἂν μὴ λόγῳ τῷ αὐτῷ ὑποτάσ-
3 *σωνται, διαφορᾷ δὲ ἤ τινι ἑτέρῳ. λόγος μὲν οὖν*
ἐστι δύο ὅρων πρὸς ἀλλήλους σχέσις, σύνθεσις δὲ
τῶν τοιούτων ἡ ἀναλογία, ὥςτε ἐν ἐλαχίστοις ὅροις P
τρισὶν αὕτη συμμέμικται, δύναταί γε μὴν καὶ ἐν 63
πλείοσι κατὰ τὸ αὐτὸ διάστημα ἢ κατὰ τὸν αὐτὸν
λόγον προχωρεῖν· οἷον τοῦ α πρὸς τὸν β λόγος
ἐστὶ δύο ὅρων ὑπαρχόντων, εἷς ὁ διπλάσιος, ἀλλὰ
καὶ τοῦ β πρὸς τὸν δ ἕτερος λόγος ὅμοιος· ἀναλο-
γία ἄρα ἡ

α, β, δ,

λόγων γὰρ σύλληψις ἢ ὅρων τριῶν κατὰ τὸν αὐτὸν
4 *λόγον θεωρουμένων πρὸς ἀλλήλους. καὶ ἐν πλείοσι*
δὲ καὶ ἐπιμηκεστέραις ἐκθέσεσι τὸ αὐτὸ δύναται θεω-
ρεῖσθαι· προςαπτέσθω γὰρ τέταρτος ὅρος ὁ η μετὰ
τὸν δ πάλιν ἐν ὁμοίᾳ σχέσει, διπλασίων γάρ, καὶ
5 *πάλιν μετὰ τὸν η ὁ ις καὶ ἀεὶ οὕτως. ἐὰν μὲν οὖν*
ὁ αὐτὸς ὅρος ἀεὶ εἷς καὶ ἀπαράλλακτος πρὸς τοὺς
παρ' ἑκάτερα αὐτοῦ ἀποκρίνηται, πρὸς μὲν τὸν μεί-
ζονα ὡς ὑπόλογος, πρὸς δὲ τὸν ἐλάσσονα ὡς

---

1. *συμμετρότητι G -τρώτατον P* — 2. *ἀναλογία* cf. Eucl. V, *ὅρ. ζ—ϑ* — 3. *σύλληψεις* (ις supra) *G* — *ἐς* om. *H* — 4. *ὑποτάσσονται* (ις supra) *PC* — 6. *σχέσεις G* — 8. *σύμμικται P συμβήσεται H* — *δύν. γε μὴν καὶ*] *δύν. μὲν H* — 9. *κατὰ τὸ . . . ἢ* om. *P* — 10. *ὁ τοῦ α H* — 11. *ὑπάρχων, ὧν εἷς* (ε supra) Ast. — *εἷς ὁ διπλ.*] *ὑποδιπλάσιος H* — 12. *λόγων G* — 15. *τριῶν*] *τοὐλάχιστον* add. *CS* — *κατὰ*] *ἀνὰ H* — 16. *πρὸς ἀλλήλους*] *ἡ ἀναλογία ἐστί μ* — 17. *δύνασθαι S* — 19. *ἐν* om. *H* — *διπλάσιος S -ίω C*

πρόλογος, συνημμένη λέγεται ἡ τοιαύτη ἀναλογία, οἷον

α, β, δ

κατὰ ποιότητα· οἷος γὰρ ὁ δ πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν α, καὶ ἀνάπαλιν οἷος ὁ α πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν δ· κατὰ ποσότητα δὲ οἷον

α, β, γ·

ὅσον γὰρ ὁ γ τοῦ β ὑπερέχει, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ α, καὶ ἐξ ἐναντίου, ὅσον ὁ α τοῦ β ἐλαττοῦται, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ γ. ἐὰν δὲ ἕτερος 6
μὲν ὅρος ὑπακούῃ πρὸς τὸν ἐλάττονα πρόλογος γινόμενος καὶ μείζων, ἕτερος δὲ καὶ μὴ ὁ αὐτὸς πρὸς τὸν μείζονα ὑπόλογός τε γινόμενος καὶ ἐλάττων, οὐκέτι συνημμένη, ἀλλὰ διεζευγμένη λέγεται ἡ τοιαύτη μεσότης τε καὶ ἀναλογία· οἷον κατὰ μὲν τὸ ποιὸν

α, β, δ, η·

ὡς γὰρ τὰ β πρὸς τὸ α, οὕτω τὰ η πρὸς τὰ δ, καὶ ἀνάπαλιν

ὡς τὸ α πρὸς τὰ β, οὕτως τὰ δ πρὸς τὰ η,

ἐναλλάξ τε

ὡς τὸ α πρὸς τὰ δ, οὕτω τὰ β πρὸς τὰ η,

ἢ

ὡς τὰ δ πρὸς τὸ α, οὕτως τὰ η πρὸς τὰ β·

κατὰ δὲ τὸ ποσὸν οὕτως

---

5. πρὸς τὸ α G — 6. τοιοῦτος] οὕτως G — αὐτὸς om. S — 10. 11. καὶ ἐξ ... γ om. H — 10. ὅσον ὁ β τοῦ α G — 11. καὶ τοσοῦτ. G — 14. γινόμενος] λεγόμενος H — 19—22. ὡς γὰρ ... ἐναλλάξ] ὡς γὰρ ἡ μονὰς πρὸς τὰ β, οὕτω τὰ δ πρὸς τὰ η, ἐναλλ. H — 20. καὶ ἀνάπ ... δ om. C — 22. καὶ ἐναλλ. τε G τε om. P — 24. 25. ἢ ὡς ... α om. S — 25. τὰ η πρὸς] τὰ β πρ. G — 26. οὕτως] ὡς H

α, β, γ, δ·

ὅσῳ γὰρ τὸ α τοῦ β λείπεται, τοσούτῳ καὶ τὰ γ τοῦ δ,

ἢ

ὅσῳ τὰ δ τοῦ γ περισσεύει, τοσούτῳ καὶ τὰ β τοῦ α,

ἢ καὶ ἀναμὶξ

ὅσῳ τὰ γ τοῦ α, τοσούτῳ τὰ δ τοῦ β,

ἢ

ὅσῳ λείπεται τὸ α τῶν γ, τοσούτῳ τὰ β τῶν δ.

XXII κβ. Εἰσὶν οὖν ἀναλογίαι αἱ μὲν πρῶται καὶ παρὰ πᾶσι τοῖς παλαιοῖς ὁμολογούμεναι, Πυθαγόρᾳ τε καὶ Πλάτωνι καὶ Ἀριστοτέλει, τρεῖς πρώτισται ἀριθμητική, γεωμετρική, ἁρμονική, αἱ δὲ ταύταις ὑπεναντίαι ἄλλαι τρεῖς, ἰδίων μὴ τετευχυῖαι ὀνομάτων, κοινότερον δὲ λεγόμεναι μεσότητες τετάρτη, P 64 πέμπτη, ἕκτη· μεθ' ἃς καὶ ἄλλας τέσσαρας οἱ νεώτεροι εὑρίσκουσι, συμπληροῦντες τὸν δέκατον ἀριθμὸν κατὰ τὸ τοῖς Πυθαγορικοῖς δοκοῦν ὡς τελειότατον, καθ' ὃν καὶ αἱ δέκα σχέσεις ὤφθησαν ἡμῖν πρὸ βραχέος ποσότητα λαμβάνουσαι καὶ αἱ δέκα λεγόμεναι κατηγορίαι καὶ τῶν ἡμετέρων χειρῶν καὶ

XXII. Io. Phil. rec. I, οδ; rec. II, ν. — Iambl. p. 141. 142. — Boëth. II. 31.

---

2. ὅσων ... τοσσῦτον *S* — 8. τοσούτῳ ante τὰ δ om. *H*

XXII. 11. ἀναλογία *G* — 12. παρὰ om. *C* — Πυθαγορικοῖς *H* — 13. καὶ Πλάτωνι om. *G* παρὰ Πλ. καὶ παρὰ Ἀρ. *H* — 15. τετευχεῖαι *P* — 16. κοινότεραι *G* — 18. εὖρον *S* — συμπληροῦντα *G* — δέκατον om. *S* τὸν ι *CH* *denarius numerus* Boëth. II, 31 — 19. Πυθαγόρᾳ *S* *quod erat Pythagorae complacitus* Boëth. — 21. ποσότητι *G* — αἱ δέκα] αἱ δὲ *P* —

ποδῶν αἱ τῶν ἀκρωτηρίων διαιρέσεις καὶ σχέσεις
καὶ ἕτερα μυρία, ἃ κατ' οἰκεῖον τόπον ἐν ἑτέροις
ὀψόμεθα. νῦν δὲ περὶ τῶν ἀναλογιῶν ἄνωθεν τε- 2
χνολογητέον καὶ πρῶτόν γε περὶ τῆς κατὰ τὸ ποσὸν
τὴν τῶν ὅρων σύγκρισιν οἰκειούσης ἀλλήλοις καὶ
συνδεούσης, ἥ ἐστι κατὰ τὴν τῶν ὅρων πρὸς ἀλλή-
λους διαφορὰν ἴση κατὰ τὸ ποσὸν οὖσα· αὕτη δ'
ἂν εἴη ἡ ἀριθμητική, ταύτης γὰρ ἴδιον προαπεδόθη
τὸ ποσόν. τίς οὖν ἡ αἰτία, ὅτι περὶ ταύτης πρώτης 3
καὶ οὐ περὶ ἄλλης; ἢ δῆλον, ὅτι καὶ ἡ φύσις αὐτὴν
πρὸ τῶν ἄλλων ἐμφαίνει· ἐν γὰρ τῇ τοῦ ἁπλοῦ
ἀριθμοῦ φυσικῇ ἀπὸ μονάδος ἐκθέσει μηδενὸς πα-
ραλειπομένου μηδ' ὑπεξαιρουμένου σώζεται ὁ ταύ-
της μόνης λόγος, ἀλλὰ καὶ ἐν τοῖς ἔμπροσθεν ἀπε-
δείξαμεν συλλογισάμενοι καὶ αὐτὴν τὴν ἀριθμητικὴν
εἰσαγωγὴν πρὸ πασῶν τῶν ἄλλων ὑπάρχειν συν-
αναιροῦσαν μὲν ἑαυτῇ ἐκείνας, οὐ συναναιρουμένην
δέ, καὶ συνεπιφερομένην μὲν ἐκείναις, οὐ συνεπιφέ-
ρουσαν δέ, ὥστε εἰκότως καὶ ἡ ὁμώνυμος τῇ ἀριθ-
μητικῇ μεσότης οὐκ ἀλόγως προηγήσεται τῶν ἐν
ἐκείναις ὁμωνύμων μεσοτήτων, γεωμετρικῆς τε καὶ
ἁρμονικῆς· τῶν γὰρ ὑπεναντίων ἐκδηλότατον ὅτι
πολὺ μᾶλλον ἡγήσεται, ὧνπερ αὗται ἡγεμόνες. πρω- 4
τίστη ἄρα καὶ ἔξαρχος δικαιοτάτη ἡ ἀριθμητικὴ οὖσα
φυσικῶς καὶ παρ' ἡμῶν τυγχανέτω διαρθρώσεως
πρό γε τῶν ἄλλων.

---

1. *ποδῶν*] *κώλων* H — *αἱ τῶν ἀκρ.*] *κατὰ τὰ ἀκρωτήρια* C — 3. *σκεψόμεθα* S — *ἄνωθεν* om. S — 4. *περὶ τῆς*] *τὴν* S — 6. *ἥ ἐστιν* P *ὅ ἐστι* H — 7. *ἴσην . . . οὖσαν* C — 8. *ταύτης*] *αὐτῆς* H — 10. *ἢ* om. H — *αὐτὴ ἡ φύσις* S — 14. *μόνος* P — 17. *μὴ συναναιρ.* S — 20. *ἐν* om. S — 22. *τῶν γὰρ*] *ἄλλων* add. SH — 24. *ἐξ ἀρχῆς* GP — *δι-καιότατα* CSH — 25. *διάρθρωσις* P

XXIII *κγ. Ἔστιν οὖν ἀριθμητικὴ μεσότης, ὅταν τριῶν
ἢ πλειόνων ὅρων ἐφεξῆς ἀλλήλοις κειμένων ἢ ἐπι-
νοουμένων ἡ αὐτὴ κατὰ ποσότητα διαφορὰ εὑρίσκη-
ται μεταξὺ τῶν ἐφεξῆς ὑπάρχουσα, μὴ μέντοι λόγος
ὁ αὐτὸς ἐν τοῖς ὅροις πρὸς ἀλλήλους γίνηται, οἷον
α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ·
ἐν γὰρ τῇ φυσικῇ ταύτῃ ἐκθέσει τοῦ ἀριθμοῦ συνε-
χῶς καὶ ἀνυπερβάτως ἐξεταζομένῃ εὑρίσκεται πᾶς* P
ὁςτιςοῦν ὅρος δυεῖν ἀνὰ μέσον τεταγμένος τὴν ἀριθ- 65
*μητικὴν πρὸς αὐτοὺς διασώζων μεσότητα· ἴσαι γὰρ
αἱ διαφοραὶ αὐτοῦ εἰσι πρὸς τοὺς ἑκατέρωθεν τεταγ-
μένους, οὐ μὴν ἔτι καὶ λόγος ὁ αὐτὸς σώζεται ἐν*
2 *αὐτοῖς. ἐπιστάμεθα δέ, ὡς ἐν τῇ τοιαύτῃ ἐκθέσει
συνημμένη τε καὶ διεζευγμένη γίνεται μεσότης· εἰ
μὲν γὰρ ὁ αὐτὸς μέσος ὅρος πρόλογός τε καὶ ὑπό-
λογος πρὸς τοὺς ἑκατέρωθεν ὑπακούοι, συνημμένη
ἂν εἴη, εἰ δὲ σὺν αὐτῷ ἕτερος, διεζευγμένη γίνεται*
3 *μεσότης. ἐὰν μὲν οὖν ἐκ τῆς ἐκθέσεως ταύτης τρεῖς
ἀποτεμόμενοι οὑςτιναςοῦν παραλλήλους κατὰ τὴν
συνημμένην σκοπῶμεν ἢ τέσσαρας ἢ πλείους κατὰ
τὴν διεζευγμένην, μονὰς ἂν εἴη πάντων ἡ διαφορά,
λόγοι δὲ ἕτεροι ἐκ παντός· ἐὰν δὲ μὴ παραλλήλους,
ἀλλὰ διεχεῖς, κατὰ ἴσην μέντοι παράλειψιν, πάλιν
δὲ ἤτοι τρεῖς ἢ πλέονας, εἰ μὲν εἷς ὁ παραλειπόμε-*

XXIII. Io. Phil. rec. I, *οε—πβ*; rec. II, *να—νη*. — Iambl. p. 142—147. — Boëth. II. 32.

XXIII. *Περὶ ἀριθμητικῆς μεσότητος GHΓ Περὶ ἀρ. ἀναλογίας CμS* — 5. *γίνεται P* — 8. *ἀνεπιβάτως G* — *ἐξεταζομένων S* — 12. *ἔτι* om. *C* — 13. *τῇ αὐτῇ G* — 17. 18. *γίν. μεσότης* om. *H* — 18. *θέσεως P* — 22. *ἐκ παντὸς*] *παντως S* — 23. *παράλεψιν G -ληψιν P*

νος εἴη καθ' ἑκάστην θέσιν ὅρου, δυὰς ἔσται ἡ διαφορὰ πάντων, καὶ πάλιν ἐν τρισὶ μὲν συνημμένη, ἐν πλείοσι δὲ διῃρημένη· εἰ δὲ δύο οἱ παραλειπόμενοι, τριὰς πάντως ἡ διαφορὰ ἐν ἅπασι συνημμένοις τε καὶ διεζευγμένοις, εἰ δὲ τρεῖς, τετράς, εἰ δὲ τέσσαρας, πεντάς, καὶ τοῦτο ἐφ' ὁποσονοῦν. μετέχει 4
ἄρα ἡ τοιαύτη ποσοῦ μὲν ἴσου ἐν ταῖς διαφοραῖς, ποιοῦ δὲ οὐκέτι ἴσου· διὰ τοῦτο ἀριθμητική· εἰ δ' ἔμπαλιν ποιοῦ μὲν ὁμοίου μετεῖχε, ποσοῦ δὲ οὔ, ἦν ἂν γεωμετρικὴ ἀντὶ ἀριθμητικῆς. ἴδιον δὲ ὑπάρχει 5
τῆςδε τῆς μεσότητος, ὃ μηδεμιᾷ ἄλλῃ συμβέβηκε, τὸ κατὰ σύνθεσιν τῶν ἄκρων ὑποδιπλάσιον ἢ ἶσον τὸ μέσον εἶναι, ἄν τε συνημμένως ἄν τε διεζευγμένως σκοπῆται ἄν τε ἐναλλάξ· ἢ γὰρ τὸ μέσον σὺν ἑαυτῷ ἢ τὰ μέσα σὺν ἀλλήλοις ἶσα τῇ τῶν ἄκρων συνθέσει. ἔτι καὶ ἄλλο ἔχει ἴδιον· ὃν γὰρ ἔχει λόγον ἕκαστος 6
ὅρος πρὸς ἑαυτόν, τοῦτον αἱ διαφοραὶ πρὸς τὰς διαφοράς, τουτέστιν ἐν ἰσότητί εἰσιν· ἔτι τὸ γλαφυρώτατον καὶ τοὺς πολλοὺς λεληθός, τὸ ὑπὸ τῶν ἄκρων γινόμενον συγκρινόμενον τῷ ἀπὸ τοῦ μέσου ἔλαττον αὐτοῦ εὑρίσκεται τῷ ὑπὸ τῶν διαφορῶν, ἐάν τε μονάδες ὦσιν ἐάν τε δυάδες ἐάν τε τριάδες ἐάν τε τετράδες ἐάν τε ὁςτιςοῦν ἀριθμός· τέταρτον δέ, ὃ

---

1. θέσιν om. *P* — 3. εἰ] οἱ *G* — παραλειπ.] εἶεν add. *S* — 5. διεζευγμένοις] διῃρημένοις *PC* — 7. ἡ τοιαύτη] αὕτη *SH* — 9. ὁμοίως *G* — μετέχει *P* — 11. τῆςδε] ταύτης *S* — 12. ὑποδιπλάσιος *G* — 12. 13. τὸ μέσον ante ἢ, om. εἶναι *H* διπλάσιον τοῦ μέσου ἢ ἶσον τοῖς μέσοις εἶναι *C* — 14. αὐτῷ *H* — 16. ὃν γὰρ ἔχει κτλ.] cf. Io. Phil. I, οθ: .... ψυχρὸν δὲ τὸ αὐτὸ ἑαυτῷ ἶσον λέγων τὸν μέσον· τὸ γὰρ ἶσον ἑτέρῳ τινί ἐστιν ἶσον, οὐχ ἑαυτῷ κτλ. — rec. II, νγ: ἐπιλαμβάνονταί τινες αὐτοῦ .... ἀγνοοῦντες, ὅτι μάλιστα καὶ πρώτως τὸ ἶσον ἐν τῷ ἑνὶ θεωρεῖται κτλ. — 17. τὰς om. *GPC* — 18. εἰσιν] ἴσῃ *P*

καὶ οἱ πρόσθεν πάντες ἐσημειώσαντο, οἱ ἐν τοῖς P 66 *ἐλάττοσιν ὅροις λόγοι συγκρινόμενοι πρὸς τοὺς ἐν τοῖς μείζοσι μείζονές εἰσι· δειχθήσονται δὲ ἐν τῇ ἁρμονικῇ ἐναντίως οἱ ἐν τοῖς μείζοσι μείζονες καὶ οἱ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες· διὰ τοῦτο ὑπεναντία ἡ ἁρμονικὴ μεσότης τῇ ἀριθμητικῇ, μεταίχμιον δὲ αὐτῶν ὥςπερ ἀκροτήτων ἐστὶν ἡ γεωμετρικὴ ἔχουσα τοὺς ἐν τοῖς μείζοσιν ὅροις λόγους καὶ τοὺς ἐν τοῖς ἐλάττοσιν ἀλλήλοις ἴσους· ἐν μεσότητι δὲ ἡμῖν ὤφθη τὸ ἴσον τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. τοσάδε ἡμῖν περὶ τῆς ἀριθμητικῆς μεσότητος.*

XXIV *κδ. Ἡ δὲ ἐπὶ ταύτῃ συνεχὴς γεωμετρικὴ μεσότης κυρίως ἀναλογία μόνη καλουμένη διὰ τὸ ἀνὰ τὸν αὐτὸν λόγον θεωρεῖσθαι πρὸς ἀλλήλους τοὺς ἐν αὐτῇ ὅρους· ἔστι δέ, ὅταν τριῶν ὅρων ἢ πλειόνων ὡς ἔχει ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως αὐτὸς πρὸς τὸν ὑποβεβηκότα ἔχῃ, ἐὰν δὲ πλείονες ὅροι εἶεν, καὶ αὐτὸς πάλιν πρὸς τὸν ὑπ' αὐτόν, ποσότητι μέντοι μὴ τῇ αὐτῇ διαφέρωσιν ἀλλήλων, ἀλλὰ λόγου ποιότητι τῇ αὐτῇ, ἐναντίως ἢ ἐπὶ τῆς*
2 *ἀριθμητικῆς ὤφθη. οἷον ὑποδείγματος χάριν ἐκκείσθωσαν οἱ ἀπὸ μονάδος κατὰ διπλάσιον λόγον προχωροῦντες*

XXIV. Io. Phil. rec. I, *πγ—ϟ*; rec. II, *νδ—νη*. — Iambl. p. 147—151. — Boëth. II, 33—35.

---

2. *λόγοις P* — 4. 5. *καὶ οἱ . . . ἐλάττονες* om. *H* — 7. *ὥςπερ ἀκρ. ἐστ.* om. *H* — 11. *τόσα μὲν S* — *ἡμῖν*] *δὴ C*

XXIV. *Περὶ γεωμετρικῆς μεσότητος ΗΓ Περὶ* [*τῆς S*] *γεωμετρικῆς ἀναλογίας CμS* — 12. *ταύτης P* — 13. *τὸ ἀνὰ* om. *P* — 15. *πλειόνων*] *ὅρων* add. *S* — 16. *ἔχει* om. *H* — 17. *ἔχει S* — 17. 18. *ἐὰν δὲ . . . εἶεν*] *καὶ εἰ πλ. οἱ ὅρ. εἶεν C, H* post *ὑπ' αὐτόν. εἰ δὲ πλ. εἶεν οἱ ὅρ. S* — 19. *μὴ*] *οὐ H* — 20. *λόγον G* — 22. *διπλασίονα SH*

α, β, δ, η, ις, λβ, ξδ

καὶ ἐπ' ἄπειρον, ἢ κατὰ τριπλασίονα

α, γ, θ, κζ, πα, σμγ

καὶ ἐφεξῆς ἢ κατὰ τετραπλάσιον ἢ παραπλησίως τοῖς ἐκτεθεῖσιν· ἐν ἑκάστῳ γὰρ τούτων τῶν στίχων τρεῖς παράλληλοι ἢ τέσσαρες ἢ ὁσοιοῦν ληφθέντες τὴν γεωμετρικὴν πρὸς ἀλλήλους ἀποδώσουσιν ἀναλογίαν· ὡς ὁ πρῶτος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως κἀκεῖνος πρὸς τὸν ὑπ' αὐτὸν καὶ πάλιν ἐκεῖνος πρὸς τὸν ἔτι ὑπ' αὐτὸν καὶ τοῦτο μέχρι θέλει τις, καὶ ἀναμίξ· οἷον

β, δ, η·

ὃν γὰρ λόγον ἔχει ὁ η πρὸς τὸν δ, τοῦτον καὶ ὁ δ πρὸς τὸν β καὶ ἀνάπαλιν, οὐ μὴν ἴσην ποσότητα μεταξὺ ἀλλήλων ἔχουσιν· ἢ πάλιν

β, δ, η, ις·

οὐ γὰρ μόνον ὁ ις πρὸς τὸν η τὸν αὐτὸν τοῖς πρόσθεν λόγον ἔχει, εἰ καὶ μὴ διαφοράν, ἀλλὰ καὶ ἀναμὶξ διασώζει τὴν ὁμοίαν σχέσιν, ὡς ὁ ις πρὸς τὸν δ, οὕτως καὶ ὁ η πρὸς τὸν β, καὶ ἔμπαλιν ὡς ὁ β πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν ις, καὶ διεζευγμένως ὡς ὁ β πρὸς τὸν δ, οὕτως ὁ η πρὸς τὸν ις, ἀναστρόφως τε καὶ κατὰ τὸ διεζευγμένον ὡς ὁ ις πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν β· ἔχει γὰρ τὸν διπλασίονα λόγον.

p 67. Ἴδιον δὲ ἔχει ἡ γεωμετρικὴ μεσότης, ὃ μηδεμία 3

4. τετραπλ. ἢ] πενταπλάσιον add. CS τετραπλασίονα α, δ, ις, ξδ, σνς καὶ ἀεὶ οὕτως H — 5. ἐκτεθέσι P — 10. τοῦτο om. C — μέχρις οὗ C μέχρις ἂν ἐθέλῃ S — 11. ἀναμίξ] ἀνάπαλιν C — 13. τοῦτον ἔχει δ P uncis incl. — 13. 14. ἢ πάλιν . . . ις om. C — 17. γὰρ] ὃν add. P — 19. διασώσει H — 24. διπλάσιον P — 24. 25. ἔχει . . . λόγον om. CSH

τῶν λοιπῶν, τὸ τὰς τῶν ὅρων διαφορὰς ἐν λόγῳ πρὸς ἀλλήλας τῷ αὐτῷ εἶναι, ἐν ᾧ καὶ οἱ ὅροι πρὸς τοὺς συνεχεῖς οἱ μείζονες πρὸς τοὺς ἐλάττονας, καὶ τὰς ἀνάπαλιν ὡς οἱ ἀνάπαλιν· ἔτι καὶ ἕτερον ἰδίωμα τὸ τοὺς μείζονας ὅρους διαφορὰν ἔχειν πρὸς τοὺς ἐλάττονας αὐτοὺς τοὺς ἐλάττονας καὶ κατὰ τὰ αὐτὰ διαφορὰν πρὸς διαφορὰν αὐτὴ τῇ ἐλάττονι διαφέρειν ἐν διπλασίῳ λόγῳ ἐκτιθεμένων τῶν ὅρων, ἐν δὲ τριπλασίῳ διαφορὰν ἕξουσι δὶς τὸν ὑπ' αὐτὸν οἱ ὅροι καὶ αἱ διαφοραί, ἐν δὲ τετραπλασίῳ τρὶς καὶ ἐν πενταπλασίῳ τετράκις καὶ τοῦτο μέχρι παντός. 4 οὐ μόνον δὲ ἐν πολλαπλασίοις ἀναλογίαι γίνονται γεωμετρικαί, ἀλλὰ καὶ ἐν ἐπιμορίοις εἴδεσιν ἅπασι καὶ ἐπιμερέσι καὶ μικτοῖς, καὶ τὸ ἐξαίρετον ἰδίωμα τῆς μεσότητος ταύτης ἐπὶ πασῶν σώζεται, τῶν μὲν συνημμένων τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου, τῶν δὲ ἐν διαζεύξει ἢ καὶ ἐν πλείοσιν ὅροις, κἂν μὴ συνημμένοι ὦσιν, ἀρτιοταγεῖς δέ, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων.

5 Παράδειγμα δὲ τοῦ ἐν πάσαις ταῖς σχέσεσι πολυπλασίαις τε παντοίαις καὶ ἐπιμορίοις παντοίαις καὶ ἐπιμερέσι παντοίαις καὶ μικταῖς παντοίαις τὸ τῆς ἀναλογίας ταύτης ἰδίωμα σώζεσθαι ἔστω ἱκανὸν καὶ αὔταρκες ἡμῖν ἐκεῖνο, ἐν ᾧ ἀπὸ ἰσότητος ἐπλάσσο-

---

1. τῶν post τὰς om. *G* — 4. τοὺς ἀνάπαλιν *CH* — ὡς. οἱ ἀνάπ. om. *P* — 5. διαφορὰς ἔχ. *S* — 6. αὐτοὺς τοὺς ἐλάττ. om. *G* — ταῦτα *H* — 7. διαφορᾷ πρὸς *P* — 8. διαπλασίονι *S* — 9. τοὺς ὑπ' αὐτοὺς *H* — 10. ἐν δὲ τετρ. δὲ *G* — 12. ὑποπολλαπλ. *P* πολυπλασίαις ἀναλογίαις *H* — 13. ἐπιμορίοις] μορίοις *G* — 18. μὴ om. *GPH* — συμμένοι *P* — 19. ἴσων τῷ ἀπὸ *G* ἀπὸ *P*; omnes quibus his uerbis utitur Nicom. loci ὑπὸ tuentur; cf. I, 8, 14; 9, 6 cet. (Io. Phil. rec. I, πζ; II, νς.) — 21. καὶ ἐπιμορ. παντ. om. *GP* — 24. ἀπὸ τῆς ἰσότ. *S*

μεν κατὰ τὰ τρία προστάγματα πάντα τὰ τοῦ ἀνίσου εἴδη ἐξ ἀλλήλων ὀρθῶς τε τιθεμένων καὶ ἀναστρεφομένων· ἑκάστη γὰρ πλάσις καὶ ἔκθεσις ἀναλογία ἐστὶ γεωμετρικὴ πάντα τὰ λεχθέντα ἰδιώματα περιέχουσα καὶ τέταρτον τὸ ἔν τε μείζοσιν ὅροις ἔν τε ἐλάττοσι τὸν αὐτὸν διαφυλάττειν λόγον· ἀλλὰ καὶ ἐὰν τὸν κοινὸν στίχον ἑτερομηκῶν τε καὶ τετραγώνων ἐκθώμεθα ἕνα παρ' ἕνα περιέχοντα τοὺς ἐν ἀμφοτέροις αὐτοῖς, εἶτα κατὰ τρεῖς ἀπὸ μονάδος ἀποτεμνόμενοι σκοπῶμεν ἀεὶ τὸν τῶν προτέρων ὕστερον ἀρχὴν τῶν ὑστέρων τιθέμενοι, εὑρήσομεν ἀπὸ πολλαπλασίου σχέσεως, τουτέστι διπλασίου, πάσας τὰς ἐπιμορίους ἑξῆς ἐπιφαινομένας, ἡμιόλιον, εἶτα ἐπίτριτον, εἶτα ἐπιτέταρτον καὶ ἐφεξῆς. εὐκαιρότατον 6
δ' ἂν εἴη ἐνταῦθα γενομένους ἐπιμνησθῆναι παρακολουθήματος χρησιμεύοντος ἡμῖν εἰς Πλατωνικόν
p 69 τι θεώρημα· οἱ μὲν γὰρ ἐπίπεδοι μιᾷ μεσότητι συνέχονται πάντως, οἱ δὲ στερεοὶ δυσὶν ἀνάλογον κειμέναις· δύο γὰρ τετραγώνων συνεχῶν εἷς μόνος εὑρίσκεται μέσος ἀναλογίαν σῴζων γεωμετρικήν, πρόλογος μὲν πρὸς τὸν ἐλάττονα, ὑπόλογος δὲ πρὸς τὸν μείζονα, οὐδέποτε δὲ πλείονες· δύο ἄρα διαστήματα θεωροῦμεν πρὸς ἑκάτερον τῶν ἄκρων αὐτοῦ τοῦ μέσου ἐν σχέσει λόγων ὁμοίων. πάλιν 7
δὲ δύο κύβων συνεχῶν δύο μόνοι εὑρίσκονται ἀνάλογον μέσοι ὅροι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν,

---

2. ἀντιστρεφομένων S — 4. μετρικὴ P — περιέχουσαι G — 5. 6. ἔν τε ἐλ.] καὶ ἐλάσσοσι S — 8. 9. ἔχοντα ἀμφοτέρους αὐτούς C — 11. πολυπλ. H πολλαπλασιασμοῦ P — 13. ἐπιμορίου C — ἀποφαινομ. G — 14. εὐκαιρότερον C — 15. γενομένη G — 16. Πλατων.] Tim. 7; Polit. VIII, 3. — 23. θεωρούμενα P — τῶν ἄκρων om. C — 25. ἀνάλογοι P — 26. ἀναλογίαν] σχέσιν S

πλείονες δὲ οὐδέποτε· τρία ἄρα διαστήματα, ἓν
μὲν τὸ μεταξὺ τῶν μέσων πρὸς ἀλλήλους, δύο δὲ
τὰ μεταξὺ τῶν ἄκρων πρὸς τοὺς μέσους ἑκατέρωθεν.
8 οὕτω τὰ μὲν στερεὰ σχήματα λέγεται τριχῇ δια-
στατά, τὰ δὲ ἐπίπεδα διχῇ, οἷον ὁ α καὶ ὁ δ ἐπίπε-
δοι, μέσος δὲ ἀνάλογον ὁ β, ἢ οἷον δ, ϑ, δύο τετρά-
γωνοι, μέσος δὲ αὐτῶν ἀνάλογον ὁ ϛ ἐν τῷ αὐτῷ
λόγῳ ἐχόμενος ὑπὸ τοῦ μείζονος καὶ ἔχων τὸν ἐλάτ-
9 τονα, ἐν ᾧ καὶ ἡ διαφορὰ διαφορὰν ἔχει. τούτου δ᾽
αἴτιον, ὅτι αἱ τῶν δύο τετραγώνων πλευραί, ἑκατέρα
μία ἰδία, αὐτὸν τὸν ϛ ἅμα ἀμφότεραι ἐγέννησαν· ἐν
δὲ κύβοις, οἷον τῷ η καὶ τῷ κζ, μία μὲν οὐκέτι, δύο
δὲ μεσότητες εὑρίσκονται ὅ τε ιβ καὶ ιη, ἐν τῷ
αὐτῷ λόγῳ ἑαυτάς τε καὶ τοὺς ὅρους ποιοῦσαι, ἐν
ᾧ καὶ αἱ διαφοραὶ αὐτῶν πρὸς ἀλλήλας εἰσί· καὶ
τούτου δ᾽ αἴτιον τὸ τῶν κυβικῶν πλευρῶν μίγδην
σύστημα εἶναι τὰς δύο μεσότητας, δὶς β τρὶς καὶ τρὶς
10 γ δίς. ἐὰν μὲν οὖν καθόλου τετράγωνος τετράγω-
νον λάβῃ, τουτέστι πολυπλασιάσῃ, τετράγωνον πάν-
τως ποιεῖ, ἂν δὲ τετράγωνος ἑτερομήκη [ἢ ἑτερομήκης
τετράγωνον], οὐδέποτε τετράγωνος ἀποτελεῖται, κἂν

5. 6. οἷον ... ἢ om. *H* — 6. οἷον om. *C* — ὁ δ καὶ ὁ ϑ *CS* — δύο τετράγ. om. *H* — 9. διαφορὰ] πρὸς add. *PC* — 10. ἑκατέρου C_2SH — 11. ἰδίως *C* — αὐτὸν τὸν ϛ om. *H* τὸν ϛ om. *CS* — ἀμφότερα *G* — 14. ὅρους] ἄκρους *C* — 16. μίγδην om *H* — 17. δὶς δύο, τρὶς τρεῖς, δὶς *P* τρὶς καὶ τρὶς τρία καὶ δὶς *S* — 19. λάβῃς *G* — πολυπλασιάζῃ *P* — 20. 21. ἑτερομήκη . . . τετράγωνος om. *G* ἐὰν δὲ τετράγωνος ἑτερομήκης, οὐδέπ. *P* ἐὰν δὲ τετράγωνος ἑτερομήκη ἢ ἑτερομήκης ἑτερομήκη, οὐδέπ. *CH* (*S* ?) nostram lectionem tuetur Boëth. II, 35: *sin uero parte altera longior tetragonum multiplicet uel tetragonus parte altera longiorem, numquam cet.;* sed cum ea, quae uncis inclusi, ab utraque scholiorum Ioanneorum recensione (I, πϑ; II, νη) absint, an rectius deleantur, haud scio.

κύβος κύβον, κύβος πάντως γενήσεται, ἐὰν δὲ ἑτερομήκης κύβον [ἢ κύβος ἑτερομήκη], οὐδέποτε κύβος, καθάπερ ἀμέλει ἂν ἄρτιος ἄρτιον πολυπλασιάσῃ, πάντως ἄρτιος γεννᾶται, κἂν περισσὸς περισσόν, πάντως περισσός, ἂν δὲ περισσὸς ἄρτιον ἢ ἄρτιος περισσόν, πάντως ὁ γινόμενος ἔσται ἄρτιος, οὐδέποτε δὲ περισσός. ταῦτα δὲ τῆς οἰκείας σαφηνείας 11
ἐπιλήψεται ἐν τῇ Πλατωνικῇ συναναγνώσει κατὰ τὸν τοῦ λεγομένου γάμου τόπον ἐν τῇ Πολιτείᾳ ἀπὸ προςώπου τῶν Μουσῶν παρειςαγομένου· ὥςτε
p. ἐπὶ τὴν τρίτην ἀναλογίαν τὴν καλουμένην ἁρμονι-
70 κὴν μεταβάντες διαιρῶμεν.

κε. Ἔστι γὰρ ἡ τῇ τρίτῃ τάξει μεσότης ἁρμο- XXV
νικὴ καλουμένη, ὅταν ἐν τρισὶν ὅροις ὁ μέσος θεωρῆται πρὸς τοὺς ἄκρους μήτε ἐν λόγῳ τῷ αὐτῷ ἐξεταζόμενος, τοῦ μὲν πρόλογος, τοῦ δὲ ὑπόλογος, ὡς ἐπὶ τῆς γεωμετρικῆς, μήτε ἐν διαστήμασι μὲν ἴσοις, λόγων δὲ ἑτερότητι, ὡς ἐπὶ τῆς ἀριθμητικῆς, ἀλλ' ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ὅρον ἔχει, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον, οἷον

XXV. Io. Phil. rec. I, ϙα—ρ; rec. II, νθ, ξ. — Iambl. p. 151. 152. — Boëth. II. 36.

1. κύβος] G ubique κῦβος scribit, cf. Anthol. Palat. XIV, 8 — ἑτερομήκης] στερεός add. Io. Phil. I, πθ. — 2. [ἢ κύβος ἑτερομήκη] om. Io. Phil. l. l. κύβος Astius Boëthium secutus addidit; ἐὰν δὲ ἑτερομήκης, κύβον ἑτερομήκη P — 5—7. ἂν δὲ περ. . . . περισσός om. C

XXV. Περὶ μουσικῆς ἀναλογίας G Περὶ ἁρμονικῆς ἀναλ. Cμ Περὶ ἁμονικῆς μεσότητος HΓ — 16. δ' ὑπόλ. GC — 19. ἔχειν G ἔχῃ P — 20. παρὰ] ἡ παρὰ G, om. P

γ, δ, ϛ

ἢ πάλιν

β, γ, ϛ

ὁ γὰρ ϛ τοῦ δ τῷ αὐτοῦ τρίτῳ ὑπερέχει, τρίτον γὰρ τοῦ ϛ τὰ β, καὶ ὁ γ τοῦ δ λείπεται τῷ αὐτοῦ τρίτῳ, τοῦ γὰρ γ τρίτον μονάς· ἐπὶ μὲν γὰρ τοῦ προτέρου ὑποδείγματος οἵ τε ἄκροι ἐν διπλασίῳ λόγῳ καὶ αἱ τούτων πρὸς τὸν μέσον διαφοραὶ πάλιν ἐν τῷ αὐτῷ διπλασίονι πρὸς ἀλλήλας, ἐν δὲ τῷ δευτέρῳ ἑκάτερα ἐν τριπλασίῳ.

2 Ἰδίωμα δὲ ἔχει ὑπεναντίον, ὡς προέφαμεν, τῷ κατὰ τὴν ἀριθμητικήν· ἐκεῖ μὲν γὰρ ἐν τοῖς ἐλάττοσιν ὅροις μείζονες ἦσαν οἱ λόγοι, ἐλάττονες δὲ ἐν τοῖς μείζοσιν, ὧδε δὲ ἀνάπαλιν οἱ μὲν ἐν τοῖς μείζοσι μείζονες, οἱ δὲ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες, ἵνα ὡς ἐν μεσότητι ἀμφοῖν τῇ γεωμετρικῇ εἰκότως ἡ τῶν ἑκατέρωθι λόγων ἰσότης μεταίχμιον οὖσα τοῦ μεί-
3 ζονος καὶ τοῦ ἐλάττονος ἐνθεωρῆται. ἔτι ἐν μὲν τῇ ἀριθμητικῇ ὁ μέσος ἑαυτοῦ μέρει τῷ αὐτῷ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθι φαίνεται, αὐτῶν δὲ ἐκείνων ἄλλῳ καὶ ἄλλῳ μείζων ἢ ἐλάττων, ἐν δὲ τῇ ἁρμονικῇ ταύτῃ ὑπεναντίως· ἑαυτοῦ μὲν γὰρ ὁ μέσος ἑτέρῳ τε καὶ ἑτέρῳ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθί ἐστιν, αὐτῶν δὲ ἐκείνων τῶν ἑκατέρωθι

---

3. β, γ, ϛ] καὶ ὅταν τῷ αὐτῷ μέρει ἑαυτοῦ ὁ μείζων τοῦ μέσου ὑπερέχῃ, ὁ δὲ ἐλάττων ὑπερέχηται add. *C* — 4. αὐτῷ *G* αὐτοῦ *PH* — 5. αὐτοῦ *GPH* — 9. διπλασίῳ *CS* — 10. ἐν τῷ τριπλ. *P*

XXV, 2. α^ον^ ἴδιον inscr. *G* — 11. προέφημεν *C* — 12. ἐν τῷ *S* — 14. ὧδε] ἐνθάδε *S* — 15. ὡς om. *C* — 17. ἑκατέρων *S* — 18. συνθεωρῆται *CH* — 21. ἐκείνων] τῶν ὅρων τῶν add. *P* τῶν ἄκρων *C* — ἄλλῳ μέρει καὶ ἄλλῳ *CS* — 23. τε bis om. *P* — 24. ἑκατέρωθεν bis *SH* — ἐκείνων om. *H* — τῶν om. *GP*

πάντως τῷ αὐτῷ, ἤτοι γὰρ ἑκατέρων ἡμίσει ἢ ἀμ-
φοτέρων τρίτῳ· ἡ δὲ γεωμετρικὴ ὡς ἐν μεταιχμίῳ
ἀμφοῖν οὔτε ἐν τῷ μέσῳ μόνου οὔτε ἐν τοῖς ἄκροις
μόνον, ἀλλὰ καὶ ἐν ἀμφοτέροις, μέσῳ καὶ ἄκρῳ. ἔτι 4
ἡ ἁρμονικὴ ἔχει ἴδιον συμβεβηκὸς τὸ τοὺς ἄκρους
συντεθέντας καὶ πολυπλασιασθέντας ὑπὸ τοῦ μέσου
διπλάσιον ἀποτελεῖν τοῦ ἐξ ἀλλήλων πολυπλασια-
σμοῦ. ἐκλήθη δὲ ἁρμονικὴ ἡ τοιαύτη μεσότης, ὅτι ἡ 5
P μὲν ἀριθμητικὴ ποσῷ διεκρίνετο ἰσότητα κατὰ τοῦτο
71 ἐν τῇ τῶν ὅρων διαστάσει πρὸς ἀλλήλους παρεχο-
μένη, ἡ δὲ γεωμετρικὴ ποιότητι τὰς σχέσεις ὁμοίας
κατὰ τὸ ποιὸν τῶν ὅρων πρὸς ἀλλήλους ἀποδιδοῦσα,
αὕτη δὲ κατὰ τὸ πρὸς ἕτερόν πως ἐν ἑτέροις καὶ
ἑτέροις εἴδεσι φανταζομένη· οὔτε γὰρ ἐν ὅροις μόνον
οὔτε ἐν διαφοραῖς μόνον, ἀλλ' ἐκ μέρους μὲν ἐν
ὅροις, ἐκ μέρους δὲ ἐν διαφοραῖς· ὡς γὰρ ὁ μέγιστος
πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ τοῦ μεγί-
στου διαφορὰ πρὸς τὸν παρ' αὐτὸν μέσον πρὸς
τὴν τοῦ ἐλαχίστου πρὸς τὸν αὐτὸν μέσον καὶ ἀνά-
παλιν.

---

1. ἑκατέρων] ἀμφοτέρων *H* — 3. τῷ om. *GPC* — 4 καὶ ἐν om. *H* ἅμα add. *GPC* — 8. ἡ τοιαύτη om. *S* — 11. ὁμοίως *H* — 13. ἑτέροις καὶ om. *P* — 14. φανταζομένη] haecce addit *P*: ἐφεξῆς πάντων κατὰ συνέχειαν κειμένων τῶν ἀριθμῶν ἀεὶ ὁ δεύτερος τοῦ πρὸ αὐτοῦ, ὑπερέχει μονάδι· ὁ δύο, τοῦ ἑνός· ὁ γ¯, τοῦ β¯· ὁ δ¯, τοῦ γ¯. λόγοι δέ, οὐχ οἱ αὐτοί· ὁ μὲν γὰρ δ¯, τοῦ γ¯ ἐστιν ἐπίτριτος· ὁ δὲ γ¯, τοῦ β¯ ἡμιόλιος· ὁ δὲ δύο, τῆς μονάδος διπλάσιος. οὔτε κτλ. — 16. ὁ μέγιστος] ὁ μείζων *GP* — 18. πρὸς ... μέσον] πρὸς αὐτὸν τὸν μέσον *S* πρὸς τὴν παρ' αὐτόν, suprascr. μέσον *S*. — 18. 19. πρὸς τὴν ... ἀνάπαλιν] πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον *H* — 19. μέσον om. *C*

XXIII κγ. Ἔστιν οὖν ἀριθμητικὴ μεσότης, ὅταν τριῶν ἢ πλειόνων ὅρων ἐφεξῆς ἀλλήλοις κειμένων ἢ ἐπινοουμένων ἡ αὐτὴ κατὰ ποσότητα διαφορὰ εὑρίσκηται μεταξὺ τῶν ἐφεξῆς ὑπάρχουσα, μὴ μέντοι λόγος ὁ αὐτὸς ἐν τοῖς ὅροις πρὸς ἀλλήλους γίνηται, οἷον

α, β, γ, δ, ε, ϛ, ζ, η, ϑ, ι, ια, ιβ, ιγ·

ἐν γὰρ τῇ φυσικῇ ταύτῃ ἐκθέσει τοῦ ἀριθμοῦ συνεχῶς καὶ ἀνυπερβάτως ἐξεταζομένῃ εὑρίσκεται πᾶς P ὁςτιςοῦν ὅρος δυεῖν ἀνὰ μέσον τεταγμένος τὴν ἀριθ- 65 μητικὴν πρὸς αὐτοὺς διασώζων μεσότητα· ἴσαι γὰρ αἱ διαφοραὶ αὐτοῦ εἰσι πρὸς τοὺς ἑκατέρωθεν τεταγμένους, οὐ μὴν ἔτι καὶ λόγος ὁ αὐτὸς σώζεται ἐν αὐτοῖς.

2 ἐπιστάμεθα δέ, ὡς ἐν τῇ τοιαύτῃ ἐκθέσει συνημμένη τε καὶ διεζευγμένη γίνεται μεσότης· εἰ μὲν γὰρ ὁ αὐτὸς μέσος ὅρος πρόλογός τε καὶ ὑπόλογος πρὸς τοὺς ἑκατέρωθεν ὑπακούοι, συνημμένη ἂν εἴη, εἰ δὲ σὺν αὐτῷ ἕτερος, διεζευγμένη γίνεται μεσότης.

3 ἐὰν μὲν οὖν ἐκ τῆς ἐκθέσεως ταύτης τρεῖς ἀποτεμόμενοι οὕςτιναςοῦν παραλλήλους κατὰ τὴν συνημμένην σκοπῶμεν ἢ τέσσαρας ἢ πλείους κατὰ τὴν διεζευγμένην, μονὰς ἂν εἴη πάντων ἡ διαφορά, λόγοι δὲ ἕτεροι ἐκ παντός· ἐὰν δὲ μὴ παραλλήλους, ἀλλὰ διεχεῖς, κατὰ ἴσην μέντοι παράλειψιν, πάλιν δὲ ἤτοι τρεῖς ἢ πλέονας, εἰ μὲν εἷς ὁ παραλειπόμε-

---

XXIII. Io. Phil. rec. I, οε—πβ; rec. II, να—νη. — Iambl. p. 142—147. — Boëth. II. 32.

XXIII. *Περὶ ἀριθμητικῆς μεσότητος* GHΓ *Περὶ ἀρ. ἀναλογίας* CμS — 5. *γίνεται* P — 8. *ἀνεπιβάτως* G — *ἐξεταζομένων* S — 12. *ἔτι* om. C — 13. *τῇ αὐτῃ* G — 17. 18. *γίν. μεσότης* om. H — 18. *ϑέσεως* P — 22. *ἐκ παντὸς*] *παντως* S — 23. *παράλεψιν* G *-ληψιν* P

νος εἴη καθ' ἑκάστην θέσιν ὅρου, δυὰς ἔσται ἡ διαφορὰ πάντων, καὶ πάλιν ἐν τρισὶ μὲν συνημμένη, ἐν πλείοσι δὲ διῃρημένη· εἰ δὲ δύο οἱ παραλειπόμενοι, τριὰς πάντως ἡ διαφορὰ ἐν ἅπασι συνημμένοις τε καὶ διεζευγμένοις, εἰ δὲ τρεῖς, τετράς, εἰ δὲ τέσσαρας, πεντάς, καὶ τοῦτο ἐφ' ὁποσονοῦν. μετέχει 4
ἄρα ἡ τοιαύτη ποσοῦ μὲν ἴσου ἐν ταῖς διαφοραῖς, ποιοῦ δὲ οὐκέτι ἴσου· διὰ τοῦτο ἀριθμητική· εἰ δ' ἔμπαλιν ποιοῦ μὲν ὁμοίου μετεῖχε, ποσοῦ δὲ οὔ, ἦν ἂν γεωμετρικὴ ἀντὶ ἀριθμητικῆς. ἴδιον δὲ ὑπάρχει 5
τῆσδε τῆς μεσότητος, ὃ μηδεμιᾷ ἄλλῃ συμβέβηκε, τὸ κατὰ σύνθεσιν τῶν ἄκρων ὑποδιπλάσιον ἢ ἶσον τὸ μέσον εἶναι, ἄν τε συνημμένως ἄν τε διεζευγμένως σκοπῆται ἄν τε ἐναλλάξ· ἢ γὰρ τὸ μέσον σὺν ἑαυτῷ ἢ τὰ μέσα σὺν ἀλλήλοις ἶσα τῇ τῶν ἄκρων συνθέσει. ἔτι καὶ ἄλλο ἔχει ἴδιον· ὃν γὰρ ἔχει λόγον ἕκαστος 6
ὅρος πρὸς ἑαυτόν, τοῦτον αἱ διαφοραὶ πρὸς τὰς διαφοράς, τουτέστιν ἐν ἰσότητί εἰσιν· ἔτι τὸ γλαφυρώτατον καὶ τοὺς πολλοὺς λεληθός, τὸ ὑπὸ τῶν ἄκρων γινόμενον συγκρινόμενον τῷ ἀπὸ τοῦ μέσου ἔλαττον αὐτοῦ εὑρίσκεται τῷ ὑπὸ τῶν διαφορῶν, ἐάν τε μονάδες ὦσιν ἐάν τε δυάδες ἐάν τε τριάδες ἐάν τε τετράδες ἐάν τε ὁςτιςοῦν ἀριθμός· τέταρτον δέ, ὃ

---

1. *θέσιν* om. *P* — 3. *εἰ*] *οἱ* *G* — *παραλειπ.*] *εἶεν* add. *S* — 5. *διεζευγμένοις*] *διῃρημένοις* *PC* — 7. *ἡ τοιαύτη*] *αὕτη* *SH* — 9. *ὁμοίως* *G* — *μετέχει* *P* — 11. *τῆςδε*] *ταύτης* *S* — 12. *ὑποδιπλάσιος* *G* — 12. 13. *τὸ μέσον* ante *ἤ*, om. *εἶναι* *H* *διπλάσιον τοῦ μέσου ἢ ἶσον τοῖς μέσοις εἶναι* *C* — 14. *αὐτῷ* *H* — 16. *ὃν γὰρ ἔχει κτλ.*] cf. Io. Phil. I, *οθ*: . . . . *ψυχρὸν δὲ τὸ αὐτὸ ἑαυτῷ ἶσον λέγων τὸν μέσον· τὸ γὰρ ἶσον ἑτέρῳ τινί ἐστιν ἶσον, οὐχ ἑαυτῷ κτλ.* — rec. II, *νγ*: *ἐπιλαμβάνονταί τινες αὐτοῦ* . . . . *ἀγνοοῦντες, ὅτι μάλιστα καὶ πρώτως τὸ ἶσον ἐν τῷ ἑνὶ θεωρεῖται κτλ.* — 17. *τὰς* om. *GPC* — 18. *εἰσιν*] *ἴση* *P*

καὶ οἱ πρόσθεν πάντες ἐσημειώσαντο, οἱ ἐν τοῖς P
ἐλάττοσιν ὅροις λόγοι συγκρινόμενοι πρὸς τοὺς ἐν 66
τοῖς μείζοσι μείζονές εἰσι· δειχθήσονται δὲ ἐν τῇ ἁρμονικῇ ἐναντίως οἱ ἐν τοῖς μείζοσι μείζονες καὶ οἱ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες· διὰ τοῦτο ὑπεναντία ἡ ἁρμονικὴ μεσότης τῇ ἀριθμητικῇ, μεταίχμιον δὲ αὐτῶν ὥςπερ ἀκροτήτων ἐστὶν ἡ γεωμετρικὴ ἔχουσα τοὺς ἐν τοῖς μείζοσιν ὅροις λόγους καὶ τοὺς ἐν τοῖς ἐλάττοσιν ἀλλήλοις ἴσους· ἐν μεσότητι δὲ ἡμῖν ὤφθη τὸ ἴσον τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. τοσάδε ἡμῖν περὶ τῆς ἀριθμητικῆς μεσότητος.

XXIV κδ. Ἡ δὲ ἐπὶ ταύτῃ συνεχὴς γεωμετρικὴ μεσότης κυρίως ἀναλογία μόνη καλουμένη διὰ τὸ ἀνὰ τὸν αὐτὸν λόγον θεωρεῖσθαι πρὸς ἀλλήλους τοὺς ἐν αὐτῇ ὅρους· ἔστι δέ, ὅταν τριῶν ὅρων ἢ πλειόνων ὡς ἔχει ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως αὐτὸς πρὸς τὸν ὑποβεβηκότα ἔχῃ, ἐὰν δὲ πλείονες ὅροι εἶεν, καὶ αὐτὸς πάλιν πρὸς τὸν ὑπ' αὐτόν, ποσότητι μέντοι μὴ τῇ αὐτῇ διαφέρωσιν ἀλλήλων, ἀλλὰ λόγου ποιότητι τῇ αὐτῇ, ἐναντίως ἢ ἐπὶ τῆς
2 ἀριθμητικῆς ὤφθη. οἷον ὑποδείγματος χάριν ἐκκείσθωσαν οἱ ἀπὸ μονάδος κατὰ διπλάσιον λόγον προχωροῦντες

XXIV. Io. Phil. rec. I, πγ—ϟ; rec. II, νδ—νη. — Iambl. p. 147—151. — Boëth. II, 33—35.

2. λόγοις *P* — 4. 5. καὶ οἱ . . . ἐλάττονες om. *H* — 7. ὥςπερ ἀκρ. ἐστ. om. *H* — 11. τόσα μὲν *S* — ἡμῖν] δὴ *C*

XXIV. Περὶ γεωμετρικῆς μεσότητος *HΓ* Περὶ [τῆς *S*] γεωμετρικῆς ἀναλογίας *CμS* — 12. ταύτης *P* — 13. τὸ ἀνὰ om. *P* — 15. πλειόνων] ὅρων add. *S* — 16. ἔχει om. *H* — 17. ἔχει *S* — 17. 18. ἐὰν δὲ . . . εἶεν] καὶ εἰ πλ. οἱ ὅρ. εἶεν *C*, *H* post ὑπ' αὐτόν. εἰ δὲ πλ. εἶεν οἱ ὅρ. *S* — 19. μὴ] οὐ *H* — 20. λόγον *G* — 22. διπλασίονα *SH*

α, β, δ, η, ις, λβ, ξδ

καὶ ἐπ' ἄπειρον, ἢ κατὰ τριπλασίονα

α, γ, ϑ, κζ, πα, σμγ

καὶ ἐφεξῆς ἢ κατὰ τετραπλάσιον ἢ παραπλησίως τοῖς ἐκτεϑεῖσιν· ἐν ἑκάστῳ γὰρ τούτων τῶν στίχων τρεῖς παράλληλοι ἢ τέσσσαρες ἢ ὁσοιοῦν ληφϑέντες τὴν γεωμετρικὴν πρὸς ἀλλήλους ἀποδώσουσιν ἀναλογίαν· ὡς ὁ πρῶτος πρὸς τὸν ὑπ' αὐτόν, οὕτως κἀκεῖνος πρὸς τὸν ὑπ' αὐτὸν καὶ πάλιν ἐκεῖνος πρὸς τὸν ἔτι ὑπ' αὐτὸν καὶ τοῦτο μέχρι ϑέλει τις, καὶ ἀναμίξ· οἷον

β, δ, η·

ὃν γὰρ λόγον ἔχει ὁ η πρὸς τὸν δ, τοῦτον καὶ ὁ δ πρὸς τὸν β καὶ ἀνάπαλιν, οὐ μὴν ἴσην ποσότητα μεταξὺ ἀλλήλων ἔχουσιν· ἢ πάλιν

β, δ, η, ις·

οὐ γὰρ μόνον ὁ ις πρὸς τὸν η τὸν αὐτὸν τοῖς πρόσϑεν λόγον ἔχει, εἰ καὶ μὴ διαφοράν, ἀλλὰ καὶ ἀναμὶξ διασώζει τὴν ὁμοίαν σχέσιν, ὡς ὁ ις πρὸς τὸν δ, οὕτως καὶ ὁ η πρὸς τὸν β, καὶ ἔμπαλιν ὡς ὁ β πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν ις, καὶ διεζευγμένως ὡς ὁ β πρὸς τὸν δ, οὕτως ὁ η πρὸς τὸν ις, ἀναστρόφως τε καὶ κατὰ τὸ διεζευγμένον ὡς ὁ ις πρὸς τὸν η, οὕτως καὶ ὁ δ πρὸς τὸν β· ἔχει γὰρ τὸν διπλασίονα λόγον.

p. 67. Ἴδιον δὲ ἔχει ἡ γεωμετρικὴ μεσότης, ὃ μηδεμία 3

4. τετραπλ. ἢ] πενταπλάσιον add. *CS* τετραπλασίονα α, δ, ις, ξδ, σνς καὶ ἀεὶ οὕτως *H* — 5. ἐκτεϑέσι *P* — 10. τοῦτο om. *C* — μέχρις οὗ *C* μέχρις ἂν ἐϑέλῃ *S* — 11. ἀναμίξ] ἀνάπαλιν *C* — 13. τοῦτον ἔχει δ *P* uncis incl. — 13. 14. ἢ πάλιν . . . ις om. *C* — 17. γὰρ] ὃν add. *P* — 19. διασώσει *H* — 24. διπλάσιον *P* — 24. 25. ἔχει . . . λόγον om. *CSH*

τῶν λοιπῶν, τὸ τὰς τῶν ὅρων διαφορὰς ἐν λόγῳ
πρὸς ἀλλήλας τῷ αὐτῷ εἶναι, ἐν ᾧ καὶ οἱ ὅροι πρὸς
τοὺς συνεχεῖς οἱ μείζονες πρὸς τοὺς ἐλάττονας, καὶ
τὰς ἀνάπαλιν ὡς οἱ ἀνάπαλιν· ἔτι καὶ ἕτερον ἰδίωμα
τὸ τοὺς μείζονας ὅρους διαφορὰν ἔχειν πρὸς τοὺς
ἐλάττονας αὐτοὺς τοὺς ἐλάττονας καὶ κατὰ τὰ αὐτὰ
διαφορὰν πρὸς διαφορὰν αὐτῇ τῇ ἐλάττονι διαφέ-
ρειν ἐν διπλασίῳ λόγῳ ἐκτιθεμένων τῶν ὅρων, ἐν
δὲ τριπλασίῳ διαφορὰν ἕξουσι δὶς τὸν ὑπ' αὐτὸν οἱ
ὅροι καὶ αἱ διαφοραί, ἐν δὲ τετραπλασίῳ τρὶς καὶ
ἐν πενταπλασίῳ τετράκις καὶ τοῦτο μέχρι παντός.
οὐ μόνον δὲ ἐν πολλαπλασίοις ἀναλογίαι γίνονται 4
γεωμετρικαί, ἀλλὰ καὶ ἐν ἐπιμορίοις εἴδεσιν ἅπασι
καὶ ἐπιμερέσι καὶ μικτοῖς, καὶ τὸ ἐξαίρετον ἰδίωμα
τῆς μεσότητος ταύτης ἐπὶ πασῶν σώζεται, τῶν μὲν
συνημμένων τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ
μέσου, τῶν δὲ ἐν διαζεύξει ἢ καὶ ἐν πλείοσιν ὅροις,
κἂν μὴ συνημμένοι ὦσιν, ἀρτιοταγεῖς δέ, τὸ ὑπὸ
τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων.

Παράδειγμα δὲ τοῦ ἐν πάσαις ταῖς σχέσεσι πο- 5
λυπλασίαις τε παντοίαις καὶ ἐπιμορίοις παντοίαις καὶ
ἐπιμερέσι παντοίαις καὶ μικταῖς παντοίαις τὸ τῆς
ἀναλογίας ταύτης ἰδίωμα σώζεσθαι ἔστω ἱκανὸν καὶ
αὔταρκες ἡμῖν ἐκεῖνο, ἐν ᾧ ἀπὸ ἰσότητος ἐπλάσσο-

---

1. *τῶν* post *τὰς* om. *G* — 4. *τοὺς ἀνάπαλιν CH* — *ὡς. οἱ ἀνάπ.* om. *P* — 5. *διαφορὰς ἔχ. S* — 6. *αὐτοὺς τοὺς ἐλάττ.* om. *G* — *ταῦτα H* — 7. *διαφορᾷ πρὸς P* — 8. *διαπλασίονι S* — 9. *τοὺς ὑπ' αὐτοὺς H* — 10. *ἐν δὲ τετρ. δὲ G* — 12. *ὑποπολλαπλ. P* *πολυπλασίαις ἀναλογίαις H* — 13. *ἐπιμορίοις*] *μορίοις G* — 18. *μὴ* om. *GPH* — *συμμένοι P* — 19. *ἴσων τῷ ἀπὸ G* *ἀπὸ P*; omnes quibus his uerbis utitur Nicom. loci *ὑπὸ* tuentur; cf. I, 8, 14; 9, 6 cet. (Io. Phil. rec. I, *πζ*; II, *νς*.) — 21. *καὶ ἐπιμορ. παντ.* om. *GP* — 24. *ἀπὸ τῆς ἰσότ. S*

μὲν κατὰ τὰ τρία προςτάγματα πάντα τὰ τοῦ ἀνίσου
εἴδη ἐξ ἀλλήλων ὀρθῶς τε τιθεμένων καὶ ἀναστρε-
φομένων· ἑκάστη γὰρ πλάσις καὶ ἔκθεσις ἀναλογία
ἐστὶ γεωμετρικὴ πάντα τὰ λεχθέντα ἰδιώματα περι-
έχουσα καὶ τέταρτον τὸ ἔν τε μείζοσιν ὅροις ἔν τε
ἐλάττοσι τὸν αὐτὸν διαφυλάττειν λόγον· ἀλλὰ καὶ
ἐὰν τὸν κοινὸν στίχον ἑτερομηκῶν τε καὶ τετραγώ-
νων ἐκθώμεθα ἕνα παρ' ἕνα περιέχοντα τοὺς ἐν
ἀμφοτέροις αὐτοῖς, εἶτα κατὰ τρεῖς ἀπὸ μονάδος ἀπο-
τεμνόμενοι σκοπῶμεν αἰεὶ τὸν τῶν προτέρων ὕστερον
ἀρχὴν τῶν ὑστέρων τιθέμενοι, εὑρήσομεν ἀπὸ πολ-
λαπλασίου σχέσεως, τουτέστι διπλασίου, πάσας τὰς
ἐπιμορίους ἑξῆς ἐπιφαινομένας, ἡμιόλιον, εἶτα ἐπί-
τριτον, εἶτα ἐπιτέταρτον καὶ ἐφεξῆς. εὐκαιρότατον 6
δ' ἂν εἴη ἐνταῦθα γενομένους ἐπιμνησθῆναι παρα-
p κολουθήματος χρησιμεύοντος ἡμῖν εἰς Πλατωνικόν
69 τι θεώρημα· οἱ μὲν γὰρ ἐπίπεδοι μιᾷ μεσότητι συνέ-
χονται πάντως, οἱ δὲ στερεοὶ δυσὶν ἀνάλογον κειμέ-
ναις· δύο γὰρ τετραγώνων συνεχῶν εἷς μόνος εὑ-
ρίσκεται μέσος ἀναλογίαν σώζων γεωμετρικήν,
πρόλογος μὲν πρὸς τὸν ἐλάττονα, ὑπόλογος δὲ πρὸς
τὸν μείζονα, οὐδέποτε δὲ πλείονες· δύο ἄρα δια-
στήματα θεωροῦμεν πρὸς ἑκάτερον τῶν ἄκρων
αὐτοῦ τοῦ μέσου ἐν σχέσει λόγων ὁμοίων. πάλιν 7
δὲ δύο κύβων συνεχῶν δύο μόνοι εὑρίσκονται ἀνά-
λογον μέσοι ὅροι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν,

---

2. ἀντιστρεφομένων S — 4. μετρικὴ P — περιέχουσαι G — 5. 6. ἔν τε ἐλ.] καὶ ἐλάσσοσι S — 8. 9. ἔχοντα ἀμφοτέρους αὐτοὺς C — 11. πολυπλ. H πολλαπλασιασμοῦ P — 13. ἐπιμορίου C — ἀποφαινομ. G — 14. εὐκαιρότερον C — 15. γενομένη G — 16. Πλατων.] Tim. 7; Polit. VIII, 3. — 23. θεωρούμενα P — τῶν ἄκρων om. C — 25. ἀνάλογοι P — 26. ἀναλογίαν] σχέσιν S

πλείονες δὲ οὐδέποτε· τρία ἄρα διαστήματα, ἓν μὲν τὸ μεταξὺ τῶν μέσων πρὸς ἀλλήλους, δύο δὲ τὰ μεταξὺ τῶν ἄκρων πρὸς τοὺς μέσους ἑκατέρωθεν.
8 οὕτω τὰ μὲν στερεὰ σχήματα λέγεται τριχῇ διαστατά, τὰ δὲ ἐπίπεδα διχῇ, οἷον ὁ α καὶ ὁ δ ἐπίπεδοι, μέσος δὲ ἀνάλογον ὁ β, ἢ οἷον δ, ϑ, δύο τετράγωνοι, μέσος δὲ αὐτῶν ἀνάλογον ὁ ϛ ἐν τῷ αὐτῷ λόγῳ ἐχόμενος ὑπὸ τοῦ μείζονος καὶ ἔχων τὸν ἐλάττονα, ἐν ᾧ καὶ ἡ διαφορὰ διαφορὰν ἔχει.
9 τούτου δ' αἴτιον, ὅτι αἱ τῶν δύο τετραγώνων πλευραί, ἑκατέρα μία ἰδία, αὐτὸν τὸν ϛ ἅμα ἀμφότεραι ἐγέννησαν· ἐν δὲ κύβοις, οἷον τῷ η καὶ τῷ κζ, μία μὲν οὐκέτι, δύο δὲ μεσότητες εὑρίσκονται ὅ τε ιβ καὶ ιη, ἐν τῷ αὐτῷ λόγῳ ἑαυτάς τε καὶ τοὺς ὅρους ποιοῦσαι, ἐν ᾧ καὶ αἱ διαφοραὶ αὐτῶν πρὸς ἀλλήλας εἰσί· καὶ τούτου δ' αἴτιον τὸ τῶν κυβικῶν πλευρῶν μίγδην σύστημα εἶναι τὰς δύο μεσότητας, δὶς β τρὶς καὶ τρὶς γ δίς.
10 ἐὰν μὲν οὖν καθόλου τετράγωνος τετράγωνον λάβῃ, τουτέστι πολυπλασιάσῃ, τετράγωνον πάντως ποιεῖ, ἂν δὲ τετράγωνος ἑτερομήκη [ἢ ἑτερομήκης τετράγωνον], οὐδέποτε τετράγωνος ἀποτελεῖται, κἂν

5. 6. *οἷον . . . ἢ* om. *H* — 6. *οἷον* om. *C* — *ὁ δ καὶ ὁ ϑ CS* — *δύο τετράγ.* om. *H* — 9. *διαφορὰ*] *πρὸς* add. *PC* — 10. *ἑκατέρου* C_2*SH* — 11. *ἰδίως C* — *αὐτὸν τὸν ϛ* om. *H* *τὸν ϛ* om. *CS* — *ἀμφότερα G* — 14. *ὅρους*] *ἄκρους C* — 16. *μίγδην* om *H* — 17. *δὶς δύο, τρὶς τρεῖς, δὶς P* *τρὶς καὶ τρὶς τρία καὶ δὶς S* — 19. *λάβῃς G* — *πολυπλασιάζῃ P* — 20. 21. *ἑτερομήκη . . . τετράγωνος* om. *G* *ἐὰν δὲ τετράγωνος ἑτερομήκης, οὐδέπ. P* *ἐὰν δὲ τετράγωνος ἑτερομήκη ἢ ἑτερομήκης ἑτερομήκη, οὐδέπ. CH* (*S* ?) nostram lectionem tuetur Boëth. II, 35: *sin uero parte altera longior tetragonum multiplicet uel tetragonus parte altera longiorem, numquam cet.*; sed cum ea, quae uncis inclusi, ab utraque scholiorum Ioanneorum recensione (I, *πϑ*; II, *νη*) absint, an rectius deleantur, haud scio.

κύβος κύβον, κύβος πάντως γενήσεται, ἐὰν δὲ ἑτερομήκης κύβον [ἢ κύβος ἑτερομήκη], οὐδέποτε κύβος, καθάπερ ἀμέλει ἂν ἄρτιος ἄρτιον πολυπλασιάσῃ, πάντως ἄρτιος γεννᾶται, κἂν περισσὸς περισσόν, πάντως περισσός, ἂν δὲ περισσὸς ἄρτιον ἢ ἄρτιος περισσόν, πάντως ὁ γινόμενος ἔσται ἄρτιος, οὐδέποτε δὲ περισσός. ταῦτα δὲ τῆς οἰκείας σαφηνείας 11
ἐπιλήψεται ἐν τῇ Πλατωνικῇ συναναγνώσει κατὰ τὸν τοῦ λεγομένου γάμου τόπον ἐν τῇ Πολιτείᾳ ἀπὸ προσώπου τῶν Μουσῶν παρειςαγομένου· ὥςτε
P *ἐπὶ τὴν τρίτην ἀναλογίαν τὴν καλουμένην ἁρμονι-*
70 *κὴν μεταβάντες διαιρῶμεν.*

κε. Ἔστι γὰρ ἡ τῇ τρίτῃ τάξει μεσότης ἁρμο- XXV
νικὴ καλουμένη, ὅταν ἐν τρισὶν ὅροις ὁ μέσος θεωρῆται πρὸς τοὺς ἄκρους μήτε ἐν λόγῳ τῷ αὐτῷ ἐξεταζόμενος, τοῦ μὲν πρόλογος, τοῦ δὲ ὑπόλογος, ὡς ἐπὶ τῆς γεωμετρικῆς, μήτε ἐν διαστήμασι μὲν ἴσοις, λόγων δὲ ἑτερότητι, ὡς ἐπὶ τῆς ἀριθμητικῆς, ἀλλ' ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ὅρον ἔχει, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον, οἷον

XXV. Io. Phil. rec. I, ϙα—ρ; rec. II, νθ, ξ. — Iambl. p. 151. 152. — Boëth. II. 36.

1. *κύβος*] *G* ubique *κῦβος* scribit, cf. Anthol. Palat. XIV, 8 — *ἑτερομήκης*] *στερεός* add. Io. Phil. I, *πθ*. — 2. [*ἢ κύβος ἑτερομήκη*] om. Io. Phil. l. l. *κύβος* Astius Boëthium secutus addidit; *ἐὰν δὲ ἑτερομήκης, κύβον ἑτερομήκη P* — 5—7. *ἂν δὲ περ. . . . περισσός* om. *C*

XXV. *Περὶ μουσικῆς ἀναλογίας G Περὶ ἁρμονικῆς ἀναλ. Cμ Περὶ ἁρμονικῆς μεσότητος HΓ* — 16. *δ' ὑπόλ. GC* — 19. *ἔχειν G ἔχῃ P* — 20. *παρὰ*] *ἡ παρὰ G*, om. *P*

γ, δ, ς

ἢ πάλιν

β, γ, ς

ὁ γὰρ ς τοῦ δ τῷ αὐτοῦ τρίτῳ ὑπερέχει, τρίτον γὰρ τοῦ ς τὰ β, καὶ ὁ γ τοῦ δ λείπεται τῷ αὐτοῦ τρίτῳ, τοῦ γὰρ γ τρίτον μονάς· ἐπὶ μὲν γὰρ τοῦ προτέρου ὑποδείγματος οἵ τε ἄκροι ἐν διπλασίῳ λόγῳ καὶ αἱ τούτων πρὸς τὸν μέσον διαφοραὶ πάλιν ἐν τῷ αὐτῷ διπλασίονι πρὸς ἀλλήλας, ἐν δὲ τῷ δευτέρῳ ἑκατέρα ἐν τριπλασίῳ.

2 Ἰδίωμα δὲ ἔχει ὑπεναντίον, ὡς προέφαμεν, τῷ κατὰ τὴν ἀριθμητικήν· ἐκεῖ μὲν γὰρ ἐν τοῖς ἐλάττοσιν ὅροις μείζονες ἦσαν οἱ λόγοι, ἐλάττονες δὲ ἐν τοῖς μείζοσιν, ὧδε δὲ ἀνάπαλιν οἱ μὲν ἐν τοῖς μείζοσι μείζονες, οἱ δὲ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες, ἵνα ὡς ἐν μεσότητι ἀμφοῖν τῇ γεωμετρικῇ εἰκότως ἡ τῶν ἑκατέρωθι λόγων ἰσότης μεταίχμιον οὖσα τοῦ μεί-
3 ζονος καὶ τοῦ ἐλάττονος ἐνθεωρῆται. ἔτι ἐν μὲν τῇ ἀριθμητικῇ ὁ μέσος ἑαυτοῦ μέρει τῷ αὐτῷ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθι φαίνεται, αὐτῶν δὲ ἐκείνων ἄλλῳ καὶ ἄλλῳ μείζων ἢ ἐλάττων, ἐν δὲ τῇ ἁρμονικῇ ταύτῃ ὑπεναντίως· ἑαυτοῦ μὲν γὰρ ὁ μέσος ἑτέρῳ τε καὶ ἑτέρῳ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθί ἐστιν, αὐτῶν δὲ ἐκείνων τῶν ἑκατέρωθι

3. β, γ, ς] καὶ ὅταν τῷ αὐτῷ μέρει ἑαυτοῦ ὁ μείζων τοῦ μέσου ὑπερέχῃ, ὁ δὲ ἐλάττων ὑπερέχηται add. C — 4. αὐτῷ G αὐτοῦ PH — 5. αὐτοῦ GPH — 9. διπλασίῳ CS — 10. ἐν τῷ τριπλ. P

XXV, 2. α^ον ἴδιον inscr. G — 11. προέφημεν C — 12. ἐν τῷ S — 14. ὧδε] ἐνθάδε S — 15. ὡς om. C — 17. ἑκατέρων S — 18. συνθεωρῆται CH — 21. ἐκείνων] τῶν ὅρων τῶν add. P τῶν ἄκρων C — ἄλλῳ μέρει καὶ ἄλλῳ CS — 23. τε bis om. P — 24. ἑκατέρωθεν bis SH — ἐκείνων om. H — τῶν om. GP

πάντως τῷ αὐτῷ, ἤτοι γὰρ ἑκατέρων ἡμίσει ἢ ἀμφοτέρων τρίτῳ· ἡ δὲ γεωμετρικὴ ὡς ἐν μεταιχμίῳ ἀμφοῖν οὔτε ἐν τῷ μέσῳ μόνου οὔτε ἐν τοῖς ἄκροις μόνον, ἀλλὰ καὶ ἐν ἀμφοτέροις, μέσῳ καὶ ἄκρῳ. ἔτι 4
ἡ ἁρμονικὴ ἔχει ἴδιον συμβεβηκὸς τὸ τοὺς ἄκρους συντεθέντας καὶ πολυπλασιασθέντας ὑπὸ τοῦ μέσου διπλάσιον ἀποτελεῖν τοῦ ἐξ ἀλλήλων πολυπλασιασμοῦ. ἐκλήθη δὲ ἁρμονικὴ ἡ τοιαύτη μεσότης, ὅτι ἡ 5
P μὲν ἀριθμητικὴ ποσῷ διεκρίνετο ἰσότητα κατὰ τοῦτο
71 ἐν τῇ τῶν ὅρων διαστάσει πρὸς ἀλλήλους παρεχομένη, ἡ δὲ γεωμετρικὴ ποιότητι τὰς σχέσεις ὁμοίας κατὰ τὸ ποιὸν τῶν ὅρων πρὸς ἀλλήλους ἀποδιδοῦσα, αὕτη δὲ κατὰ τὸ πρός ἕτερόν πως ἐν ἑτέροις καὶ ἑτέροις εἴδεσι φανταζομένη· οὔτε γὰρ ἐν ὅροις μόνον οὔτε ἐν διαφοραῖς μόνον, ἀλλ' ἐκ μέρους μὲν ἐν ὅροις, ἐκ μέρους δὲ ἐν διαφοραῖς· ὡς γὰρ ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ πρὸς τὸν παρ' αὐτὸν μέσον πρὸς τὴν τοῦ ἐλαχίστου πρὸς τὸν αὐτὸν μέσον καὶ ἀνάπαλιν.

---

1. ἑκατέρων] ἀμφοτέρων *H* — 3. τῷ om. *GPC* — 4 καὶ ἐν om. *H* ἅμα add. *GPC* — 8. ἡ τοιαύτη om. *S* — 11. ὁμοίως *H* — 13. ἑτέροις καὶ om. *P* — 14. φανταζομένη] haecce addit *P*: ἑφεξῆς πάντων κατὰ συνέχειαν κειμένων τῶν ἀριθμῶν ἀεὶ ὁ δεύτερος τοῦ πρὸ αὐτοῦ ὑπερέχει μονάδι· ὁ δύο, τοῦ ἑνός· ὁ γ¯, τοῦ β¯· ὁ δ¯, τοῦ γ¯. λόγοι δέ, οὐχ οἱ αὐτοί· ὁ μὲν γὰρ δ¯, τοῦ γ¯ ἐστιν ἐπίτριτος· ὁ δὲ γ¯, τοῦ β¯ ἡμιόλιος· ὁ δὲ δύο, τῆς μονάδος διπλάσιος. οὔτε κτλ. — 16. ὁ μέγιστος] ὁ μείζων *GP* — 18. πρὸς ... μέσον] πρὸς αὐτὸν τὸν μέσον *S* πρὸς τὴν παρ' αὐτόν, superscr. μέσον *S*. — 18. 19. πρὸς τὴν ... ἀνάπαλιν] πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον *H* — 19. μέσον om. *C*

XXVI *κϛ.* *Τὸ δὲ πρός τι ἐπέγνωμεν ἐν τῇ τοῦ ὄντος ἀνωτέρω φρασθείσῃ διαιρέσει τῆς ἁρμονικῆς ἴδιον θεωρίας, ἀλλὰ καὶ οἱ μουσικοὶ τῶν ἐν ἁρμονίᾳ συμφωνιῶν λόγοι ἐν ταύτῃ μᾶλλον εὑρίσκονται τῇ μεσότητι· στοιχειωδέστατος μὲν ὁ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὡς δ πρὸς γ, ὅρος πρὸς ὅρον ἐν τῷ κατὰ τὸν διπλάσιον ὑποδείγματι ἢ ἡ διαφορὰ πρὸς διαφορὰν ἐν τῷ κατὰ τὸν τριπλάσιον, τοῦ γὰρ ϛ πρὸς β ἢ πάλιν τοῦ ϛ πρὸς γ αὗται αἱ διαφοραί· μετὰ δὲ τοῦτον εὐθὺς ὁ διὰ πέντε ὑπάρχων ἡμιόλιος τοῦ γ πρὸς β ἢ πάλιν τοῦ ϛ πρὸς δ, ὅρου πρὸς ὅρον· εἶτα τούτων ἀμφοτέρων σύστημα τοῦ τε ἡμιολίου καὶ τοῦ ἐπιτρίτου ὁ διὰ πασῶν ἐφεξῆς αὐτοῖς κείμενος, ἐν διπλασίῳ ὑπάρχων λόγῳ, ὡς ϛ πρὸς γ ἐν ἀμφοτέροις ὑποδείγμασιν, ὅρος πρὸς ὅρον· ἢ ὁ ἐπὶ τούτῳ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, τριπλάσιον σῴζων ἀμφοτέρων ἅμα τὸν λόγον, σύστημα ὑπάρχων διπλασίου ἅμα καὶ ἡμιολίου, ὥςπερ τοῦ ϛ πρὸς β, ὅρου πρὸς ὅρον, ἐν τῷ κατὰ τὸν τριπλάσιον ὑποδείγ-*

XXVI. Io. Phil. rec. I, ρα—ρζ; rec. II, ξα. — Iambl. p. 152—157. — Boëth. II. 37. — Scholia cod. Ciz.

XXVI. 1. *Ὁ δὲ P* — 2. *ἀνώθερον P* *ἀνώτερον SH* — 3. *μουσικὴ G* — 4. *μάλιστα CSH* — *μεσότητι*] *ὥςτε καὶ διὰ ταῦτ' ἂν εὐλόγως ἁρμονικὴ ὀνομάζοιτο* add. *C* — 5. *στοιχειωδέστατοι H* — *τεσσάρων*] *ὢν* add. *C* — 6. *λόγῳ*] *ὄντες* add. *H* — 7. *ἢ*] *ἡ P* — 8. *τὸν τριπλ.* scripsi pro *τὸ τρ.* — 9. 11. *πάλιν* bis om. *S* — 12. *εἶτα*] *εἶ G* — 12. 13. *τοῦ τε . . . ἐπιτρίτου* om. *CH* — 13. *αὐτὸς G* — 15. *παραδείγμασιν C*, in mrg. *ὑποδ.* — *ὅροις πρ. ὅρ. P* *ὅρου πρ. ὅρ. CSH* — *ἢ ὁ*] *ὁ δὲ S* *εἶτα ὁ H* — 16. *τούτων G* — *διὰ πεμπτὸν G* — *τριπλ.*] *διπλάσιον σῴζων λόγον C* — 17. *σῴζ. τὸν λόγον ἀμφοτέρου H* *τῶν λόγων C* 18. *ἅμα* post *διπλ.* om. *SH* — 19. *πρὸς ὅρον* Ast. recte addidit, qui cur *ὅρον* pro *ὅρου* ex cod. *S* receperit, non adparet. *ὅρων H* — *διπλάσιον* G_1 *τρι* G_2

ματι, καὶ πάλιν διαφορᾶς πρὸς διαφορὰν ἐν τῷ αὐτῷ, ἐν δὲ τῷ κατὰ τὸν διπλάσιον ὅρου μεγίστου πρὸς διαφορὰν αὐτοῦ καὶ τοῦ μέσου ἢ διαφορᾶς τῶν ἄκρων πρὸς διαφορὰν τῶν ἐλαττόνων· τελευταῖον δὲ καὶ μέγιστον σύμφωνον τὸ λεγόμενον δὶς διὰ πασῶν ὡςανεὶ δὶς διπλάσιον, ὑπάρχον δὲ ἐν λόγῳ τε-
p *τραπλασίῳ, ὡς ὁ μέσος ὅρος τῆς ἐν διπλασίοις πρὸς τὴν*
72 *τῶν ἐλαττόνων διαφορὰν ἢ ἡ τῶν ἄκρων διαφορὰ τῆς ἐν τριπλασίοις πρὸς τὴν τῶν ἐλαττόνων.*

Τινὲς δὲ αὐτὴν ἁρμονικὴν καλεῖσθαι νομίζουσιν 2
ἀκολούθως Φιλολάῳ ἀπὸ τοῦ παρέπεσθαι πάσῃ γεωμετρικῇ ἁρμονίᾳ, γεωμετρικὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ τὰ τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν γὰρ παντὶ κύβῳ ἥδε ἡ μεσότης ἐνοπτρίζεται, πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶν ιβ, γωνίαι δὲ η, ἐπίπεδα δὲ ς· μεσότης ἄρα ὁ η τῶν ς καὶ τῶν ιβ κατὰ τὴν ἁρμονικήν· ὡς γὰρ οἱ ἄκροι πρὸς ἀλλήλους, οὕτως ἡ τοῦ μεγίστου παρὰ τὸν μέσον διαφορὰ πρὸς τὴν τοῦ μέσου παρὰ τὸν ἐλάχιστον διαφοράν, καὶ πάλιν ὁ μέσος ἄλλῳ μὲν ἑαυτοῦ μέρει μείζων ἐστὶ τοῦ ἐλάττονος, ἄλλῳ δὲ ἐλάττων τοῦ μείζονος, ἑνὶ μέντοι καὶ τῷ αὐτῷ αὐτῶν τῶν ἄκρων μέρει καὶ μείζων καὶ ἐλάττων ὑπάρχει· καὶ ἑτέρως

---

2. *διπλάσιον*] *ὑποδείγματι* add. *H* — 4. *πρὸς διαφορᾶς* *G* -*ὰς* *P* — 6. *ὑπάρχων* *GP* — 7. *τῆς ἐν διπλ.*] *ἁρμονίας* intellegendum esse docet Io. Phil. I, *ρ*. *τοῦ ἐν διπλασίῳ* scil. *παραδείγματος* Ast. — 7. 8. *τὴν ἐλάττονα* *H* — 8. *διαφορὰν*] *τοῦ τε ἐξ ἡμιολίου καὶ τοῦ ἐξ ἐπιτρίτου* add. *GP* *τοῦ ἐξ ἡμ. καὶ ἐπιτρ.* *CSH*, quae librariorum incuria ex scholio quodam in textum inrepsisse adparet; ignorant Io. Phil. et Boëth. — *ἡ* om. *P* — 9. *τοῦ ἐν τριπλασίῳ* Ast. — 13. *τὰ* om. *SH* — *τρία* om. *PC* — *ὁρμᾶσθαι* *S* — 14. *μεσότης*] *πάντως* add. *S* — 21. *μεῖζον* *G* — *ἐλαχίστου* . . . *ἐλάχιστος* *S* —

οἱ ἄκροι συντεθέντες καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντες διπλάσιον ἀποτελοῦσι τοῦ ὑπὸ τῶν ἄκρων πρὸς ἀλλήλους γινομένου· καὶ ἡ μὲν διὰ τεσσάρων ἐστὶ τοῦ η πρὸς τὸν ϛ, ἐπίτριτος γάρ, ἡ δὲ διὰ πέντε τοῦ ιβ πρὸς τὸν η, ἡμιόλιος γάρ, ἡ δὲ διὰ πασῶν ἀμφοῖν οὖσα σύστημα ἡ τοῦ ιβ πρὸς τὸν ϛ, διπλασία γάρ, ἡ δὲ διὰ πασῶν ἅμα καὶ διὰ πέντε τριπλάσιος οὖσα ἡ τῶν ἄκρων διαφορὰ ὑπάρχει πρὸς τὴν τῶν ἐλαττόνων, ἡ δὲ δὶς διὰ πασῶν ὁ μέσος ὅρος πρὸς τὴν ἑαυτοῦ καὶ τοῦ ἐλάττονος διαφοράν· οἰκειοτάτως ἄρα ἁρμονικὴ προςωνομάσθη.

XXVII κζ. Ὥςπερ δὲ ἐν τῇ τοῦ μουσικοῦ κανόνος κατατομῇ χορδῆς μιᾶς τεταμένης ἢ αὐλοῦ μήκους ἑνὸς ἐκκειμένου τῶν ἄκρων ἀμετακινήτων ὑπαρχόντων, μεταλαμβανούσης δὲ τῆς μεσότητος ἐν μὲν τῷ αὐλῷ

XXVII. Io. Phil. rec. I, ρη—ρκζ; rec. II, §β—§ϛ. — Iambl. p. 157—159. — Boëth. II, 38. — Scholia cod. C

---

1. πολλαπλ. C — 3. διὰ τοῦ ε P — 6. διάστημα H, in mrg. σύστ. — 7. πρὸς ϛ G — 8. τριπλασίων S — 9. ἐλαττόνων] ἐλαχίστων C — 10. διαφοράν] reperiuntur in codicibus schemata quaedam, quorum plenissimum cod. G adponit:



— οἰκειότατα PCSH — 11. ὠνομάσθη CSH

XXVII. 13. αὐλικοῦ P — 14. ἐκκειμένου G — ἀμετακινήτου P

διὰ τρυπημάτων, ἐν δὲ τῇ χορδῇ δι' ὑπαγωγέως,
ἄλλαι ἐξ ἄλλου τρόπου ἀποτελεῖσθαι δύνανται αἱ
προλεχθεῖσαι μεσότητες, ἀριθμητική τε καὶ γεωμε-
τρικὴ καὶ ἁρμονική, ἵνα εἰκότως καὶ ἐτυμώτατα κα-
λοῖντο διὰ τὴν τοῦ μέσου ὅρου μετάστασίν τε καὶ
μεταχωγὴν διαφόρως συντελούμεναι, οὕτως καὶ ἐν
ἀριθμητικοῖς δυσὶν ὅροις, εἴτε περισσοῖς ἀμφοτέροις
εἴτε καὶ ἀρτίοις, εὔλογόν ἐστι καὶ ἅμα δυνατὸν μέ-
νουσιν ἐν τῷ αὐτῷ καὶ μὴ μεταβιβαζομένοις μεσό-
τητα καθ' ἑκάστην τῶν τριῶν ἐφαρμόζουσαν ἐντάσ-
σεσθαι· κατὰ μὲν ἀριθμητικὴν ἴσῳ ὑπερέχουσαν
καὶ ὑπερεχομένην, κατὰ δὲ γεωμετρικὴν ὁμοίῳ λόγῳ
διαφορουμένην, κατὰ δὲ ἁρμονικὴν τῷ αὐτῷ μέρει
τῶν ἄκρων τῶν αὐτῶν μείζονά τε καὶ ἐλάτ-
τονα. προκείσθωσαν δὴ πρῶτον ἄρτιοι ὅροι δύο, ὧν 2
μεταξὺ αἱ τρεῖς μεσότητες ζητητέον πῶς ἂν ταγεῖεν
καὶ τίνες, καὶ ἔστωσαν

ὅ τε ι καὶ ὁ μ.

πρῶτον οὖν τὴν ἀριθμητικὴν ἐναρμόζω καὶ ἔστιν 3
κε καὶ τὰ παρακολουθήματα αὐτῆς σώζεται πάντα
κἀνταῦθα· ὡς γὰρ ἕκαστος ὅρος πρὸς ἑαυτόν, οὕτω
καὶ διαφορὰ πρὸς διαφοράν, ἄρα ἐν ἰσότητι, καὶ ὅσῳ
ὁ μείζων τοῦ μέσου, τοσούτῳ καὶ οὗτος τοῦ ἐλάτ-
τονος ὑπερφέρει, καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλα-
σία τοῦ μέσου καὶ ὁ τῶν ἐλαττόνων ὅρων λόγος

---

3. προλεχθεῖσαι] τρεῖς add. *CSH* — 4. ἑτοιμότατα *GP* ἐτυμάτ. μεσότητες καὶ *H* — 5. ὅρου om. *S* — μετάστασιν] μετάβασιν *S* — 8. ἀρτίοις] add. ἀμφοτέροις add. *SH* — 10. ἐφαρμόζουσα *P* — 13. διαφορουμένην] ἀδιαφορ. Ast. διαφορουμένην ἀντὶ τοῦ ἑτερουμένην ... ὁ λόγος γὰρ ὁ αὐτὸς τῶν εἰρημένων, ἀλλὰ τὸ ποσὸν διάφορον. Schol. Ciz. cf. Io. Phil. I, ρια. — 13. τὸν αὐτὸν *CH* τὴν αὐτὴν *S* — 15. πρῶτον οἱ ὅροι *P* — 16. ζητητέαι *C* — 22. ἆρα *GP* καὶ γὰρ *C* om. *SH* — 25. ὥρων *G*

μείζων τοῦ τῶν μειζόνων καὶ τὸ ὑπὸ τῶν ἄκρων ἔλαττον τοῦ ἀπὸ τοῦ μέσου τῷ ἀπὸ τῶν διαφορῶν τετραγώνῳ, καὶ ὁ μέσος τῷ αὐτῷ ἰδίῳ μέρει καὶ μείζων ὑπάρχει καὶ ἐλάττων τῶν ἄκρων, ἐν δὲ τοῖς
4 *ἄκροις θεωρουμένῳ ἑτέρῳ καὶ ἑτέρῳ. ἐὰν δὲ τὴν κ μεσότητα ἐμβάλλω εἰς τοὺς προκειμένους ἀρτίους ὅρους, τὰ τῆς γεωμετρικῆς ἰδιώματα ἀνακύπτει, ἐξαπόλλυνται δὲ τὰ τῆς ἀριθμητικῆς· οἷος γὰρ ὁ μείζων πρὸς τὸν μέσον, τοιοῦτος καὶ ὁ μέσος πρὸς τὸν μικρόν, καὶ τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου καὶ αἱ διαφοραὶ πρὸς ἀλλήλας ἐν τῷ αὐτῷ λόγῳ θεωροῦνται, ἐν ᾧ καὶ οἱ ὅροι, καὶ οὔτε ἐν τοῖς ἄκροις καθαροῖς ἡ τοῦ μέρους ταυτότης καθ' ὑπεροχὴν καὶ ἔλλειψιν οὔτε ἐν μέσῳ καθαρῷ, ἀλλ' ἐν μέσῳ καὶ θατέρῳ τῶν ἄκρων παρὰ μέρος, ἔν τε μείζοσιν*
5 *ὅροις καὶ ἐλάττοσιν ἴσος λόγος. ἐὰν δὲ τὸν ις ἀντιλάβω μέσον ὅρον, πάλιν τὰ μὲν τῶν προτέρων δυοῖν μεσοτήτων ἰδιώματα ἐκποδὼν γίνεται, τὰ δὲ τῆς ἁρμονικῆς ἀναφαίνεται πρὸς τοὺς αὐτοὺς διαμένοντα δύο ἀρτίους ὅρους· ὥςπερ γὰρ ὁ μείζων πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, καὶ ὅσοις μέρεσιν ὁ μέσος ἐλάττων τοῦ μείζονος ἐν αὐτῷ τῷ μείζονι θεωρουμένοις, τοσούτοις ὁ αὐτὸς τοῦ ἐλάττονος μείζων ἐν*

---

3. *τετραγώνων* P — 5. *θεωρουμένων* GP, idem addunt *τρισὶν ὀγδόοις* — 6. *ἐμβάλλων* G *ἐμβάλω* PC₂ *λάβω* H — *ἀρτίους* om. S — 7. *ἀνακάπτει* P — 8. *οἷον* P — 9. *μικρὸν*] *ἐλάχιστον* C — 11. *ἀλλήλους* G *ἀλλήλαις* P —
μετα C_2
14. *τῷ μέσῳ* CSH — *καθαρῶς* CH — 16. *ἀντιλάβω* C
ἀντι
μεταλάβω S *ἀντιμεταλάβω* H — 17. *μέσον* om. H — 18. *ἰδιώματα* om. S — 19. *διαμένοντας* SH

αὐτῷ τῷ ἐλάττονι θεωρουμένοις,· καὶ ὁ μὲν ἐν τοῖς μείζοσιν ὅροις λόγος μείζων, ἐλάττων δ' ὁ ἐν τοῖς ἐλάττοσιν, ὅπερ οὐκ ἐπ' ἄλλης, καὶ συντεθέντα τὰ ἄκρα καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντα διπλάσιων ἀποτελεῖ τοῦ ὑπὸ τῶν ἄκρων γινομένου. ἂν δὲ 6
οἱ δύο ἄκροι ὅροι μὴ ἄρτιοι ἐκτεθῶσιν, ἀλλὰ περισσοί, οἷον

ε, με,

ὁ μὲν αὐτὸς ὅρος ὁ κε ἀριθμητικὴν ποιήσει· αἴτιον δὲ τούτου, ὅτι ἐφ' ἑκάτερα αὐτοῦ ἴσῳ ἀριθμῷ ὑπερέβησάν τε καὶ ὑπέβησαν οἱ ὅροι τὴν αὐτὴν πρὸς αὐτὸν διατηροῦντες διαφορᾶς ποσότητα· ὁ δὲ ιε ἀντιτεθεὶς τὴν γεωμετρικὴν ἀποδίδωσι τριπλάσιός τε καὶ ὑποτριπλάσιος ἑκατέρου ὤν· ὁ δὲ θ μεταλαβὼν τὸ μέσος εἶναι τὴν ἁρμονικὴν ἀποδίδωσιν, οἷς γὰρ μέρεσι μείζων τοῦ ἐλάττονός ἐστι, τέσσαρσι πέμπτοις αὐτοῦ τοῦ ἐλάττονος, τούτοις τοῦ μείζονος ἐλάττων ἐστὶν ἐν αὐτῷ τῷ μείζονι θεωρουμένοις, τέσσαρσι γὰρ πέμπτοις, καὶ πάντα τὰ προλεχθέντα ἰδιώματα ἐφαρμόζων σύμφωνα εὑρήσεις.

Ἔφοδος δέ, ὡς ἂν ἐντέχνως πλάσσοις τοὺς προ- 7
δειχθέντας ὅρους κατὰ τὰς τρεῖς ἀναλογίας, τοιαύτη ἔστω σοι· ἐπ' ἀμφοτέρων τῶν προχειρισθέντων ὅρων περισσῶν τε καὶ ἀρτίων ἀριθμητικὴν μὲν

---

1. ἐν post μὲν om. *P* — 3. ἄλλης] μεσότητος add. *S* — 8. κε, με *S* με, ε *C* $\overset{\text{κε}}{\text{ε με}}$ *S* — 11. ὑπέβησαν] *G* repetit ὑπερέβησαν — ἐπέβησαν τε καὶ ὑπερέβ. *H* — 12. ιε om. P — 13. ἀντεντεθεὶς *C* — 13. 15. ἀποδώσει bis *H* — 16. μέρεσι om. *S* — τετραπέμπτοις *S* — 16—18. τέσσαρσι ... ἐστιν om. G_1 — 19. τέτρασι *S* — πάντως *PC* — 19. 20. τὰ ἰδιώμ. *P* — 20. σύμφωνον *H* — 21. ἐντέχνως] πῶς add. *S* — πλάσης *C* — 22. τὰς om. *GP*

εὑρήσεις, συνθεὶς τὰ ἄκρα τούτων τὸ ἥμισυ μέσον τάξον ἢ τὴν τοῦ μείζονος ὑπεροχὴν πρὸς τὸν ἐλάττονα διχῇ τεμὼν καὶ προσθεὶς τῷ ἐλάττονι μέσον ἕξεις· γεωμετρικὴν δέ, τοῦ ὑπὸ τῶν ἄκρων προμήκους τὴν τετραγωνικὴν πλευρὰν εὑρὼν μέσον ὅρον ποιήσεις ἢ ὃν ἔχουσι πρὸς ἀλλήλους οἱ ὅροι λόγον ἰδών, τοῦτον δίχα τεμὼν μέσον ποίησον, οἷον ἐπὶ τετραπλασίου διπλάσιον· ἁρμονικὴν δέ, τῶν ἄκρων τὴν διαφορὰν ποιητέον ἐπὶ τὸν ἐλάττονα καὶ τὸν γενόμενον παραβλητέον ἐπὶ τὸν σύνθετον ἐκ τῶν ἄκρων, εἶτα τὸ πλάτος τῆς παραβολῆς προσθετέον τῷ ἐλάττονι, καὶ ἔσται ὁ γινόμενος ἁρμονικὴ μεσότης.

XXVIII κη. Καὶ τάδε μὲν περὶ τῶν παρὰ τοῖς παλαιοῖς θρυλλουμένων τριῶν ἀναλογιῶν, ἃς καὶ ἐπιτηδὲς σαφέστερον καὶ πλατύτερον διηρθρώσαμεν, ὅτι πολλάκις τε καὶ ποικιλώτερον ἐντυγχάνειν ἦν αὐταῖς ἐν τοῖς ἀναγνώσμασι· τὰς δ' ἑξῆς ἐπιτμητέον οὐ πάνυ φερομένας παρὰ τοῖς ἀρχαίοις, ἀλλὰ εἰς μόνην ἐμπειρίαν ἡμῶν αὐτῶν καὶ τὸ οἱονεὶ πλῆρες τοῦ συλ-
2 λογισμοῦ παραλαμβανομένας. εἰσὶ δὲ αὗται τάξει

XXVIII. Io. Phil. rec. I, ριη—ρλ; rec. II, ξζ—ξθ. — Iambl. p. 159—167. — Boëth. II. 39. 40.

---

1. εὑρήσεις] εὑρεῖν *S* — 2. πρὸς τὸν ἐλ. om. *PC* — 3. δίχα *S* — 4. ἕξει *P* — 5. εὑρὼν] λαβών *C* τεμών *S*, in mrg. γρ. εὑρών — 6. οἱ ὅροι om. *H* — 7. τούτων *P* — ποΐησαι *G* — 8. καὶ ἁρμ. δὲ *G* — 9. ποίησον *H* — 10. γινόμενον *S* — ἐπὶ] περὶ *S* ι man. 2 in α mut. παρὰ *H* — 12. γενόμενος *C* — ἁρμονικός *G*

XXVIII. 15. θρηλλουμένων *G* τεθρυλλημ. *S* — ἃς] τὸ *G* — 17. ἦν] ἢ *G* — 18. ἐπιθμητέον *P* ἐπιτηρητέον *S* — 19. παρὰ] $\overset{\varepsilon}{\pi}$ (περὶ) *G* — 20. αὐτῶν om. *CS* — τὸ οἱονεὶ] τοῦτο οἰκεῖον *S*

ἐκφερόμεναι ὑφ' ἡμῶν κατὰ ὑπεναντίωσιν τὴν πρὸς
τὰς πεφρασμένας ἀρχετύπους τρεῖς, εἴπερ καὶ ἐξ
αὐτῶν τούτων ἀναπλάσσονται, τάξεως τυγχάνουσαι
ὁμοίας· τετάρτη μὲν ἡ καὶ ὑπεναντία λεγομένη διὰ 3
τὸ ἀντικεῖσθαι καὶ ἀντιπεπονθέναι τῇ ἁρμονικῇ
ὑπάρχει, ὅταν ἐν τρισὶν ὅροις ὡς ὁ μέγιστος πρὸς
τὸν ἐλάχιστον, οὕτως ἡ τῶν ἐλαττόνων διαφορὰ πρὸς
τὴν τῶν μειζόνων ἔχῃ, οἷον

γ, ε, ϛ,

ἐν γὰρ διπλασίῳ τὰ συγκριθέντα ὁρᾶται· φανερὸν
δέ, καθ' ἃ ἠναντίωται τῇ ἁρμονικῇ· τῶν γὰρ αὐτῶν
ἄκρων ἀμφοτέραις ὑπαρχόντων καὶ ἐν διπλασίῳ γε
λόγῳ, ἐν μὲν τῇ πρὸ ταύτης ἡ τῶν μειζόνων ὑπε-
ροχὴ πρὸς τὴν τῶν ἐλαττόνων τὸν αὐτὸν ἔσωζε λό-
γον, ἐν ταύτῃ δὲ ἀνάπαλιν ἡ τῶν ἐλαττόνων πρὸς
τὴν τῶν μειζόνων· ἴδιον δὲ ταύτης ἰστέον ἐκεῖνο,
τὸ διπλάσιον ἀποτελεῖσθαι τὸ ὑπὸ τοῦ μείζονος καὶ
μέσου πρὸς τὸ ὑπὸ τοῦ μέσου καὶ ἐλαχίστου, τοῦ
γὰρ πεντάκις γ διπλάσιον τὸ ἑξάκις ε. αἱ δὲ δύο 4
μεσότητες πέμπτη καὶ ἕκτη παρὰ τὴν γεωμετρικὴν
ἐπλάσθησαν ἀμφότεραι, διαφέρουσι δ' ἀλλήλων οὕ-
τως· ἡ μὲν πέμπτη ἐστιν, ὅταν ἐν τρισὶν ὅροις ὡς
ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ αὐτῶν τού-
των διαφορὰ πρὸς τὴν τοῦ μεγίστου πρὸς τὸν μέσον,
οἷον

β, δ, ε·

1. παρ' ἡμῶν S — 3. πλάσσονται S — 5. ἀντικεῖσθαι καὶ om. S — 7. ἐλάχιστον] ἐλάττονα S — 8. τοῦ μείζονος ἔχει G ἔχει S — 10. διπλασίᾳ C — 11. καθ' ὃ C — ἐναντίωται GP — 12. γε] τε GPH τῷ C — 15. ἐν ταύτῃ] ἐνταῦθα P — 17. τὸ τὸ διπλ. G — τοῦ ante μείζ. om. G — 21. ἐμπλασθῆσαν P — ἀλλήλων] αὗται add. C — 23. ἐλάχιστον] ἐλάττονα S

διπλάσιος γὰρ ὁ μὲν δ τοῦ β, μέσος ὅρος τοῦ ἐλαχίστου, ὁ δὲ β τοῦ α, ἐλαχίστων διαφορὰ πρὸς διαφορὰν μεγίστων· ὃ δ' ὑπεναντίον αὐτὴν τῇ γεωμετρικῇ ποιεῖ, ἐκεῖνό ἐστιν, ὅτι ἐπὶ μὲν ἐκείνης ὡς ὁ μέσος πρὸς τὸν ἐλάττονα, οὕτως ἡ τοῦ μείζονος πρὸς τὸν μέσον ὑπεροχὴ πρὸς τὴν τοῦ μέσου πρὸς τὸν ἐλάττονα, ἐπὶ δὲ ταύτης ἀνάπαλιν ἡ τοῦ ἐλάττονος πρὸς τὴν τοῦ μείζονος· ἴδιον δ' ὅμως καὶ ταύτης ἐστὶ τὸ διπλάσιον γίνεσθαι τὸ ὑπὸ τοῦ μεγίστου καὶ μέσου τοῦ ὑπὸ τοῦ μεγίστου καὶ ἐλαχίστου,
5 *τὸ γὰρ πεντάκις δ διπλάσιον τοῦ πεντάκις β. ἡ δὲ ἕκτη γίνεται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν μέσον, οὕτως ἡ τοῦ μέσου παρὰ τὸν ἐλάχιστον ὑπεροχὴ πρὸς τὴν τοῦ μεγίστου παρὰ τὸν μέσον, οἷον*

α, δ, ς,

ἐν ἡμιολίῳ γὰρ ἑκάτεροι λόγῳ· ἐοικυῖα δ' αἰτία καὶ ταύτῃ τῆς πρὸς τὴν γεωμετρικὴν ὑπεναντιότητος, ἀναστρέφει γὰρ κἀνταῦθα ἡ τῶν λόγων ὁμοιότης ὡς ἐπὶ τῆς πέμπτης.

6 *Καὶ αἱ μὲν παρὰ τοῖς πρόσθεν θρυλλούμεναι ἓξ μεσότητες αἵδε εἰσί, τρεῖς μὲν αἱ πρωτότυποι μέχρι Ἀριστοτέλους καὶ Πλάτωνος ἄνωθεν ἀπὸ Πυθαγόρου*

---

1. *τοῦ* ante *ἐλαχ.* om. *G* — 2. *ἐλαχίστων*] *ἐλασσόνων S* — 2. 3. *ἐλαχίστου πρὸς διαφορὰν μεγίστων, ἐλαχίστων δὲ διαφορὰ πρὸς διαφ. μεγίστων H* — 3. *μεγίστων*] *τὸ β τοῦ α* repetunt *GPH* — *ὑπεναντίαν S* — *αὐτῇ H* — 6. *ὑπεροχὴ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου ὑπεροχὴν παρὰ τὸν ἐλάσσονα C* — 6. 7. *τὴν ἐλ. ὑπεροχὴν S* — 7. *ἀνάπαλιν*] *ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτως* add. *C* — 9. 10. *μεγίστου . . . ὑπὸ τοῦ* om. *G* — 11. *τοῦ πεντάκις*] *τὸ ὑπὸ πεντ. G* *τοῦ ὑπὸ πεντ. PH* — 17. *ἑκατέρου G* *ἑκάτερα* S_1 *-αι* S_2 — 18. *τὴν* om. *GPCH* — 19. *ἀντιστρέφεται C* — 23. *Πλάτ. καὶ Ἀριστ. C* — *Πυθαγόρα S*

διαμείνασαι, τρεῖς δ' ἕτεραι ἐκείναις ὑπεναντίαι τοῖς μετ' ἐκείνους ὑπομνηματογράφοις τε καὶ αἱρετισταῖς ἐν χρήσει γινόμεναι· τέσσαρας δέ τινας ἑτέρας μετακινοῦντες τοὺς τούτων ὅρους τε καὶ διαφορὰς ἐπεξεῦρόν τινες οὐ πάνυ ἐμφανταζομένας τοῖς τῶν παλαιῶν συγγράμμασιν, ἀλλ' ὡς περιεργότερον λελεπτολογημένας, ἃς ὅμως πρὸς τὸ μὴ δοκεῖν ἀγνοεῖν ἐπιτροχαστέον τῇδέ πῃ. πρώτη μὲν γὰρ αὐτῶν, ἑβ- 7
δόμη δὲ ἐν τῇ πασῶν συντάξει ἔστιν, ὅταν ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως καὶ ἡ τῶν αὐτῶν διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον

ϛ, η, ϑ·

ἡμιόλιος γὰρ ὁ λόγος ἑκατέρου συγκρίσει ἐνορᾶται. ὀγδόη δὲ μεσότης, ἥτις τούτων δευτέρα ἐστί, γίνεται, 8
ὅταν ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν τῶν μειζόνων διαφοράν, οἷον

ϛ, ζ, ϑ·

καὶ αὕτη γὰρ ἡμιολίους ἔχει τοὺς δύο λόγους. ἡ δὲ 9
ἐνάτη μὲν ἐν τῇ τῶν πασῶν συντάξει, τρίτη δὲ ἐν τῷ τῶν ἐφευρημένων ἀριθμῷ ὑπάρχει, ὅταν τριῶν ὅρων ὄντων, ὃν λόγον ἔχει ὁ μέσος πρὸς τὸν ἐλάχιστον, τοῦτον καὶ ἡ τῶν ἄκρων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαχίστων ἔχῃ, ὡς

δ, ϛ, ζ.

---

1. παραμείνασαι *S* — ὑπαντίαι *C* — 3. γενομέναι *CS* — μετακινοῦντας *G* — 6. ὡς om. *C* — λεπτολογημένας *S* ·λογουμένας *H* — 7. ἃς om. *CH* — ὁμοῦ *GPS* — 8. ἐπιστοχαστέον *S* — 9. ᾗ om. *H* — ὡς om. *S* — 9. 10. ὁ ... τὸν om. *G* — τῶν om. *C* — 12. ϑ, η, ϛ codd. conf. § 11. — 13. ἑκατέρα *CH* — ὁρᾶται *P* ἐν ἑκατέρᾳ συγκρ. ὁρᾶται *S* — 18. ϑ, ζ, ϛ *C* — 19. λόγους om. *PC* — 20. ἐν τῇ τῶν om. *P* τῶν om. *G* — 22. ὄντων om. *H* — 24. ἔχει *S*

10 ἡ δὲ ἐπὶ πάσαις δεκάτη μὲν συλλήβδην, τετάρτη δὲ ἐν τῇ τῶν νεωτερικῶν ἐκθέσει ὁρᾶται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτως καὶ ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν διαφορὰν τῶν μειζόνων, οἷον

γ, ε, η·

11 ἐπιδιμερὴς γὰρ ὁ ἐν ἑκατέρᾳ συζυγίᾳ λόγος. ἐπὶ κεφαλαίου τοίνυν οἱ τῶν δέκα ἀναλογιῶν ὅροι ἐκκείσθωσαν ὑφ' ἓν παράδειγμα πρὸς τὸ εὐσύνοπτον.

πρώτης	α, β, γ,
δευτέρας	α, β, δ,
τρίτης	γ, δ, ς,
τετάρτης	γ, ε, ς,
πέμπτης	β, δ, ε,
ἕκτης	α, δ, ς,
ἑβδόμης	ς, η, θ,
ὀγδόης	ς, ζ, θ,
ἐνάτης	δ, ς, ζ,
δεκάτης	γ, ε, η.

XXIX κθ. Λοιπὸν καὶ περὶ τῆς τελειοτάτης καὶ τριχῇ διαστατῆς πασῶν τε περιεκτικῆς ἐν βραχεῖ διαρθρώσω μεσότητος χρησιμωτάτης οὔσης εἰς πᾶσαν τὴν ἐν μουσικῇ καὶ φυσιολογίᾳ προκοπήν· κυρίως γὰρ αὕτη καὶ ὡς ἀληθῶς ἁρμονία ἂν λεχθείη μόνη παρὰ

XXIX. Io. Phil. rec. I, ρλα—ρλγ. — Iambl. p. 167—176. — Boëth. II, 41.

7. ἑκάτερον G — 8. ἀναλ. δέκα G ἀναλογιῶν om. SH, μεσοτήτων superscr. S — ὅρων H — 18. ζ, ς, δ C
XXIX. Περὶ τῆς τελεωτάτης S Ἐπίλογος H — 20. τριχῶς (η superscr.) S — 21. διαρθρώσει P -ῶσαι S — 22. χρησιμοτάτης P — πᾶσαν] πάντα P — 24. ὡς om. H — ἂν om. H — παρὰ] πάσας G

τὰς ἄλλας, εἴπερ μὴ ἐπίπεδος μηδὲ μιᾷ μόνῃ μεσότητι συνδεομένη, ἀλλὰ δυσίν, ἵν' οὕτω τριχῇ διστάνοιτο, ὡς ὁ κύβος ἁρμονία πρὸ βραχέος ἐσαφηνίσθη. ὅταν τοίνυν δύο ὅρων ἄκρων τριχῇ διαστα- 2
τῶν ἀμφοτέρων, εἴτε ἰσάκις ἴσων ἰσάκις, ἵνα κύβος ᾖ, ἢ ἰσάκις ἴσων ἀνισάκις, ἵνα ἢ δοκίδες ἢ πλινθίδες ὦσιν, εἴτε ἀνισάκις ἀνίσων ἀνισάκις, ἵνα σκαληνοί, δύο ὅροι εὑρίσκωνται ἀνὰ μέσον ἄλλοι ἐναλλὰξ πρὸς τοὺς ἄκρους τοὺς αὐτοὺς σώζοντες λόγους καὶ ἀναμίξ, ὥςτε ὁποτερουοῦν αὐτῶν τὴν ἁρμονικὴν σώζοντος ἀναλογίαν τὸν λοιπὸν ἀποτελεῖν τὴν ἀριθμητικήν· ἀνάγκη γὰρ οὕτως διακειμένων τῶν τεσσάρων ἐπιφαίνεσθαι τὴν γεωμετρικὴν ἐμπλέγδην ἀμφοτέραις ταῖς μεσότησιν ἀντεξεταζομένην, ὡς ὁ μέγιστος πρὸς τὸν τρίτον ἀπ' αὐτοῦ, οὕτως ὁ ὑπ' αὐτὸν δεύτερος πρὸς τὸν τέταρτον· τὸ γὰρ τοιοῦτον τὸ ὑπὸ τῶν μέσων ἴσον ποιεῖ τῷ ὑπὸ τῶν ἄκρων· πάλιν δὲ ἂν ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτὸν ἐν τοσαύτῃ δειχθῇ διαφορᾷ, ἐν ὅσῃ καὶ αὐτὸς οὗτος πρὸς τὸν ἐλάχιστον, ἀριθμητικὴ ἡ τοιαύτη ἐξέτασις γίνεται καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλασία τοῦ μέσου· ἐὰν δ' ὁ τρίτος ἀπὸ τοῦ μεγίστου τῷ αὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχῃ καὶ ὑπερέχηται, ἁρμονικὴ καὶ τὸ

1. εἴγε S — 2. διιστάνοιντο S — 5. 6. κύβοι ὦσιν C — 6. ἰσάκις] ἀνισάκις G — 8. εὑρίσκονται P — ἄλλοι] ὅροι add. GP ἄλλοι om. C — 8. 9. πρὸς τοὺς ἄκρους om. SH — 9. σώζονται C — 10. ὁποτεροςοῦν P — σώζοντες P — 11. τῶν λοιπόν G τοὺς λοιποὺς C — 14. ἐξεταζομένην CS ἐνεξεταζ. H — 15. τρίτον τὸν ὑπ' αὐτοῦ GP — δεύτερος] ἤγουν ὁ ϑ add. S — 18. αὐτῶν P — δειχθῇ]
η
διέχῃ H — 19. ὅσους G — 20. ἀριθμητικῆς H in mrg. — 22. μεγίστου] μέσου P ὁ τρίτος μέσος H — 23. ὑπερέχει P ὑπεροχὴ καὶ ὑπερέχεται S

ὑπὸ τοῦ μέσου καὶ τῆς τῶν ἄκρων συνθέσεως δι-
3 πλάσιον τοῦ ὑπὸ τῶν ἄκρων. ὑπόδειγμα αὐτῆς ἔστω τοιοῦτον

ϛ, η, ϑ, ιβ·

οὐκοῦν ὁ μὲν ϛ σκαληνὸς ἀπὸ τοῦ ἅπαξ β τρίς, ὁ δὲ ιβ ἀπὸ τοῦ δὶς β τρὶς ἐν συνεχείᾳ μηκυνθέντων, τῶν δὲ μέσων ὁ μὲν ἐλάττων ἀπὸ τοῦ ἅπαξ β τετράκις, ὁ δὲ μείζων ἀπὸ τοῦ ἅπαξ γ τρίς, καὶ στερεοί τε οἱ ἄκροι καὶ τριχῇ διαστατοὶ καὶ ὁμογενεῖς αὐτοῖς αἱ μεσότητες, καὶ κατὰ μὲν τὴν γεωμετρικὴν ὡς ὁ ιβ πρὸς τὸν η, οὕτως ὁ ϑ πρὸς τὸν ϛ, κατὰ δὲ τὴν ἀριθμητικὴν ὅσῳ ὁ ιβ τοῦ ϑ ὑπερέχει, τοσούτῳ καὶ ὁ ϑ τοῦ ϛ, κατὰ δὲ τὴν ἁρμονικὴν ᾧ μέρει ὁ η τοῦ ϛ ὑπερέχει, ἐν αὐτῷ τῷ ϛ τοῦ μέρους θεωρουμένου, τούτῳ ὑπὸ τοῦ ιβ ὑπερέχεται ἐν αὐτῷ τῷ ιβ
4 θεωρουμένῳ. ἀλλὰ μὴν καὶ ὁ μὲν η πρὸς ϛ ἢ ὁ ιβ πρὸς ϑ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὁ δὲ ϑ πρὸς ϛ ἢ ὁ ιβ πρὸς η διὰ πέντε ἐν ἡμιολίῳ, ὁ δὲ ιβ πρὸς ϛ διὰ πασῶν ἐν διπλασίῳ· λοιπὸν δὲ ὁ ϑ πρὸς τὸν η τονιαῖον ἐν ἐπογδόῳ, ὅπερ μέτρον κοινὸν πάντων τῶν ἐν μουσικῇ λόγων, ἅτε καὶ γνωριμώτερον ὄν, ὅτι ἄρα καὶ διαφορὰ τῶν πρώτων καὶ στοιχειωδεστάτων συμφώνων πρὸς ἄλληλα ὑπάρχει.

5 Καὶ περὶ μὲν τῶν ἐν ἀριθμοῖς ἐπιφαινομένων

---

1. διπλάσιον] ἐπὶ ταύτης add. *H* — 2. ἔσται *S* — 5. ἅπαξ τρεῖς *P* — 8. μείζων ὑπὸ *P* — 9. οἱ om. *GP* — αὐτοὶ *P* — 10. μὲν add Ast. — 12. ὑπερέχει om. *GPS* — 14. ἐν αὐτῷ . . . θεωρουμένου] τῷ αὐτῷ μέρει τοῦ ιβ ὑπ' αὐτοῦ τοῦ ιβ ὑπερέχεται *C* — 15. τοῦτο *G* — ἀπὸ *H* — 16—19. πρὸς] τὸν quinquies add. *CSH* — 18. ἡμιολίῳ] λόγῳ add. *S* — 22. πρώτων] ἤτοι τῶν διὰ δ ἢ διὰ ε add. *C* in mrg. — 23. ὑπάρχει] ὑπερέχει *P* — 24. ἐμφαινομένων *C*

καὶ συμβεβηκότων τοσαῦτα ὡς ἐν πρώτῃ εἰςαγωγῇ ἀρκείτω.

Τέλος ἀριθμητικῆς Νικομάχου P Τέλος τῆς Νικομάχου ἀριθμητικῆς εἰςαγωγῆς C Τέλος τῆς ἀριθμητικῆς εἰςαγωγῆς Νικομάχου. τῷ δὲ θεῷ δόξα καὶ αἶνος H Τέλος σὺν θεῷ τῆς ἀριθμητικῆς Νικομάχου Πυθαγορίου τοῦ Γερασινοῦ Γ [Χε (Χριστέ) προηγοῦ τῶν ἐμῶν πονημάτων S]

ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ.

α. ΤΟΥ ΚΥΝΟΣ.

Δοθέντων ἀπὸ μονάδος ὁποσωνοῦν ἀριθμῶν ἐφεξῆς εὑρεῖν, ὅσος ἐστὶν ὁ σύμπας.

Ἔστωσαν ἀπὸ μονάδος τῆς α ἐφεξῆς οἱ

β, γ, δ, ε, ζ, η, ϑ, ι·

ἢ δὴ ἄρτιόν ἐστι τὸ πλῆθος αὐτῶν ἢ περιττόν· ἔστω πρῶτον περιττόν· φανερὸν δή, ὅτι οἱ μὲν α ι διπλάσιοί εἰσι τοῦ ε, οἱ δὲ β ϑ τοῦ ε καὶ ἐφεξῆς· ὅσον ἄρα ἐστὶ τὸ πλῆθος πάντων, τοσαυταπλασίων ἐστὶν ὁ σύμπας συντεθεὶς τοῦ ε· ἔστιν ἄρα ὡς ὁ ι πρὸς τὴν μονάδα, ὁ σύμπας πρὸς τὸν ε· ὁ ἄρα ὑπὸ τοῦ ι καὶ ε ἴσος ἐστὶ τῷ ὑπὸ τῆς μονάδος καὶ συμπάντων, τουτέστι τῷ σύμπαντι ἀριθμῷ. εἰλήφθω δὴ ὁ ἐφεξῆς τῷ ι, ὁ κ· φανερὸν δὴ ὅτι ὁ κ διπλάσιός ἐστι τοῦ ε, ἴσος γάρ ἐστι τοῖς ι α· ἐπεὶ οὖν ὁ ι τὸν ε πολλαπλασιάσας ποιεῖ τὸν σύμπαντα, ἐὰν ἄρα τὸν κ πολλαπλασιάσας ποιήσῃ τινά, ὁ γενόμενος ἔσται τοῦ σύμπαντος διπλασίων. ὅταν ἄρα ἀπὸ

1. *ΠΡΟΒΛ. ΑΡ.*] addidi inscript. — 7. hac in serie numerorum $\zeta = 6$, $\eta = 7$, $\vartheta = 8$, $\iota = 9$ ponitur; $\varkappa$ (16) $= 10$.

μονάδος πλήθους ἀριθμῶν ἐφεξῆς τεθέντος ἐρωτηθῶμεν, πόσος ἐστὶν ὁ σύμπας συντεθείς, ἐὰν ὦσι περιττοὶ τὸ πλῆθος, πολλαπλασιάσομεν τὸν μέγιστον ἐπὶ τὸν ἐφεξῆς αὐτοῦ μείζονα καὶ τούτου γενομένου τὸ ἥμισυ λαβόντες ἕξομεν τὸν σύμπαντα· ὁμοίως δὴ ποιήσομεν, καὶ ἐὰν ἄρτιον ᾖ τὸ πλῆθος· ἡ γὰρ αὐτὴ ἀπόδειξις·

α β γ δ ε ζ η ϑ ι — κ
α| β| γ| δ| ε| ϛ| ζ η| ϑ| — ι|.

β. Πῶς ἂν ἐκ μεθόδου προχειρότατα 2
γινώσκοι τις ἀκριβῶς τὴν τῶν συντιθεμένων ἀπὸ μονάδος καὶ ἐφεξῆς ἀριθμῶν γινομένην ποσότητα, μέχρις οὗ δηλονότι ἡ ζήτησις γίνεται.

Ποιείτω οὕτω· πολλαπλασιαζέτω ἐφ' ἑαυτὸν τὸν ἀριθμόν, μέχρις οὗ ἡ ζήτησις γίνεται, καὶ ἀπὸ τοῦ γινομένου λαμβανέτω τὸ ἥμισυ· τούτῳ προςτιθέτω καὶ τὸ ἥμισυ τοῦ πολλαπλασιασθέντος ἀριθμοῦ καὶ τὸν γινόμενον γινωσκέτω εἶναι τὴν τῶν ἀριθμῶν σύνθεσιν ἀπὸ μονάδος, μέχρις οὗ ἡ ζήτησις γίνεται. οἷον ἔστω· γενέσθαι τὴν ζήτησιν ἀπὸ μονάδος ἄχρι τοῦ ιε, πόση ἐστὶν ἡ τῶν ἀριθμῶν κατὰ τὸ συνεχὲς σύνθεσις· τὸν ιε ἐφ' ἑαυτόν, γίνονται σκε· τούτου τὸ ἥμισυ, ριβ𐅵· πρόςθες τὸ ἥμισυ τῶν ιε ἤτοι ζ𐅵, γίνονται ὁμοῦ ρκ· τοσούτων ἡ ἀπὸ μονάδος ἄχρι τοῦ ιε τῶν κατὰ τὸ συνεχὲς ἀριθμῶν σύνθεσις. *ΙΣΑΑΚ.*

---

27. *ΙΣΑΑΚ*] Thom. Reinesius codicis margini adscripsit: „*Isaac monachus, cuius extant scholia in Euclidis elementorum geometriae libros VI priores; lat. vert. Conr. Dasyp.*"[odius]. — de Isaaco conf. Fabric. bibl. gr. X, p. 176. — altera ma-

εὑρήσεις, συνθεὶς τὰ ἄκρα τούτων τὸ ἥμισυ μέσον τάξον ἢ τὴν τοῦ μείζονος ὑπεροχὴν πρὸς τὸν ἐλάττονα διχῇ τεμὼν καὶ προσθεὶς τῷ ἐλάττονι μέσον ἕξεις· γεωμετρικὴν δέ, τοῦ ὑπὸ τῶν ἄκρων προμήκους τὴν τετραγωνικὴν πλευρὰν εὑρὼν μέσον ὅρον ποιήσεις ἢ ὃν ἔχουσι πρὸς ἀλλήλους οἱ ὅροι λόγον ἰδών, τοῦτον δίχα τεμὼν μέσον ποίησον, οἷον ἐπὶ τετραπλασίου διπλάσιον· ἁρμονικὴν δέ, τῶν ἄκρων τὴν διαφορὰν ποιητέον ἐπὶ τὸν ἐλάττονα καὶ τὸν γενόμενον παραβλητέον ἐπὶ τὸν σύνθετον ἐκ τῶν ἄκρων, εἶτα τὸ πλάτος τῆς παραβολῆς προσθετέον τῷ ἐλάττονι, καὶ ἔσται ὁ γινόμενος ἁρμονικὴ μεσότης.

XXVIII κη. Καὶ τάδε μὲν περὶ τῶν παρὰ τοῖς παλαιοῖς θρυλλουμένων τριῶν ἀναλογιῶν, ἃς καὶ ἐπιτηδὲς σαφέστερον καὶ πλατύτερον διηρθρώσαμεν, ὅτι πολλάκις τε καὶ ποικιλώτερον ἐντυγχάνειν ἦν αὐταῖς ἐν τοῖς ἀναγνώσμασι· τὰς δ' ἑξῆς ἐπιτμητέον οὐ πάνυ φερομένας παρὰ τοῖς ἀρχαίοις, ἀλλὰ εἰς μόνην ἐμπειρίαν ἡμῶν αὐτῶν καὶ τὸ οἱονεὶ πλῆρες τοῦ συλ-
2 λογισμοῦ παραλαμβανομένας. εἰσὶ δὲ αὗται τάξει

XXVIII. Io. Phil. rec. I, ρiη—ρλ; rec. II, ξζ—ξθ. — Iambl. p. 159—167. — Boëth. II. 39. 40.

1. εὑρήσεις] εὑρεῖν *S* — 2. πρὸς τὸν ἐλ. om. *PC* — 3. δίχα *S* — 4. ἕξει *P* — 5. εὑρὼν] λαβών *C* τεμών *S*, in mrg. γρ. εὑρών — 6. οἱ ὅροι om. *H* — 7. τούτων *P* — ποίησαι *G* — 8. καὶ ἁρμ. δὲ *G* — 9. ποίησον *H* — 10. γινόμενον *S* — ἐπὶ] περὶ *S* ι man. 2 in α mut. παρὰ *H* — 12. γενόμενος *C* — ἁρμονικός *G*

XXVIII. 15. θρηλλουμένων *G* τεθρυλλημ. *S* — ἃς] τὸ *G* — 17. ἦν] ἡ (ε) *G* — 18. ἐπιθυμητέον *P* ἐπιτηρητέον S_1 — 19. παρὰ] π (περὶ) *G* — 20. αὐτῶν om. *CS* — τὸ οἱονεὶ] τοῦτο οἰκεῖον *S*

ἐκφερόμεναι ὑφ' ἡμῶν κατὰ ὑπεναντίωσιν τὴν πρὸς τὰς πεφρασμένας ἀρχετύπους τρεῖς, εἴπερ καὶ ἐξ αὐτῶν τούτων ἀναπλάσσονται, τάξεως τυγχάνουσαι
ὁμοίας· τετάρτη μὲν ἡ καὶ ὑπεναντία λεγομένη διὰ 3
τὸ ἀντικεῖσθαι καὶ ἀντιπεπονθέναι τῇ ἁρμονικῇ ὑπάρχει, ὅταν ἐν τρισὶν ὅροις ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τῶν ἐλαττόνων διαφορὰ πρὸς τὴν τῶν μειζόνων ἔχῃ, οἷον

γ, ε, ϛ,

ἐν γὰρ διπλασίῳ τὰ συγκριθέντα ὁρᾶται· φανερὸν δέ, καθ' ἃ ἠναντίωται τῇ ἁρμονικῇ· τῶν γὰρ αὐτῶν ἄκρων ἀμφοτέραις ὑπαρχόντων καὶ ἐν διπλασίῳ γε λόγῳ, ἐν μὲν τῇ πρὸ ταύτης ἡ τῶν μειζόνων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαττόνων τὸν αὐτὸν ἔσωζε λόγον, ἐν ταύτῃ δὲ ἀνάπαλιν ἡ τῶν ἐλαττόνων πρὸς τὴν τῶν μειζόνων· ἴδιον δὲ ταύτης ἰστέον ἐκεῖνο, τὸ διπλάσιόν ἀποτελεῖσθαι τὸ ὑπὸ τοῦ μείζονος καὶ μέσου πρὸς τὸ ὑπὸ τοῦ μέσου καὶ ἐλαχίστου, τοῦ
γὰρ πεντάκις γ διπλάσιον τὸ ἑξάκις ε. αἱ δὲ δύο 4
μεσότητες πέμπτη καὶ ἕκτη παρὰ τὴν γεωμετρικὴν ἐπλάσθησαν ἀμφότεραι, διαφέρουσι δ' ἀλλήλων οὕτως· ἡ μὲν πέμπτη ἐστιν, ὅταν ἐν τρισὶν ὅροις ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ αὐτῶν τούτων διαφορὰ πρὸς τὴν τοῦ μεγίστου πρὸς τὸν μέσον, οἷον

β, δ, ε·

---

1. παρ' ἡμῶν S — 3. πλάσσονται S — 5. ἀντικεῖσθαι καὶ om. S — 7. ἐλάχιστον] ἐλάττονα S — 8. τοῦ μείζονος ἔχει G ἔχει S — 10. διπλασία C — 11. καθ' ὃ C — ἐναντίωται GP — 12. γε] τε GPH τῷ C — 15. ἐν ταύτῃ] ἐνταῦθα P — 17. τὸ τὸ διπλ. G — τοῦ ante μείζ. om. G — 21. ἐμπλασθῆσαν P — ἀλλήλων] αὗται add. C — 23. ἐλάχιστον] ἐλάττονα S

διπλάσιος γὰρ ὁ μὲν δ τοῦ β, μέσος ὅρος τοῦ ἐλαχίστου, ὁ δὲ β τοῦ α, ἐλαχίστων διαφορὰ πρὸς διαφορὰν μεγίστων· ὃ δ' ὑπεναντίον αὐτὴν τῇ γεωμετρικῇ ποιεῖ, ἐκεῖνό ἐστιν, ὅτι ἐπὶ μὲν ἐκείνης ὡς ὁ μέσος πρὸς τὸν ἐλάττονα, οὕτως ἡ τοῦ μείζονος πρὸς τὸν μέσον ὑπεροχὴ πρὸς τὴν τοῦ μέσου πρὸς τὸν ἐλάττονα, ἐπὶ δὲ ταύτης ἀνάπαλιν ἡ τοῦ ἐλάττονος πρὸς τὴν τοῦ μείζονος· ἴδιον δ' ὅμως καὶ ταύτης ἐστὶ τὸ διπλάσιον γίνεσθαι τὸ ὑπὸ τοῦ μεγίστου καὶ μέσου τοῦ ὑπὸ τοῦ μεγίστου καὶ ἐλαχίστου,
5 τὸ γὰρ πεντάκις δ διπλάσιον τοῦ πεντάκις β. ἡ δὲ ἕκτη γίνεται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν μέσον, οὕτως ἡ τοῦ μέσου παρὰ τὸν ἐλάχιστον ὑπεροχὴ πρὸς τὴν τοῦ μεγίστου παρὰ τὸν μέσον, οἷον

α, δ, ϛ,

ἐν ἡμιολίῳ γὰρ ἑκάτεροι λόγῳ· ἐοικυῖα δ' αἰτία καὶ ταύτῃ τῆς πρὸς τὴν γεωμετρικὴν ὑπεναντιότητος, ἀναστρέφει γὰρ κἀνταῦθα ἡ τῶν λόγων ὁμοιότης ὡς ἐπὶ τῆς πέμπτης.

6 Καὶ αἱ μὲν παρὰ τοῖς πρόσθεν θρυλλούμεναι ἓξ μεσότητες αἵδε εἰσί, τρεῖς μὲν αἱ πρωτότυποι μέχρι Ἀριστοτέλους καὶ Πλάτωνος ἄνωθεν ἀπὸ Πυθαγόρου

---

1. τοῦ ante ἐλαχ. om. G — 2. ἐλαχίστων] ἐλασσόνων S — 2. 3. ἐλαχίστου πρὸς διαφορὰν μεγίστων, ἐλαχίστων δὲ διαφορὰ πρὸς διαφ. μεγίστων H — 3. μεγίστων] τὸ β τοῦ α repetunt GPH — ὑπεναντίαν S — αὐτῇ H — 6. ὑπεροχὴ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου ὑπεροχὴν παρὰ τὸν ἐλάσσονα C — 6. 7. τὴν ἐλ. ὑπεροχὴν S — 7. ἀνάπαλιν] ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτως add. C — 9. 10. μεγίστου ... ὑπὸ τοῦ om. G — 11. τοῦ πεντάκις] τὸ ὑπὸ πεντ. G τοῦ ὑπὸ πεντ. PH — 17. ἑκατέρου G ἑκάτερα S_1 -αι S_2 — 18. τὴν om. GPCH — 19. ἀντιστρέφεται C — 23. Πλάτ. καὶ Ἀριστ. C — Πυθαγόρα S

διαμείνασαι, τρεῖς δ' ἕτεραι ἐκείναις ὑπεναντίαι τοῖς μετ' ἐκείνους ὑπομνηματογράφοις τε καὶ αἱρετισταῖς ἐν χρήσει γινόμεναι· τέσσαρας δέ τινας ἑτέρας μετακινοῦντες τοὺς τούτων ὅρους τε καὶ διαφορὰς ἐπεξεῦρόν τινες οὐ πάνυ ἐμφανταζομένας τοῖς τῶν παλαιῶν συγγράμμασιν, ἀλλ' ὡς περιεργότερον λελεπτολογημένας, ἃς ὅμως πρὸς τὸ μὴ δοκεῖν ἀγνοεῖν ἐπιτροχαστέον τῇδέ πῃ. πρώτη μὲν γὰρ αὐτῶν, ἑβ- 7
δόμη δὲ ἐν τῇ πασῶν συντάξει ἔστιν, ὅταν ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως καὶ ἡ τῶν αὐτῶν διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον

ς, η, ϑ·

ἡμιόλιος γὰρ ὁ λόγος ἑκατέρου συγκρίσει ἐνορᾶται.
ὀγδόη δὲ μεσότης, ἥτις τούτων δευτέρα ἐστί, γίνεται, 8
ὅταν ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν τῶν μειζόνων διαφοράν, οἷον

ς, ζ, ϑ·

καὶ αὕτη γὰρ ἡμιολίους ἔχει τοὺς δύο λόγους. ἡ δὲ 9
ἐνάτη μὲν ἐν τῇ τῶν πασῶν συντάξει, τρίτη δὲ ἐν τῷ τῶν ἐφευρημένων ἀριθμῷ ὑπάρχει, ὅταν τριῶν ὅρων ὄντων, ὃν λόγον ἔχει ὁ μέσος πρὸς τὸν ἐλάχιστον, τοῦτον καὶ ἡ τῶν ἄκρων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαχίστων ἔχῃ, ὡς

δ, ς, ζ.

---

1. παραμείνασαι S — ὑπαντίαι C — 3. γενομέναι CS — μετακινοῦντας G — 6. ὡς om. C — λεπτολογημένας S ·λογουμένας H — 7. ἃς om. CH — ὁμοῦ GPS — 8. ἐπιστοχαστέον S — 9. ᾖ om. H — ὡς om. S — 9. 10. ὁ . . . . τὸν om. G — τῶν om. C — 12. ϑ, η, ς codd. conf. § 11. — 13. ἑκατέρᾳ CH — ὁρᾶται P ἐν ἑκατέρᾳ συγκρ. ὁρᾶται S — 18. ϑ, ζ, ς C — 19. λόγους om. PC — 20. ἐν τῇ τῶν om. P τῶν om. G — 22. ὄντων om. H — 24. ἔχει S

10 ἡ δὲ ἐπὶ πάσαις δεκάτη μὲν συλλήβδην, τετάρτη δὲ ἐν τῇ τῶν νεωτερικῶν ἐκθέσει ὁρᾶται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτως καὶ ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν διαφορὰν τῶν μειζόνων, οἷον

γ, ε, η·

11 ἐπιδιμερὴς γὰρ ὁ ἐν ἑκατέρᾳ συζυγίᾳ λόγος. ἐπὶ κεφαλαίου τοίνυν οἱ τῶν δέκα ἀναλογιῶν ὅροι ἐκκείσθωσαν ὑφ᾽ ἓν παράδειγμα πρὸς τὸ εὐσύνοπτον.

πρώτης	α, β, γ,
δευτέρας	α, β, δ,
τρίτης	γ, δ, ϛ,
τετάρτης	γ, ε, ϛ,
πέμπτης	β, δ, ε,
ἕκτης	α, δ, ϛ,
ἑβδόμης	ϛ, η, ϑ,
ὀγδόης	ϛ, ζ, ϑ,
ἐνάτης	δ, ϛ, ζ,
δεκάτης	γ, ε, η.

XXIX κϑ. Λοιπὸν καὶ περὶ τῆς τελειοτάτης καὶ τριχῇ διαστατῆς πασῶν τε περιεκτικῆς ἐν βραχεῖ διαρθρώσω μεσότητος χρησιμωτάτης οὔσης εἰς πᾶσαν τὴν ἐν μουσικῇ καὶ φυσιολογίᾳ προκοπήν· κυρίως γὰρ αὕτη καὶ ὡς ἀληθῶς ἁρμονία ἂν λεχθείη μόνη παρὰ

XXIX. Io. Phil. rec. I, ρλα—ρλγ. — Iambl. p. 167—176. — Boëth. II. 41.

---

7. ἑκάτερον *G* — 8. ἀναλ. δέκα *G* ἀναλογιῶν om. *SH*, μεσοτήτων superscr. *S* — ὅρων *H* — 18. ζ, ϛ, δ *C*
XXIX. Περὶ τῆς τελεωτάτης *S* Ἐπίλογος *H* — 20. τριχῶς (η superscr.) *S* — 21. διαρθρώσει *P* -ῶσαι *S* — 22. χρησιμοτάτης *P* — πᾶσαν] πάντα *P* — 24. ὡς om. *H* — ἂν om. *H* — παρὰ] πάσας *G*

τὰς ἄλλας, εἴπερ μὴ ἐπίπεδος μηδὲ μιᾷ μόνῃ μεσότητι συνδεομένη, ἀλλὰ δυσίν, ἵν' οὕτω τριχῇ διστάνοιτο, ὡς ὁ κύβος ἁρμονία πρὸ βραχέος ἐσαφηνίσθη. ὅταν τοίνυν δύο ὅρων ἄκρων τριχῇ διαστα- 2
τῶν ἀμφοτέρων, εἴτε ἰσάκις ἴσων ἰσάκις, ἵνα κύβος ᾖ, ἢ ἰσάκις ἴσων ἀνισάκις, ἵνα ἢ δοκίδες ἢ πλινθίδες ὦσιν, εἴτε ἀνισάκις ἀνίσων ἀνισάκις, ἵνα σκαληνοί, δύο ὅροι εὑρίσκωνται ἀνὰ μέσον ἄλλοι ἐναλλὰξ πρὸς τοὺς ἄκρους τοὺς αὐτοὺς σώζοντες λόγους καὶ ἀναμίξ, ὥςτε ὁποτερουοῦν αὐτῶν τὴν ἁρμονικὴν σώζοντος ἀναλογίαν τὸν λοιπὸν ἀποτελεῖν τὴν ἀριθμητικήν· ἀνάγκη γὰρ οὕτως διακειμένων τῶν τεσσάρων ἐπιφαίνεσθαι τὴν γεωμετρικὴν ἐμπλέγδην ἀμφοτέραις ταῖς μεσότησιν ἀντεξεταζομένην, ὡς ὁ μέγιστος πρὸς τὸν τρίτον ἀπ' αὐτοῦ, οὕτως ὁ ὑπ' αὐτὸν δεύτερος πρὸς τὸν τέταρτον· τὸ γὰρ τοιοῦτον τὸ ὑπὸ τῶν μέσων ἴσον ποιεῖ τῷ ὑπὸ τῶν ἄκρων· πάλιν δὲ ἂν ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτὸν ἐν τοσαύτῃ δειχθῇ διαφορᾷ, ἐν ὅσῃ καὶ αὐτὸς οὗτος πρὸς τὸν ἐλάχιστον, ἀριθμητικὴ ἡ τοιαύτη ἐξέτασις γίνεται καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλασία τοῦ μέσου· ἐὰν δ' ὁ τρίτος ἀπὸ τοῦ μεγίστου τῷ αὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχῃ καὶ ὑπερέχηται, ἁρμονικὴ καὶ τὸ

---

1. εἴγε *S* — 2. διιστάνοιντο *S* — 5. 6. κύβοι ὦσιν *C* — 6. ἰσάκις] ἀνισάκις *G* — 8. εὑρίσκονται *P* — ἄλλοι] ὅροι add. *GP* ἄλλοι om. *C* — 8. 9. πρὸς τοὺς ἄκρους om. *SH* — 9. σώζονται *C* — 10. ὁποτεροςοῦν *P* — σώζοντες *P* — 11. τῶν λοιπὸν *G* τοὺς λοιποὺς *C* — 14. ἐξεταζομένην *CS* ἐνεξεταζ. *H* — 15. τρίτον τὸν ὑπ' αὐτοῦ *GP* — δεύτερος] ἤγουν ὁ ϑ add. *S* — 18. αὐτῶν *P* — δειχϑῇ] διέχῃ (η superscr.) *H* — 19. ὅσους *G* — 20. ἀριθμητικῆς *H* in mrg. — 22. μεγίστου] μέσον *P* ὁ τρίτος μέσος *H* — 23. ὑπερέχει *P* ὑπεροχὴ καὶ ὑπερέχεται *S*

ὑπὸ τοῦ μέσου καὶ τῆς τῶν ἄκρων συνθέσεως δι-
3 πλάσιον τοῦ ὑπὸ τῶν ἄκρων. ὑπόδειγμα αὐτῆς ἔστω
τοιοῦτον

ϛ, η, ϑ, ιβ·

οὐκοῦν ὁ μὲν ϛ σκαληνὸς ἀπὸ τοῦ ἅπαξ β τρίς, ὁ δὲ
ιβ ἀπὸ τοῦ δὶς β τρὶς ἐν συνεχείᾳ μηκυνθέντων,
τῶν δὲ μέσων ὁ μὲν ἐλάττων ἀπὸ τοῦ ἅπαξ β τετρά-
κις, ὁ δὲ μείζων ἀπὸ τοῦ ἅπαξ γ τρίς, καὶ στερεοί
τε οἱ ἄκροι καὶ τριχῇ διαστατοὶ καὶ ὁμογενεῖς αὐ-
τοῖς αἱ μεσότητες, καὶ κατὰ μὲν τὴν γεωμετρικὴν
ὡς ὁ ιβ πρὸς τὸν η, οὕτως ὁ ϑ πρὸς τὸν ϛ, κατὰ δὲ
τὴν ἀριθμητικὴν ὅσῳ ὁ ιβ τοῦ ϑ ὑπερέχει, τοσούτῳ
καὶ ὁ ϑ τοῦ ϛ, κατὰ δὲ τὴν ἁρμονικὴν ᾧ μέρει ὁ η
τοῦ ϛ ὑπερέχει, ἐν αὐτῷ τῷ ϛ τοῦ μέρους θεωρου-
μένου, τούτῳ ὑπὸ τοῦ ιβ ὑπερέχεται ἐν αὐτῷ τῷ ιβ
4 θεωρουμένῳ. ἀλλὰ μὴν καὶ ὁ μὲν η πρὸς ϛ ἢ ὁ ιβ
πρὸς ϑ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὁ δὲ ϑ πρὸς
ϛ ἢ ὁ ιβ πρὸς η διὰ πέντε ἐν ἡμιολίῳ, ὁ δὲ ιβ πρὸς
ϛ διὰ πασῶν ἐν διπλασίῳ· λοιπὸν δὲ ὁ ϑ πρὸς τὸν
η τονιαῖον ἐν ἐπογδόῳ, ὅπερ μέτρον κοινὸν πάντων
τῶν ἐν μουσικῇ λόγων, ἅτε καὶ γνωριμώτερον ὄν,
ὅτι ἄρα καὶ διαφορὰ τῶν πρώτων καὶ στοιχειωδεστά-
των συμφώνων πρὸς ἄλληλα ὑπάρχει.

5 Καὶ περὶ μὲν τῶν ἐν ἀριθμοῖς ἐπιφαινομένων

---

1. διπλάσιον] ἐπὶ ταύτης add. *H* — 2. ἔσται *S* — 5. ἅπαξ τρεὶς *P* — 8. μείζων ὑπὸ *P* — 9. οἱ om. *GP* — αὐτοὶ *P* — 10. μὲν add Ast. — 12. ὑπερέχει om. *GPS* — 14. ἐν αὐτῷ . . . θεωρουμένου] τῷ αὐτῷ μέρει τοῦ ιβ ὑπ' αὐτοῦ τοῦ ιβ ὑπερέχεται *C* — 15. τοῦτο *G* — ἀπὸ *H* — 16—19. πρὸς] τὸν quinquies add. *CSH* — 18. ἡμιολίῳ] λόγῳ add. *S* — 22. πρώτων] ἤτοι τῶν διὰ δ ἢ διὰ ε add. *C* in mrg. — 23. ὑπάρχει] ὑπερέχει *P* — 24. ἐμφαινομένων *C*

καὶ συμβεβηκότων τοσαῦτα ὡς ἐν πρώτῃ εἰςαγωγῇ ἀρκείτω.

Τέλος ἀριθμητικῆς Νικομάχου P Τέλος τῆς Νικομάχου ἀριθμητικῆς εἰςαγωγῆς C Τέλος τῆς ἀριθμητικῆς εἰςαγωγῆς Νικομάχου. τῷ δὲ θεῷ δόξα καὶ αἶνος H Τέλος σὺν θεῷ τῆς ἀριθμητικῆς Νικομάχου Πυθαγορίου τοῦ Γερασινοῦ Γ [Χε (Χριστέ) προηγοῦ τῶν ἐμῶν πονημάτων S]

ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ.

α. ΤΟΥ ΚΥΝΟΣ.

Δοθέντων ἀπὸ μονάδος ὁποσωνοῦν ἀριθμῶν ἐφεξῆς εὑρεῖν, ὅσος ἐστὶν ὁ σύμπας.

Ἔστωσαν ἀπὸ μονάδος τῆς α ἐφεξῆς οἱ

β, γ, δ, ε, ζ, η, ϑ, ι·

ἢ δὴ ἄρτιόν ἐστι τὸ πλῆϑος αὐτῶν ἢ περιττόν· ἔστω πρῶτον περιττόν· φανερὸν δή, ὅτι οἱ μὲν α ι διπλάσιοί εἰσι τοῦ ε, οἱ δὲ β ϑ τοῦ ε καὶ ἐφεξῆς· ὅσον ἄρα ἐστὶ τὸ πλῆϑος πάντων, τοσαυταπλασίων ἐστὶν ὁ σύμπας συντεϑεὶς τοῦ ε· ἔστιν ἄρα ὡς ὁ ι πρὸς τὴν μονάδα, ὁ σύμπας πρὸς τὸν ε· ὁ ἄρα ὑπὸ τοῦ ι καὶ ε ἴσος ἐστὶ τῷ ὑπὸ τῆς μονάδος καὶ συμπάντων, τουτέστι τῷ σύμπαντι ἀριϑμῷ. εἰλήφϑω δὴ ὁ ἐφεξῆς τῷ ι, ὁ κ· φανερὸν δὴ ὅτι ὁ κ διπλάσιός ἐστι τοῦ ε, ἴσος γάρ ἐστι τοῖς ι α· ἐπεὶ οὖν ὁ ι τὸν ε πολλαπλασιάσας ποιεῖ τὸν σύμπαντα, ἐὰν ἄρα τὸν κ πολλαπλασιάσας ποιήσῃ τινά, ὁ γενόμενος ἔσται τοῦ σύμπαντος διπλασίων. ὅταν ἄρα ἀπὸ

---

1. *ΠΡΟΒΛ. ΑΡ.*] addidi inscript. — 7. hac in serie numerorum $\zeta = 6$, $\eta = 7$, $\vartheta = 8$, $\iota = 9$ ponitur; $\varkappa$ (16) $= 10$.

μονάδος πλήθους ἀριθμῶν ἐφεξῆς τεθέντος ἐρωτηθῶμεν, πόσος ἐστὶν ὁ σύμπας συντεθείς, ἐὰν ὦσι περιττοὶ τὸ πλῆθος, πολλαπλασιάσομεν τὸν μέγιστον ἐπὶ τὸν ἐφεξῆς αὐτοῦ μείζονα καὶ τούτου γενομένου τὸ ἥμισυ λαβόντες ἕξομεν τὸν σύμπαντα· ὁμοίως δὴ ποιήσομεν, καὶ ἐὰν ἄρτιον ᾖ τὸ πλῆθος· ἡ γὰρ αὐτὴ ἀπόδειξις·

α β γ δ ε ζ η ϑ ι — κ
α| β| γ' δ| ε| ϛ| ζ η| ϑ' — ι|.

β. Πῶς ἂν ἐκ μεθόδου προχειρότατα 2
γινώσκοι τις ἀκριβῶς τὴν τῶν συντιθεμένων ἀπὸ μονάδος καὶ ἐφεξῆς ἀριθμῶν γινομένην ποσότητα, μέχρις οὗ δηλονότι ἡ ζήτησις γίνεται.

Ποιείτω οὕτω· πολλαπλασιαζέτω ἐφ' ἑαυτὸν τὸν ἀριθμόν, μέχρις οὗ ἡ ζήτησις γίνεται, καὶ ἀπὸ τοῦ γινομένου λαμβανέτω τὸ ἥμισυ· τούτῳ προςτιθέτω καὶ τὸ ἥμισυ τοῦ πολλαπλασιασθέντος ἀριθμοῦ καὶ τὸν γινόμενον γινωσκέτω εἶναι τὴν τῶν ἀριθμῶν σύνθεσιν ἀπὸ μονάδος, μέχρις οὗ ἡ ζήτησις γίνεται. οἷον ἔστω· γενέσθαι τὴν ζήτησιν ἀπὸ μονάδος ἄχρι τοῦ ιε, πόση ἐστὶν ἡ τῶν ἀριθμῶν κατὰ τὸ συνεχὲς σύνθεσις· τὸν ιε ἐφ' ἑαυτόν, γίνονται σκε· τούτου τὸ ἥμισυ, ριβϚ''· πρόςθες τὸ ἥμισυ τῶν ιε ἤτοι ζϚ', γίνονται ὁμοῦ ρκ· τοσούτων ἡ ἀπὸ μονάδος ἄχρι τοῦ ιε τῶν κατὰ τὸ συνεχὲς ἀριθμῶν σύνθεσις.

ΙΣΑΑΚ.

---

27. *ΙΣΑΑΚ*] Thom. Reinesius codicis margini adscripsit: „*Isaac monachus, cuius extant scholia in Euclidis elementorum geometriae libros VI priores; lat. vert. Conr. Dasyp.*"[odius]. — de Isaaco conf. Fabric. bibl. gr. X, p. 176. — altera ma-

Ἢ καὶ οὕτω· λαμβανέτω τὸ ἥμισυ τοῦ ἀριθμοῦ τοῦ μέχρις οὗ ἡ ζήτησις γίνεται καὶ προςτιθέτω τούτῳ μονάδος ἥμισυ καὶ τὸν γινόμενον πολλαπλασιαζέτω μετὰ τοῦ ἀριθμοῦ, οὗτινος εἰλήφει τὸ ἥμισυ· καὶ τὸν γινόμενον αὖθις γινωσκέτω εἶναι τὴν τῶν ἀριθμῶν σύνθεσιν. οἷον ὡς ἐπὶ τοῦ προυποδειχθέντος ἀριθμοῦ τοῦ ιε, τούτου τὸ ἥμισυ ζ𐅵· πρόςθες μονάδος ἥμισυ, γίνονται η· ταῦτα πολλαπλασίασον ἐπὶ τὸν ιε, γίνονται ρκ. καὶ ἔστι καὶ οὕτως ἡ εὕρεσις ἀσφαλεστάτη, ὡς καὶ ἐπὶ τῆς προτέρας μεθόδου· ὅπερ ἔδει δεῖξαι. ΤΟΥ ΑΥΤΟΥ.

3 γ. Ἀριθμῶν ὅσων δήποτε ἐκκειμένων ἐν ἴσῃ ὑπεροχῇ τὸν συγκεφαλαιούμενον ἐκ τῆς συνθέσεως αὐτῶν λαμβάνειν.

Ποίοι οὕτω· λάμβανε τοὺς ἄκρους τῶν ἐκκειμένων καὶ τούτων τὰ ἡμίση συντιθεὶς καὶ πολλαπλασιάζων ἐπὶ τὸν ἀριθμὸν τοῦ πλήθους τῶν ἐκκειμένων ἕξεις τὸν ἐκ τῆς συνθέσεως τῶν ὅλων. οἷον ἔστωσαν

β, δ, ϛ, η, ι, ιβ·

τὰ ἡμίση τῶν ἄκρων ζ· ταῦτα πολλαπλασιαζόμενα ἐπὶ τὸ πλῆθος τῶν ἐκκειμένων ἀριθμῶν, εἰσὶ δὲ ϛ, ποιοῦσι μβ. πάλιν ἔστωσαν

α, δ, ζ, ι, ιγ, ιϛ, ιθ·

---

nus hoc addidit scholion: Ἐὰν ὦσιν ἀριθμοί, ὅσοι δηποτοῦν ἀπὸ μονάδος ἐφεξῆς ἐν ἴσῃ ὑπεροχῇ, ἡ δὲ τὸ πλῆθος αὐτῶν ἄρτιον, ὁ ἥμισυς τοῦ ἐκ τῆς συνθέσεως τῶν δύο μέσων ἐπὶ τὸ πλῆθος τῶν ἐκκειμένων πολλαπλασιαζόμενος τὸν συγκείμενον ἐξ ὅλων ποιεῖ· ἐὰν δὲ τὸ πλῆθος ᾖ περιττόν, ὁ ἀριθμὸς τοῦ πλήθους πάλιν ἐπὶ τὸν μέσον τῶν ἐκκειμένων πολλαπλασιαζόμενος τὸν συγκείμενον ἐξ ὅλων ποιεῖ.

τὰ ἡμίση τῶν ἄκρων ι καὶ τὸ πλῆθος ζ· δεκάκις οὖν τὰ ζ ποιοῦσιν ο· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

ΤΟΥ ΑΥΤΟΥ.

δ. *α, α, α, γ, γ, ε, ε, ε, ζ, ϑ·* 4

Ταῦτα τὰ δέκα στοιχεῖα συντιθέμενα ποιοῦσι μονάδας μ· φασὶν οὖν τὸν βασιλέα Λέοντα ταῦτα ἐκθεῖναι· καὶ ζητεῖν, ὡς ἂν μερισθῶσι δίχα ἤτοι εἰς πέντε καὶ πέντε στοιχεῖα καὶ ἑκατέρας μερίδος ἴσον εἶναι τὸν ἀριθμόν.

Ἀγνοοῦντες οὖν οἱ ἐξ ἐκείνου μέχρι τοῦ νῦν πάντες τὸν σκοπὸν ἐκείνου καὶ ζητοῦντες, ὥςτε καὶ ἑκατέραν μερίδα μονάδων κ εἶναι ἤτοι τῆς ἡμισείας τῶν ὅλων ποσότητος, ἀνηνύτοις ἐδόκουν ἐπιχειρεῖν, ἀλλ' ἡμεῖς μὴ ἀγνοοῦντες τὸν ἐκείνου σκοπόν, ὅτι οὐκ ἀδύνατα προέθετο ζητεῖν, ἀλλὰ δυνατὰ μέν, πλὴν οὐ τοῖς πᾶσι πρόχειρα, μόνοις δὲ τοῖς τῶν ἀριθμητικῶν μαθημάτων ἐμπείροις, διείλομεν αὐτὰ δίχα οὕτως· ὥςτε ἑκατέρας μερίδος ἀνὰ ε στοιχεῖα ἐχούσης τὸ μὲν πρῶτον εἶναι πολλαπλασιάζον, τὰ δὲ λοιπὰ πολλαπλασιαζόμενα ὑπ' αὐτοῦ, ὡς συνάγειν ἑκατέραν μερίδα μονάδας ξ· καὶ ἔχουσιν οὕτω·

$\bar{\varepsilon}^{\iota\varsigma}$, *α, α, γ, ζ·* — $\bar{\gamma}^{\iota\varsigma}$, *α, ε, ε, ϑ·*

ἔστιν οὖν τῆς μιᾶς μερίδος ἡ ποσότης μονάδων ιβ, δηλαδὴ τῶν δ στοιχείων συντιθεμένων πλὴν τοῦ

---

7. *Λέοντα*] Reinesius in marg.: *Leo Philosophus Aug.* cf. Fabric. bibl. gr. VI, p. 363. — 20. *ἐχούσης*] sic in mrg.; in textu *οὔσης*.

πρώτου, καὶ πενταπλασιαζόμενα ὑπὸ τοῦ πρώτου ποιοῦσιν ξ· ὁμοίως καὶ τῆς ἑτέρας μερίδος κ καὶ τριπλασιαζόμενα ὑπὸ τοῦ πρώτου ποιοῦσιν ξ.

5 *ε. Μέθοδος, δι' ἧς ἀστείως εὑρήσεις, οἷον ἀριθμὸν ἔχει τις ἐπὶ νοῦν.*

Ἀριθμὸν ὁντιναοῦν τῶν ἀπὸ τοῦ ζ μέχρι τοῦ ρε ὑπό τινος ἐν διανοίᾳ εἰλημμένον ζητῶν εὑρεῖν ὁπόσος ἐστί, λήψῃ αὐτὸν μεθόδῳ τοιᾷδε· ἐπίταξον τῷ κατὰ διάνοιαν ἔχοντι τὸν ἀριθμὸν κρυφίως παρ' αὐτῷ ἐκβαλεῖν ἀπ' αὐτοῦ τὸν γ, ὁσάκις ἐγχωρεῖ, καὶ τὰ καταλειφθέντα κάτωθεν τοῦ γ, εἰ καταλειφθείη δηλονότι, ἐκφωνήσαντα εἰπεῖν πρὸς σέ· οὗ καὶ εἰπόντος σὺ ἀνθ' ἑκάστης μονάδος τῶν καταλειφθεισῶν λάμβανε τῇ σῇ χειρὶ τὸν ο ἀριθμόν· οἷον εἰ μὲν μονὰς καταλειφθείη, τὸν ο μόνον, εἰ δὲ δυάς, αὐτὸν τὸν ο δὶς ἤτοι τὸν ρμ, εἰ δ' οὐδεμία μὲν καταλειφθείη, πάντως οὐδὲ σὺ λήψῃ τι· τοῦτο δὲ φυλάξαι σε δεῖ καὶ ἐν ταῖς γενησομέναις λοιπαῖς ἀφαιρέσεσιν, ἐν αἷς δηλονότι μηδεμία μονὰς καταλειφθήσοιτο· εἶτα ἐπίταξον ἐκβαλεῖν ὁμοίως ἐξ αὐτοῦ καὶ τὸν ε, ὁσάκις ἐγχωρεῖ, καὶ τὰ κάτωθεν τούτου καταλειφθέντα εἰπεῖν, ὧν καὶ ἀνθ' ἑκάστης μονάδος λάμβανε τὸν κα, ἑνῶν καὶ τὸν ἀπὸ τούτου συναγόμενον τῷ προειλημμένῳ, εἰ τύχοι, τῇ σῇ χειρί· εἶτ' ἐπίταξον ὁμοίως ἐκβαλόντι καὶ τὸν ζ εἰπεῖν τὰ κάτωθεν τούτου καταλειπόμενα· ὧν καὶ ἑκάστης ἕνεκα μονάδος τὸν ιε λαβὼν καὶ οὓς ἔχεις πάντας συνθεὶς ἐκ τῆς ἐπισυναγωγῆς ἄφες, ὁσάκις δύνῃ, τὸν ρε, εἰ ἐγχωρεῖ δηλονότι, καὶ τὸν κάτωθεν τούτου καταλει-

---

19. *ἐν αἷς δηλ.*] scripsi pro *ἐν ᾗ δηλ.* cod.

φθέντα γίνωσκε τὸν ἀριθμὸν εἶναι, ὃν ζητεῖς, δηλαδὴ τὸν ἐν τῷ λογισμῷ τοῦ ζητήσαντος εὑρεῖν σε τοῦτον εἰλημμένον· ἰστέον μέντοι γε, ὡς εἰ μηδὲν ἐν μηδεμιᾷ ἀφαιρέσει καταλειφθείη, ὅτε οὐδὲ σὺ λήψῃ πάντως τινὰ τῶν προῤῥηθέντων ἀριθμῶν, ὁ ρε ἐστὶν ὁ ὑπ' ἐκείνου ληφθείς.

Γενέσθω δὲ τὰ λεγόμενα καὶ δι' ὑποδείγματος σαφέστερα, καὶ ἔστω ὑφ' ἡμῶν ἐπὶ νοῦν εἰλημμένος ὁ κη· ὃν ἐπειδὴ βούλεταί τις εὑρεῖν τῇ ῥηθείσῃ μεθόδῳ χρώμενος, ἐπιτάττει τὸν γ ἐκβαλεῖν ἐξ αὐτοῦ ὁσάκις ἐγχωρεῖ· οὗ καὶ ἐννάκις ἐκβαλλομένου παρ' ἡμῶν ἐκφωνούντων πρὸς αὐτὸν καὶ τὴν λειπομένην μονάδα, οὗτος ἀντ' αὐτῆς τὸν ο τῇ χειρὶ λαμβάνει· εἶτα καὶ τοῦ ε ὁμοίως ἐκβαλλομένου πεντάκις ἀνθ' ἑκάστης τῶν καταλειπομένων τριῶν μονάδων τὸν κα λαμβάνων τὸν γινόμενον ξγ συντίθησι τῷ πρότερον εἰλημμένῳ τῷ ο· ἐπεὶ δὲ καὶ τοῦ ζ κατὰ τὴν μέθοδον ἐκβαλλομένου τετράκις οὐδὲν λείπεται, οὐδ' οὗτος ἀντὶ τούτου λαβών τινα, ἀλλ' ἀπὸ τοῦ ἐκ τῆς συνθέσεως μόνων ἐκείνων τοῦ τε δηλονότι ο καὶ τοῦ ξγ ἤτοι ἀπὸ τοῦ ρλγ ἐκβαλὼν τὸν ρε τὸν λειπόμενον κη λέγει πρὸς ἡμᾶς ἀναμφιβόλως εἶναι τὸν ἀριθμόν, ὃν ἡμεῖς ἐπὶ νοῦν κεκρατήκαμεν· ὑπὲρ οὗ καὶ ἐκπληττόμενοι τὸν λόγον ζητοῦμεν, ὅτου χάριν τόδε τοιαύτῃ μεθόδῳ εὑρίσκεται.

ϛ. Τῷ ἀποθνήσκοντι ἐπὶ τοῖς ϛ παιδίοις, ὧν τὰ 6
γ ἦσαν ἄῤῥενα καὶ τὰ γ θήλεα, καὶ διαταξαμένῳ περὶ τῶν ἐν τῷ κιβωτίῳ αὐτοῦ χρυσίνων, τὸν πρῶτον τῶν παίδων αὐτῷ τῶν ἀῤῥένων θεῖναι τοσούτους χρυσίνους ἐν τῷ κιβωτίῳ, ὅσοι εἰσὶν ἐν αὐτῷ, εἶτα λαβεῖν διακοσίους πεντήκοντα, τὸν δὲ μετ' ἐκεῖνον

θεῖναι τοσούτους, ὅσοι ὑπελείφθησαν, καὶ λαβεῖν σν, καὶ τὸν τρίτον ὁμοίως θεῖναι τοσούτους, ὅσοι ὑπελείφθησαν, καὶ λαβεῖν σν, τὴν δὲ πρώτην τῶν θυγατέρων θεῖναι τοσούτους, ὅσοι ὑπελείφθησαν, καὶ λαβεῖν ρκε, τὴν δὲ μετ' ἐκείνην θεῖναι τοσούτους, ὅσοι ὑπελείφθησαν, καὶ λαβεῖν ρκε, καὶ τὴν τρίτην ὁμοίως θεῖναι τοσούτους, ὅσοι ὑπελείφθησαν, καὶ λαβεῖν ρκε, ὡς μηδένα οὕτω χρύσινον ὑπολειφθῆναι, σλβ ἦσαν χρύσινοι καὶ τρίτον χρυσίνου καὶ δωδέκατον καὶ ἑκατοστοενενηκοστοδεύτερον ἕν.

I. INDEX.

In hunc indicem omnia quae apud Nicomachum reperiuntur uocabula praeter ea quae admodum uulgaria sunt recepi; absunt numeralia, pronomina, praepositiones, coniunctiones, negationes usitatissimae, nisi grauior quaedam caussa ut insererem me adduxit (omisi igitur ἀλλά, γάρ, δέ, μέν, ὡς, οὐ, μή, cet.; recepi πρῶτος, cum numerum primarium significat, ἐάν pro ἄν positum, ἐάν et ὅταν cum ind. uel opt., cet.); asteriscus * numero praefixus uariam lectionem indicat, nota cet. me, cum oportere non arbitrarer, non omnes quibus idem uocabulum legitur locos adtulisse.

II. CATALOGUS AUCTORUM.

(i = index; test. = testimonia; u. l. = uaria lectio.)

AENEAE

COMMENTARIUS POLIORCETICUS

RECENSUIT

ARNOLDUS HUG.

LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXIV.

LIPSIAE TYPIS B. G. TEUBNERI.

THEODORO FRATRI

CARISSIMO.

PRAEFATIO.

In Aenea Tactico constat, postquam unici testis Medicei codicis lectiones Hercheri in usum nuper denuo ab Iosepho Mueller accuratissime exploratae sunt, emendandi subsidia potissimum esse petenda e coniectura: quam saepissime adhiberi et posse et debere in hoc scriptore, cuius oratio librariorum aliorumque qui legerent et tractarent et licentia et incuria miserrime habita est, cum prioribus editionibus tum praecipue recentissima Rudolphi Hercher, quae Berolini prodiit anno MDCCCLXX, luculento profecto demonstratum est exemplo. Qui uir acutissimus cum primus intellexisset purgari posse Aeneae orationem labibus illis indignis, quibus ante eum erat commaculata, restitui posse reiectis sordibus ueram scriptoris imaginem, qualem fuisse et aetas testatur qua uixit et bona qua fruebatur apud ueteres existimatio, ego quid noua hac editione, quae pars esset bibliothecae Teubnerianae, etiam post Hercheri eximiam operam praestare posse mihi uiderer, fusius exposui libello, cui inscriptum est „Prolegomena critica ad Aeneae editionem", edito illo ad sacra anniuersaria uniuersitatis Turicensis huius anni indicenda*). Ad haec igitur Prolegomena indice locorum tractatorum munita relegatos uelim eos lectores, quorum intersit causas cognoscere, quibus adductus aut coniectando locos quosdam mutandos

*) Venum dat libellum B. G. Teubnerus.

aut aliorum et ueterum' et recentiorum supplementis uel interpretamentis purgandos putarim.

Hanc autem editionem ad exemplar Hercherianae institui ita, ut, quae Hercherus sub marginem relegarat, paucis exceptis sub margine relinquerem, ea autem, quae ex Aeneae oratione, qualem uir ille doctissimus constituerat, uel aliorum uel meae ipsius coniecturae obsecutus item expungenda haberem, cancellis tantum notarem, et quo melius distinguerentur, minoribus imprimenda curarem litteris. Quod si quis mihi obiecerit, aut omnia, quae uel ante Hercherum uel in eius editione uel post eum iure mihi uisa essent ab Aenea abiudicata uel abiudicanda, sub marginem mihi fuisse releganda, aut omnia pariter circumscribenda cancellis, id facile concedam, si rem ipsam spectes, a me fieri potuisse. Illud autem quominus facerem prohibebat siue modestia quaedam siue metus ne, cum uix crederem audaciae crimen me effugiturum, qui etiam longiores grauioresque partes easque partim haud ineleganter scriptas in dubitationem uocassem, cumulus audaciae esse uideretur, si nulla quodammodo lectori optione data statim eas extirparem. Contra nefas esse ducebam, quae Hercherus certissimis usus argumentis eaque plerumque etiam barbaro loquendi genere insignia ex Aeneae oratione stirpitus remouerat, denuo in eam inserere. Ratio autem a me inita defenditur etiam eo, quod pars eorum, quae ego habeo pro interpolatis, aliud produnt interpolationum genus.

De coniecturis, quibus aut in orationem ipsam recipiendis aut in adnotatione commendandis commemorandisue ab Herchero discessi — sunt autem longe plurimae aut a Sauppio in „Goetting. gel. Anzeigen“ anni MDCCCLXXI aut a me ipso excogitatae — eo breuius nunc agere in animo est, quod mearum complures in quarto Prolegomenon capite tractatae sunt: unum liceat in memoriam reuocare quod Hercherus ipse praefatus est: „periculose coniectanti ueniam dabunt quicunque corpori similiter

ulcerato manum admouerunt". Sufficiant igitur haec. De loco perdifficili XL 7, quem interpolatori tribuo, a sententia Proleg. p. 7 proposita ita nunc discedo, ut nec lacunam post *τὸν δὲ ἕτερον ἐπὶ τῷ ἀριστερῷ* esse statuam nec soloecismum in eis quae sequuntur *καὶ οἱ ἄλλοι κατὰ ταὐτά*: correxi enim: *καὶ τὸν ἄλλον κατὰ ταὐτά* „et reliquum h. e. tertium item (h. e. item ac secundum dextro humero gerere hastam). Quod me monuit Hertlinus uir doctissimus ipseque de Aenea optime meritus in censura quam de Prolegomenis meis egit (inserta Ienens. Annal. litter. huius anni num. 29). XXXI 20 pro corrupto *τοῦτο* non licere scribere *τούτου ὧδε*, sed aut *ὧδε* solum aut *τούτου τόδε*, id ipse interim senseram; scriptum enim est in editione *τούτου γίγνοιτο* <*τόδε*>. Idem l. l. suasit ut II 2 in eiciendis *τὸ πόλισμα* duabus uocibus subsisteretur. Quod autem contendit X 24 *ἐπιτρέπειν*, quod conieci pro corrupto *ἐπιρρεῖν*, uerum esse non posse, cum non significaret „negotiis aliquem onerare" sed „confidere alicui aliquid", id coniecturae meae obstare nego, cum amicitiae specie et honoris negotia talia imponenda esse obsidum propinquis edoceamur cum re ipsa tum *διὰ προφάσεων* et *ἀνυπόπτως* uocibus; *λειτουργίας* deinde *ἐπιτρέπειν* eodem modo dicitur ac *φυλακὴν ἐπιτρέπειν* apud Thucyd. et sim. Ad X 5 denique cum concederet Hertlinus, si, quod feci, Sauppio obtemperaremus *ἀποκινῇ* in *ἀποκτείνῃ* mutanti, esse mecum haec uerba *ἐὰν δὲ ὦσι — ἔσται* in § 16 transponenda, ratus tamen est seruari loco suo posse, si pro *ἀποκινῇ* scriberetur *αὐτοῖς κοινωνῇ*. Obstat autem huic coniecturae cum uerborum *ἃ ἑκάστῳ τούτων ἔσται* significatio, quibus non poena, sed praemium notetur, tum praecipue quod si ita uerba constitueris, ut uoluit Hertlinus, mera repetitio deprehendetur in eis quae sequuntur *καὶ ἐάν τίς τινι τῶν φυγάδων συγγένηται ἢ ἐπιστολὰς πέμψῃ ἢ δέξηται, εἶναί τινα κίνδυνον ἢ ἐπιτίμιον αὐτῷ.*

Humanissime certiorem me fecit Hercherus

ipse epistula ad me data, ex qua cum uoluptate percepi uiro illi excellentissimo, qui uiam in Aenea mihi praeiuerat, rationem quam ingressus sum me probasse, in quibusdam exemplaribus editionis suae minoris receptam esse I 2 L. Dindorfii praeclaram coniecturam, qua in uerbis *τὰς τῶν πολεμίων διαβάσεις* scripsit *τῶν ποταμῶν*. Idem deinde mihi adsentiens Proleg. p. 38 in I 8 *ἄλλας* uocem desideranti simpliciter legendum proponit *εἰς τὰς ἄλλας ἐν τῇ πόλει εὐρυχωρίας* articulo seruato quem ego in *ἄλλας* mutaui, *ἄλλας* autem ipsam in *οὔσας* codicum lectione latere ratus. Addo denique in III 1 *κατὰ πολυπλήθειαν δὲ φυλῆς ἑκάστης τὸ μέγεθος τοῦ τείχους φυλαττόντων* me Hertlini coniecturae *τὸ μέρος τοῦ τείχους* quamuis probatae etiam Herchero ideo non accessisse, quod participium ad *τὸ τεῖχος* pertinens desidero, ex quo pendeant *κατὰ πολυπλήθειαν δὲ ἑκάστης φυλῆς* uerba: nec enim possunt haec cum *φυλαττόντων* uerbo coniungi. At poteram etiam *μερισθὲν τὸ τεῖχος* uel *μερίσαντες τὸ τεῖχος* scribere; utcunque uero statuas de his uerbis, certum hoc esse uidetur, quasi appendicis uel correcturae instar praecipi, ut, quae partes muri antea generaliter distinctae sint, eae, postquam sorte sua cuique tribui obtigerit, nunc accuratius circumscribantur secundum tribulium cuiusque tribus numerum. Simili modo uides in participio ipso uim maximam esse positam XXXVII 3: *χρὴ δὲ γνωρίσαντα καθ' ὃν τινα τόπον ὑπορύσσουσιν, ἀνθυπορύσσειν*; ut uernacule uertendum sit hoc de quo agimus enuntiatum „Jedoch soll man beim Beziehen der Wache vorerst die Theile der Mauer nach der Stärke jeder einzelnen Phyle abgrenzen".

De atheteseon rationibus postquam satis exposui in Prolegomenis, adnotandum mihi uidetur hoc loco praeter illas de quibus in libello isto egi, me in editione ipsa hanc emendandi uiam ingressum esse his locis: Hercheri ipsius suspicionibus obsecutum, quas dubitanter proposuerat IV 7. X 15. XI 1.

XXII 11, 13. XXIII 2 (in idem incideram Prol. p. 38 nescius praeceptum iam esse ab Herchero Herm. VII p. 242). XXIV 18. XXVIII 6 (κατὰ Ἑλλήσποντον). XXIX 4. XXXI 23, 24, 28, Sauppii sententiae VIII 1. X 6. XI 7. XII 3. XVII 1, 3. XXXVIII 7; ex mea denique coniectura X 19. XVIII 9. XXI 2. XXVI 6. XXVIII 6 extr. XXXI 15, 22, 27, 31. XXXII 1. XXXIII 1. XXXV. XXXVIII 2. XXXIX 6. XL 5. Sunt autem fere omnia haec leuioris illius generis interpolationum, cuius alia exempla attuli in II cap. Prolegomenon p. 23—34. Quamquam nescio an in nonnullis, paucis quidem, horum locorum etiam longius aliquanto progredi debuerim: haud enim iniuria me quibusdam locis etiam grauiora et longiora Aeneae orationi interposita esse statuisse efficitur etiam adsensu quem hac de re et publice tuli ab Hertlino in censura supra laudata, qui doctus uir disertis uerbis me sibi persuasisse de capite XVI dixit, et priuatim epistulis ad me datis et ab Herchero et ab Adolpho Kirchhoff, uiro laude mea superiori, qui mecum consentire se adfirmauit de XVIII 13—22. Sic fortasse debebam XXII 26 etiam extrema uerba ἀκινδύνων — ὀχλεῖν expungere. In XXXIII 1 non abest suspicio quin haec sola ab Aenea profecta sint: χρὴ δὲ ταῖς προσαχθείσαις χελώναις ἐπιχεῖν πίσσαν καὶ στυππεῖον καὶ θεῖον ἐπιβάλλειν, ἔπειτα πιμπράναι ταῦτα ὧδε ceteris quotquot uerba in medio sunt eiectis. Idem enim interpolator qui in fine capitis illa ἐκ τῶν ἐγγύτατα οἰκιῶν καθαιροῦντα, quae iam Hercherus una cum aliis eiecit, hausisse uidetur ex Thuc. II 75, 4: ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες, poterat ex eodem II 77, 3 ὕλης φακέλους haurire. Caput VII non sum ausus cancellis includere quamquam in adnotatione haud dissimulaui suspectum mihi uideri totum. Suspicionem mouebat ante omnia § 3: ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, οὕτως τοῖς ἐν τῇ πόλει ⟨σημαίνειν⟩ δειπνοποιεῖσθαι· τὸ δὲ τρίτον σημαίνειν εἰς φυλακὴν ἰέναι· ὡς δὲ δεῖ ταῦτα γίγνεσθαι καὶ ὡς

αἴρειν τοὺς φρυκτούς, ἐν τῇ Παρασκευαστικῇ βίβλῳ πλειόνως εἴρηται· ὅθεν δεῖ τὴν μάθησιν λαμβάνειν ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν γράφειν συμβῇ. In quibus postquam Hercherus iam in dubitationem uocauit καὶ ὡς αἴρειν τοὺς φρυκτοὺς uerba, quae huc sane non pertinent, interpolationem sapere uidentur haec: ὅθεν δεῖ — συμβῇ. Quod deinde in hac paragrapho narratur idem est atque quod inuenitur XVIII 1: ὅταν δὲ οἱ ἐκπορευθέντες παραγένωνται καὶ δείλη γίγνηται, σημαίνειν δειπνοποιεῖσθαι καὶ εἰς φυλακὴν ἰέναι, hoc discrimine solo, quod quibus rebus idem signum constituendum dicitur XVIII 1, eisdem constituantur hoc loco duo diuersa (τὸ δὲ τρίτον). His uel similibus opinor difficultatibus permotus Kirchhoffius ad me scripsit se totam hanc paragraphum postea ab alio additam putare: additam autem esse, postquam errore uel alia causa capita VII (1—2) et XVIII—XXVII, quae olim sibi fuissent contigua, separata essent interpositis capp. VIII—XVII. Qua de re sibi certum esse, quamquam, ubi inserenda essent VIII—XVII, non satis liqueret. Hanc autem uiri eruditissimi et sagacissimi coniecturam de turbato quorundam capitum ordine illustrare liceat ipsis Kirchhoffii uerbis quibus de rerum ab Aenea tractatarum ordine quid sentiret mihi per litteras exposuit:

„Die Disposition der Stuecke VI—VII und XVIII —XXVII ist einfach folgende:

Organisation des Wachdienstes bei Tage (VI), Zurückberufung der waehrend des Tages in der Erntezeit ausserhalb beschaeftigten Stadtbewohner mit Sonnenuntergang (VII).

Nach deren Eintreffen 1) allgemeines Abkochen, 2) Antreten der Mannschaften zum Wachdienst waehrend der Nacht und zunaechst 3) Verschluss der Stadtthore (XVIII 1).

Details ueber Thorwachten und was damit zusammenhaengt (XVIII 2—XX 4).

Demnaechst Aufziehen der Wachen mit Ausgebung der Parole (XX 5).

Nachtraegliche Details ueber Einrichtung der Nachtwachen, Patrouillen, panische Schrecken und Parole (XXI—XXVII 14).

Abloesung der Wachen mit Tagesanbruch (XXVII 15).“

Inde igitur cum mecum consentiret de eiciendis eis quae eicienda esse dixi in Prolegomenis XVIII 13—22. XX 1. XXI 1. XXII 1, 8, 10, 19, 26 (de XXII 25 sese dubitare). XXIII 2. XXIV 7—8, 17—18. XXVI 9, 10. XXVII 3, se tamen non probare, quod etiam XXVII 15 remouere uellem „welcher Paragraph mir keine Schwierigkeiten bereitet und den ich sogar nothwendig brauche“; ceterum putare se totum caput XXIII in falsum locum irrepsisse: liberum ergo sibi iudicium reseruare de XXIII 7—11, quae interpolatori tribuissem; addendum deinde VII 1 *μὴ* negationem ante *πόρρω* aduerbium esse expungendam.

Haec Kirchhoffius; quem uides *ἐκπορευθέντας* illud XVIII 1, quod spectare puto ad omnes qui qualibet de causa e. gr. etiam auxilii ferendi ex urbe interdiu profecti sint, explicare de illis qui capite VII frumentatum ex urbe exire dicuntur. Pereleganti autem huic coniecturae, quamquam si, quod spero fore, Kirchhoffio placuerit longius exponere de turbato quem putat rerum tractarum ordine, fieri facile poterit, ut in eius partes sit transeundum, quominus statim accedam prohibet praeter alia quod mihi non uidetur in sola § 3 capitis VII expungenda posse subsisti. Hanc enim si exemeris, uix habebit quo spectet illud *πρῶτον μὲν* § 2: nec enim ueri simile respondere ei *ἐὰν δὲ — πόλιν* uerba sola: ut contra qui *πρῶτον μὲν* scripsit uideatur primo signo opponere uoluisse secundum (*σημαίνειν δειπνοποιεῖσθαι*) et tertium (*τὸ δὲ τρίτον — εἰς φυλακὴν ἰέναι*), absone id quidem et contra rationem; quoniam nec alterum nec tertium signum pertinet ad frumentatores in urbem

reuocandos, quod expectatur post *τούτους δ' οὖν εἰς τὴν πόλιν ἀθροίζειν ὧδε χρή*. At enim non aliena sunt talia a quorundam interpolatorum ingeniis; sin ab Aenea profectas putemus § 1 et 2, tum necesse habeo *πρῶτον μὲν* illud eidem homini tribuere qui de suo addiderit totam § 3. Nec diffiteor me praeterea offendere in uerbis: *ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται εἰς τὴν πόλιν*, quae futilem sapiunt loquacitatem. Nec credibile mihi uidetur quaque uespera *διαδεκτῆρας* signorum eo tantum consilio ex urbe longius mitti, ut eis qui sint in agris nuntietur, quod profecto suis oculis uident, adpropinquare solis occasum. Quibus omnibus adducor ut potius totum caput compositum ab interpolatore putem, qui usus sit et capite VI (uide inprimis § 4: *διαδεκτῆρας*) et capitis XVIII initio: exemplis enim illustrare uolebat signa non solum dari extra urbem, quae in urbe cognoscerentur, sed dari etiam in urbe ipsa.

Universam autem commentarii poliorcetici dispositionem, antequam comperissem Kirchhoffio ordinem capitum a libris traditum in suspicionem uenisse, talem fere repraesentaueram, ut Aeneas quodammodo temporum uices secutus sit, non diei uel noctis discrimina (quamquam in singulis partibus id facile fieri poterat), sed interualla quibus hostes distarent ab urbe oppugnanda:

I. Bellum urbi indicitur uel imminet; urbs parat defensionem I—XIV.
   1) defensorum genera constituuntur I—VI (V agitur de portarum custodibus, VI de hemeroscopis). [VII delendum.]
   2) aditus per agros hostibus impeditur VIII. [IX delendum.]
   3) edicta ad disciplinam publicam inter periculum spectantia X—XIV.

II. Hostes agros urbis intrauerunt (XV 1: *ἄν τι ἀγγελθῇ ἢ πυρσευθῇ βοηθείας δεόμενον*) XV—XX.

1) quomodo βοήθειαι instituendae XV, XVI 14—18 [cetera capitis XVI expungenda]. de festis extra urbem celebrandis XVII.
2) de portis claudendis XVIII—XX.

III. Hostes urbis moenibus propinqui sunt (XXII 1. XXIII 1: προσκαθήμενοι πολέμιοι). XXII—XXXI.
1) de custodibus et circitoribus XXII.
2) de nocturnis eruptionibus XXIII 1—6 [7—11 delend.].

Sequuntur de singulis supplementa: de synthematis XXIV. XXV, de circitoribus XXVI, de panicis terroribus XXVII [omissa § 15], de portis XXVIII, de mercibus et armis importatis XXIX. XXX, de litteris occultis XXXI.

IV. Quando hostes moenia adgrediantur, quid rei gerendum sit. XXXII—XL.
1) in προσαγωγαῖς μηχανήμασιν ἢ σώμασιν
   a) machinis XXXII—XXXV.
   b) scalis XXXVI.
   c) fossis XXXVII.
2) in προσβολαῖς μηχανήμασιν ἢ σώμασιν h. e. impetu ab hostibus in muros facto.
   a) de hostibus pugnando arcendis XXXVIII.
   b) de dolis adhibendis XXXIX.

Supplementum: quomodo efficiatur ut numerus defensorum uideatur maior uero XL.

Mirum autem minime uideri potest, in altera et tertia quas significaui huius commentarii partibus complura etiam alio ordine ab Aenea poni potuisse quam posuit: consentaneum enim erat rerum enumerandarum seriem in his partibus non tam necessario sequi quam in prima et quarta parte. Lecturis autem me gratum fecisse scio, quod Kirchhoffii sententiam ab hac quam supra posui sane discrepantem eos non celaui.

Postremo denique hac utar occasione ad errorem, quem commisi Prolegomenon p. 31, retractandum. Ibi

enim quod ad remouenda uerba XI 10 *καὶ τεττάρων ἑκατοστύων* hoc quoque argumentum adhibui, nusquam, ni multum fallerer, *ἑκατοστύας* partes *φυλῶν* dici: in ea re errasse me edoctus sum Conradi Bursian beneuolentia. Etenim in Samicis inscriptionibus editis a Vischero et Curtio extat etiam formula haec: *καὶ ἐπικληρῶσαι αὐτὸν ἐπὶ φυλὴν καὶ χιλιαστὺν καὶ ἑκατοστύν.* Cum autem in his exemplis prima *φυλῆς* subdiuisio fuerit *χιλιαστὺς*, eius subdiuisio *ἑκατοστύς*, ad hunc locum ne hanc quidem diuisionem pertinere apertum est, ut, quamuis labefactatum sit hoc meum argumentum, ob reliquas causas non putem ab sententia ibi proposita mihi esse recedendum. Eiusdem Bursiani mecum amice communicatas suspiciones duas hoc loco tacere nolim: ad VI 6 proposuit ille legendum *συνημερεύειν* pro corrupto *συνιμείρειν*; quae deinde ego X 19 cum ceteris quae sequuntur ab Herchero iam expunctis item expungenda duxi *ἀλλ' ὕστερον πεπωλήσεται*, in eis aeque atque ego offendens putauit post *ὕστερον* aduerbium inserendum esse participium *ἐπανελθών.*

Scribebam Turici mense Augusto.

Arnoldus Hug.

ΑΙΝΕΙΟΥ

ΤΑΚΤΙΚΟΝ ΥΠΟΜΝΗΜΑ

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΧΡΗ ΠΟΛΙΟΡΚΟΥΜΕΝΟΥΣ ΑΝΤΕΧΕΙΝ.

M = codex Laurentianus plut. LV 4.

C = Casaubonus.

H = Hercherus.

T = Turicenses.

O = Casparus Orelli.

Co. O = Conradus Orelli.

⟨ ⟩ notaui quae aut ab aliis aut a me in orationem inserta sunt.

[ ] et minoribus litteris quae ex interpolatione profecta esse putarem.

Ὅσοις τῶν ἀνθρώπων ἐκ τῆς αὑτῶν ὁρμωμένοις
χώρας ὑπερόριοί τε ἀγῶνες καὶ κίνδυνοι συμβαίνουσιν,
ἄν τι σφάλμα γένηται κατὰ γῆν ἢ κατὰ θάλασσαν,
ὑπολείπεται τοῖς περιγιγνομένοις αὐτῶν οἰκεία τε χώρα
καὶ πόλις, ὥστε οὐκ ἂν ἄρδην πάντες ἀναιρεθεῖεν·
τοῖς δὲ ὑπὲρ τῶν μεγίστων μέλλουσι κινδυνεύειν, 2
ἱερῶν καὶ πατρίδος καὶ γονέων καὶ τέκνων καὶ τῶν
ἄλλων, οὐκ ἴσος οὐδ' ὅμοιος ὁ ἀγών ἐστιν, ἀλλὰ
σωθεῖσι μὲν καὶ καλῶς ἀμυναμένοις τοὺς πολεμίους
φοβεροὺς τοῖς ἐναντίοις καὶ δυσεπιθέτους εἰς τὸν λοι-
πὸν χρόνον εἶναι, κακῶς δὲ προσενεχθεῖσι πρὸς τοὺς
κινδύνους οὐδεμία ἐλπὶς σωτηρίας ὑπάρχει. τοὺς οὖν 3
ὑπὲρ τοσούτων καὶ τοιούτων μέλλοντας ἀγωνίζεσθαι
οὐδεμιᾶς παρασκευῆς καὶ προθυμίας ἐλλιπεῖς εἶναι
δεῖ, ἀλλὰ πολλῶν καὶ παντοίων ἔργων πρόνοιαν
ἐκτέον, ὅπως διά γε αὑτοὺς μηδὲν φανῶσι σφαλέντες·

ΑΙΛΙΑΝΟΥ ΤΑΚΤΙΚΟΝ ΥΠΟΜΝΗΜΑ ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΧΡΗ ΠΟΛΙΟΡΚΟΥΜΕΝΟΥΣ ΑΝΤΕΧΕΙΝ M, *Αἰνείου ἢ αἰλιανοῦ τακτικόν τε καὶ πολιορκητικὸν ὑπόμνημα περὶ τοῦ πῶς χρὴ πολιορκουμένων ἀντέχειν* cod. Cas.

1. *αὑτῶν* Hertlinus: *αὐτῶν M* ‖ 4. *περιγιγνομένοις* H, qui ubique *γίγνομαι* et *γιγνώσκω* restituit: *περιγινομένοις M* | *οἰκεῖα M* ‖ 5. *καὶ πόλις* cod. Cas.: *καὶ πόλις καὶ πατρίς M* | *ἀναιρεθεῖεν* H: *ἀναιρεθείησαν M* ‖ 6. Post *μεγίστων* Sauppius *ἐν τῇ αὑτῶν* excidisse putat ‖ 8. *ὁ ἀγών* Hauptius: *ἀγών M* ‖ 12. *ὑπάρχει* Hertlinus: *ὑπάρξει M* ‖ 14. *οὐδὲ μιᾶς M* ‖ 16. *αὑτούς* T: *αὐτοὺς M*

4 ἂν δὲ ἄρα τι σύμπτωμα γένηται, ἀλλ' οἵ γε λοιποὶ τὰ
ὑπάρχοντα εἰς ταὐτὸ ποτὲ καταστήσειαν ἄν, καθάπερ
τινὲς τῶν Ἑλλήνων εἰς τὸ ἔσχατον ἀφικόμενοι πάλιν
ἀνέλαβον ἑαυτούς.

1 Τὴν οὖν τῶν σωμάτων σύνταξιν σκεψάμενον πρὸς
τὸ μέγεθος τῆς πόλεως [καὶ τὴν διάθεσιν τοῦ ἄστεος]
καὶ τῶν φυλάκων τὰς καταστάσεις καὶ περιοδείας,
καὶ ὅσα ἄλλα σώμασι κατὰ τὴν πόλιν χρηστέον, πρὸς
2 ταῦτα τοὺς μερισμοὺς ποιητέον. τὰ μὲν γὰρ ἐκπο-
ρευόμενα δεῖ συντετάχθαι πρὸς τοὺς ἐν τῇ πορείᾳ
τόπους καὶ τὰς τῶν πολεμίων διαβάσεις καὶ τὰς ἐκ
3 τῶν τοιούτων παρατάξεις, τὰ δὲ τειχήρη καὶ πολιτο-
φυλακήσοντα πρὸς μὲν τὰ τοιαῦτα οὐδὲν δεῖ συντε-
τάχθαι, πρὸς δὲ τοὺς ἐν τῇ πόλει τόπους καὶ τὸν
4 παρόντα κίνδυνον. πρῶτον μὲν οὖν αὐτῶν ἀπονεῖμαι
δεῖ τοὺς φρονιμωτάτους τε καὶ ἐμπείρους μάλιστα
5 πολέμου, οἳ περὶ τοὺς ἄρχοντας ἔσονται· ἔπειτα ἀπο-
λέγειν σώματα ⟨τὰ⟩ δυνησόμενα μάλιστα πονεῖν, καὶ
μερίσαντα λοχίσαι, ἵνα εἴς τε τὰς ἐξόδους καὶ τὰς
κατὰ ⟨τὴν⟩ πόλιν περιοδείας καὶ τὰς τῶν πονουμένων
βοηθείας ἢ εἴς τινα ἄλλην ὁμότροπον ταύταις λει-
τουργίαν ὑπάρχωσιν οὗτοι προτεταγμένοι τε καὶ δυ-

---

1. ἀν M ‖ 2. καταστήσειαν ἄν H: καταστήσαιεν M | καθάπερ τινες M ‖ 5. σκεψάμενον H: σκεψαμένους M ‖ 6. καὶ τὴν διάθεσιν τοῦ ἄστεος ego inclusi ‖ 7. περιοδείας Hertlinus: περιοδίας M ‖ 9. τὰ μὲν γὰρ ἐκπορευόμενα H: τοὺς μὲν γὰρ ἐκπορευομένους M (quod defendit Sauppius) ‖ 11. Post τόπους in M est ὡς χρὴ πορεύεσθαι παρά τε τὰ ἐπικίνδυνα χωρία καὶ ἐρυμνὰ καὶ στενοπόρα καὶ πεδινὰ καὶ ὑπερδέξια καὶ ἐνεδρευτικά: deleuit H ‖ 12. πολιτοφυλακήσοντα Meierus: πολιτοφυλακῆς ὄντα M ‖ 15. αὐτῶν C: αὐτὸν M ‖ 17. Post ἔπειτα in M est λοιπὸν: expunxit H (defendit Sauppius, λοιπῶν suspicabatur Co. O, τὰ λοιπὰ T) ‖ 18. σώματα τὰ T: σώματα M | 19. μερίσαντα C: μετρίσαντα M ‖ 20. τὴν ante πόλιν addidi auctore H | περιοδείας Hertlinus: περιοδίας M

νατοὶ ὄντες ὑπηρετεῖν. εἶναι δὲ αὐτοὺς εὔνους τε 6
καὶ τοῖς καθεστηκόσι πράγμασιν ἀρεσκομένους· μέγα
γὰρ ἂν πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀγαθὸν
ὑπάρχοι ἐν πολιορκίᾳ· φόβος γὰρ ἂν εἴη τοῖς ἐναντία
θέλουσιν ἐν τῇ πόλει. ἡγεμὼν δὲ καὶ ἐπιμελητὴς 7
αὐτῶν ⟨ἀνὴρ⟩ ἔστω τά τε ἄλλα φρόνιμος καὶ εὔρωστος,
καὶ ᾧ ἂν πλεῖστοι κίνδυνοι εἶεν μεταβολῆς γενομένης.
τῶν δὲ λοιπῶν τοὺς ῥωμαλεωτάτους ἡλικίᾳ ἐκλέξαντα 8
ἐπὶ τὰς φυλακὰς καθιστάναι καὶ τὰ τείχη, τῶν δὲ
ὄχλων τοὺς μὲν εἰς τὴν ἀγοράν, τοὺς δὲ εἰς τὸ θέα-
τρον, τοὺς δὲ ἄλλους εἰς ἄλλας οὔσας ἐν τῇ πόλει
εὐρυχωρίας, ἵνα μηδὲν ἔρημον ᾖ εἰς δύναμιν τῆς
πόλεως.

Ἄριστον δὲ τὰς ἀχρείους οὔσας εὐρυχωρίας, ἵνα 2
μὴ σωμάτων εἰς αὐτὰς δέῃ, τυφλοῦν ταφρεύοντα καὶ
ὡς μάλιστα ἀβάτους ποιοῦντα τοῖς νεωτερίζειν βουλο-
μένοις καὶ προκαταλαμβάνειν αὐτάς. Λακεδαιμόνιοι 2
δὴ Θηβαίων ἐμβαλόντων ἔκ τε τῶν ἐγγυτάτω οἰκιῶν
ξύλα λύσαντες καὶ ἐκ τῶν αἱμασιῶν καὶ τειχίων ἄλλοι
κατ' ἄλλους τόπους φορμοὺς γῆς καὶ λίθων πληρώ-

---

1. *ὄντες* deleri uult H ‖ 2. *μέγα γὰρ ἂν πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀγαθὸν ὑπάρχοι ἐν πολιορκίᾳ* H coll. X 20: *μέγα γὰρ πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο ἀθρόον ὑπάρχον ἀντ' ἀκροπόλεως M* (*μέγα γὰρ πρὸς τὰς τῶν ἄλλων ἐπιβουλὰς τοῦτο τὸ ἀθρόον ⟨ἀγαθὸν⟩ ὑπάρχοι ἂν ἀντ' ἀκροπόλεως* T) ‖ 5. *ἐπιμελητὴς* H: *ὁ ἐπιμελητὴς M* ‖ 6. *ἀνὴρ* inserui auctore H ‖ 8. Post *ἡλικίᾳ* in *M* est *καὶ νεότητι*: expunxit Hertlinus ‖ 9. Post *τείχη* in *M* est *τὸ δὲ περιὸν πλῆθος μερίσαντα πρὸς τὸ μῆκος τῶν νυκτῶν καὶ τῶν φυλάκων τὸ πλῆθος καταvεῖμαι*: expunxit H ‖ 11. *εἰς ἄλλας* scripsi coll. III 5, XXIX 10: *εἰς τὰς M* ‖ 14. *ἄριστον δὲ* O: *ἄχρηστον δὲ εἰς M* | Post *εὐρυχωρίας* in *M* est *ἐν τῇ πόλει*: expunxit H ‖ 15. *τύφλουν M* ‖ 18. *δὴ* Sauppius: *δὲ M* (cf. ad XXXI 33) ‖ 19. *ξύλα λύσαντες* H: *διαλύοντες M* (*χερμάδια λύοντες* Haasius, *πλινθία λύοντες* T, *ἰκρία λ.* Hauptius) | *τειχίων* Meinekius: *τειχῶν M* ‖ 20. *πληρώσαντες* H: *πληροῦντες M*

σαντες, φασὶ δὲ καὶ ⟨ὅτι⟩ τοῖς ἐκ τῶν ἱερῶν χαλκοῖς
τρίποσι χρησάμενοι καὶ τούτοις προαποπληρώσαντες
τάς τε εἰσβολὰς καὶ τὰς διόδους καὶ τὰ εὐρύχωρα τοῦ
πολίσματος ἐκώλυσαν τοὺς εἰσβάλλειν ἐπιχειροῦντας
3 [εἰς αὐτὸ τὸ πόλισμα]. Πλαταιεῖς δὲ ἐπεὶ ᾔσθοντο
νυκτὸς ἐν τῇ πόλει Θηβαίους ὄντας, κατανοήσαντες
οὐ πολλοὺς αὐτοὺς ὄντας οὐδὲ ἔργων τῶν προσ-
ηκόντων ἀπτομένους, οἰομένους γε μέντοι κατέχειν τὴν
πόλιν, ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατήσειν. τεχνά-
4 ζουσιν οὖν εὐθέως τοιόνδε. τῶν ἀρχόντων οἳ μὲν
ὁμολογίας ἐποιοῦντο τοῖς Θηβαίοις ἐν τῇ ἀγορᾷ, οἳ
δὲ παρήγγελλον κρύφα τοῖς ἄλλοις πολίταις σποράδην
μὲν ἐκ τῶν οἰκιῶν μὴ ἐξιέναι, καθ' ἕνα δὲ καὶ δύο
τοὺς κοινοὺς τοίχους διορύττοντας λαθραίως παρ'
5 ἀλλήλους ἀθροίζεσθαι. ἑτοιμασθέντος δὲ πλήθους
ἀξιομάχου τὰς μὲν διόδους καὶ τὰς ῥύμας ἐτύφλωσαν
ἁμάξαις ἄνευ ⟨τῶν⟩ ὑποζυγίων, ἀπὸ δὲ σημείου ἀθροι-
6 σθέντες ἐφέροντο ἐπὶ τοὺς Θηβαίους. ἅμα δὲ τούτοις
τὰ γύναια καὶ οἱ οἰκέται ἦσαν ἐπὶ τοῖς κεράμοις, ὥστε
βουλομένων τῶν Θηβαίων πράσσειν ⟨τι⟩ καὶ ἀμύνεσθαι
ἐν σκότει, οὐκ ἐλάττω ἀπὸ τῶν ἁμαξῶν βλάβην ἢ
ἀπὸ τῶν προσκειμένων αὐτοῖς ἀνθρώπων γενέσθαι.
οἳ μὲν γὰρ ⟨ἔφυγον⟩ ἄπειροι ὄντες ᾗ χρὴ σωθῆναι, οἳ
7 δὲ ἐμπείρως διώκοντες πάνυ πολλοὺς ἔφθειραν. [ἐξοι-

1. ὅτι addidit H ‖ 2. Post τρίποσι (ν) in *M* est ὄντων πολλῶν καὶ μεγάλων: expunxit H ‖ 5. εἰς αὐτὸ τὸ πόλισμα inclusi | 13. καθένα *M* ‖ 16. τοὺς μὲν *M* ‖ 17. τῶν addidit H | ἀπὸ Hertlinus: ὑπὸ *M* ‖ 20. τι post πράσσειν addidit H cf. X 25, XII 2, XXII 5 ‖ 21. ἀπὸ H: ὑπὸ *M* | ἁμαξῶν *M* ‖ 22. ἀπὸ H: ὑπὸ *M* ‖ 23. ἔφυγον ex Thuc. II 4 addidit H (ἠπόρουν T, ἠποροῦντο Kirchhoffius, item Hauptius sed eiectis ἄπειροι ὄντες) | Inter σωθῆναι et οἳ δὲ in *M* est διὰ τὰς φράξεις τῶν ἁμαξῶν: expunxit H ‖ 24. πάνυ H: ταχὺ *M* | διέφθειραν scribi uult Kirchhoffius | ἐξοιστέον — pg. 7, 9 ἐν τῇ πόλει inclusi cf. XXVI 10.

στέον δὲ καὶ τὰ ὑπεναντία τούτοις, ὡς μιᾶς μὲν οὔσης εὐρυχω-
ρίας κίνδυνον εἶναι τοῖς ἐν τῇ πόλει, ἂν προκαταλαμβάνωσιν οἱ
ἐπιβουλεύοντες (κοινοῦ γὰρ καὶ ἑνὸς ὄντος τόπου τοιούτου τῶν
φθασάντων ἂν εἴη τὸ ἔργον), δύο δὲ ἢ τριῶν ὄντων τοιῶνδε
τόπων, τάδε ἂν εἴη τὰ ἀγαθά. εἰ μὲν ἕνα ἢ δύο καταλαμβάνοιεν 8
τόπους, τὸν λοιπὸν ἂν τοῖς ἐναντίοις ὑπάρχειν· εἰ δὲ πάντας,
χωρισθέντες ἂν καὶ μερισθέντες ἀσθενεστέρως διακέοιντο πρὸς
τοὺς ὑπεναντίους ἀθρόους ὄντας, εἰ μὴ ἑκάστῳ μέρει ὑπερέχοιεν
τῶν ἐν τῇ πόλει.]

Ἐκ προσφάτου δὲ ἐγγιγνομένου φόβου ἀσυντάκτῳ 3
*πόλει, τάχιστα ἄν τις εἰς σύνταξιν καὶ φυλακὴν τῆς
πόλεως τοὺς πολίτας καταστήσειεν, εἰ ἑκάστῃ φυλῇ
μέρος τι τοῦ τείχους κλήρῳ ἀποδείξειεν, ἐφ' ὃ ἐλθοῦσαι
εὐθὺς αἱ φυλαὶ φυλάξουσι. κατὰ πολυπλήθειαν δὲ
φυλῆς ἑκάστης μερισθέντος τοῦ τείχους φυλαττόντων.
ἔπειτα οὕτως ἀφ' ἑκάστης φυλῆς τοὺς δυναμένους* 2
*τοῖς σώμασι ἀπολέγειν εἴς τε τὴν ἀγορὰν καὶ τὰς
περιοδείας, καὶ εἴ τι ἄλλο δεῖ χρῆσθαι τοῖς τοιούτοις
ἀνθρώποις.* [ὁμοτρόπως δὲ καὶ φρουρίου ὑπὸ συμμάχων 3
φρουρουμένου μέρος τι τοῦ τείχους τῶν συμμάχων ἑκάστοις ἀπο-
διδόσθω φυλάττειν.] *ἐὰν δὲ ⟨οἱ⟩ πολῖται ἐν ὑποψίᾳ*

---

1. *μενούσης* T ‖ 2. *κίνδυνος ἂν εἴη* H | *ἀν M*: *ἄν γε* malit H ‖ 5. *προκαταλαμβάνοιεν* malit H | 6. Pro *ὑπάρχειν* malit H: *ὑπάρχοι καταλαμβάνειν* ‖ 9. Post *πόλει* in *M* est *ὡς δὲ αὕτως καὶ κατὰ τῶν ἄλλων πάντων θελημάτων* (*βουλημάτων* Hertlinus) *χρὴ τὰ ἐνόντα ὑπεναντία τοῖς προγεγραμμένοις ὑπονοεῖν ἵνα μὴ ἀπερισκέπτως τι ἕτερον αἱρῆσαι* (*αἱρήσαιο* uel *αἱρήσαις* C, *αἱρήσῃ* Meierus: *αἱρῆται* Haasius): expunxit H ‖ 10. *ἐγγινομένου M* ‖ 12. *καταστήσειεν* H: *καταστήσοι M* (*καταστήσαι* T) ‖ 13. *ἐφ' ὃ* Reiskius: *ἐφ ὧ M* ‖ 14. *φυλάξουσιν M* | *πολυπλήθειαν* H, *πολυπληθίαν M* ‖ 15. *μερισθέντος* scripsi: *τὸ μέγεθος M* (*φυλὴ ἑκάστη τὸ μέρος* Hertlinus, *φυλῆς ἑκάστης τὸ μέρος* H) ‖ 16. *ἀφ* Kirchhoffius: *ἐφ' M* ‖ 17. *σώμασι* Hertlinus: *σωμασι πονέσαι M* ‖ 18. *περιοδείας* Hertlinus: *περιοδίας M* ‖ 19. *ἀνθρώποις* C: *ἄνθρωπος M* | *ὁμοτρόπως* — 21 *φυλάττειν* inclusi ‖ 21. *οἱ* ante *πολῖται* addidit H

πρὸς ἀλλήλους ὦσι, κατὰ ἀνάβασιν ἑκάστην τοῦ
τείχους δεῖ ἐπιστῆσαι ἄνδρας πιστούς, οἳ κωλυταὶ
4 *ἔσονται, ἄν τις ἐπιχειρῇ ἄλλος ἀναβαίνειν. ἐν εἰ-*
ρήνῃ δὲ [καὶ] *ὧδε χρὴ συντετάχθαι τοὺς πολίτας.*
πρῶτον μὲν ῥύμης ἑκάστης ἀποδεῖξαι ῥυμάρχην ἄνδρα
τὸν ἐπιεικέστατόν τε καὶ φρονιμώτατον, πρὸς ὅν, ἐάν
τι ἀπροσδοκήτως νυκτὸς γένηται, συναθροισθήσονται.
5 *χρὴ δὲ τὰς ἐγγυτάτω ῥύμας τῆς ἀγορᾶς εἰς τὴν ἀγορὰν*
ἄγειν τοὺς ῥυμάρχας, τοῦ δὲ θεάτρου τὰς ἐγγυτάτω
ῥύμας εἰς τὸ θέατρον, εἴς τε τὰς ἄλλας τὰς ἑκάστου
ἐγγυτάτω εὐρυχωρίας ἀθροίζεσθαι τοὺς ῥυμάρχας μετὰ
6 *τῶν ἐξενεγκαμένων παρ' αὐτοὺς τὰ ὅπλα· οὕτω γὰρ*
ἂν τάχιστα ἔς τε τοὺς προσήκοντας ἕκαστοι τόπους
ἀφίκοιντο, καὶ ἐγγυτάτω τῶν σφετέρων οἴκων εἶεν.
[διαπέμποιέν τε ἂν οἰκονομοῦντες πρὸς τοὺς κατ' οἶκον τέκνα καὶ
γυναῖκας, οὐ πρόσω αὐτῶν διατελοῦντες].

4 *Ἔπειτα δεῖ αὐτοῖς πεποιῆσθαι σύσσημα, ἀφ' ὧν μὴ ἀγνοήσουσι τοὺς προσιόντας αὐτοῖς· ἤδη γὰρ τοιόνδε συνέβη. Χαλκὶς ἡ ἐν Εὐρίπῳ κατελήφθη ὑπὸ φυγάδων ὁρμωμένων ἐξ Ἐρετρίας, τῶν ἐν τῇ πόλει τινὸς τεχνασαμένου τοιόνδε. κατὰ τὸ ἐρημότατον τῆς*

---

1. *ἀλλήλους* C: *ἄλλους* *M* ‖ 4. *καὶ* deleri uult H ‖ 5. *ῥύμαρχον* malit H, item 9 et 11 *ῥυμάρχους* ‖ 8. *ἐγγυτάτω* H: *ἐγγυτάτας* *M* ‖ 10. *εἰς δὲ* malit H | *ἄλλας τὰς ἑκάστου ἐγγυτάτω εὐρυχωρίας* Sauppius: *ἄλλας ἕκαστον ἐγγύτατα εὐρυχωρίας* *M* (*ἑκάστοθεν ἐγγύτατα* T, *ἕκαστον ἐγγύτατα* expungi uult H) ‖ 15. *διαπέμποιέν τε* — 16 *διατελοῦντες* inclusi; *τέκνα καὶ γυναῖκας* sola deleuit H ‖ 16. Post *διατελοῦντες* in *M* est *τῶν τε ἀρχόντων δεῖ προκεκληρῶσθαι εἰς ὃν ἕκαστοι τόπον ἐλθόντες τῶν συλλεγέντων ἐπὶ τὰ τείχη ἀποστελοῦσι καὶ τῶν λοιπῶν ἕνεκα ἐπιμελείας ἡγεμόνες ἔσονται ἄνπερ εὐθὺς ἡγεμονεύσωσιν ὧδε*: expunxit H ‖ 17. *Ἔπειτα δεῖ αὐτοῖς* Sauppius: *εὐθύτατα δὲ αὐτοῖς* *M* (*εὐθὺ τοιαῦτα δεῖ αὐτοῖς* Meinekius, *ἔπειτα οὕτω* H) ‖ 19. *ἐνευρίπω* *M* | *ὑπὸ φυγάδων ὁρμωμένων* Kirchhoffius: *ὑπὸ φυγάδος ὁρμωμένου* *M* ‖ 20. *Ἐρετρίας* Meinekius: *ἐρετρείας* *M*

πόλεως καὶ πύλας οὐκ ἀνοιγομένας ἔχον φυλάσσων
τας ἡμέρας καὶ τὰς νύκτας ἔλαθε νυκτὸς τὸν μοχλὸν
διαπρίσας καὶ δεξάμενος ταύτῃ τοὺς στρατιώτας.
ἀθροισθέντων δὲ ἐν τῇ ἀγορᾷ ὡς δισχιλίων ἀνδρῶν 3
ἐσημάνθη τὸ πολεμικὸν σπουδῇ, πολλοὶ δὲ τῶν Χαλ-
κιδέων ἐκφοβηθέντες ἐτίθεντο τὰ ὅπλα παρὰ τοὺς
πολεμίους ὡς παρὰ φιλίους, αὐτὸς ἕκαστος δοκῶν
ὕστερος παραγίγνεσθαι. οὕτως οὖν καθ' ἕνα καὶ δύο 4
οἱ πλεῖστοι ἀπώλλυντο, μέχρι χρόνῳ ὕστερον ἔγνωσαν
τὸ συμβαῖνον, τῆς πόλεως ἤδη κατεχομένης. προ- 5
νοοῦντα οὖν χρή, ἐγγὺς ὄντων τῶν πολεμίων, πρῶ-
τον μὲν τὰ ἀποστελλόμενα ἐκ τῆς πόλεως κατὰ γῆν
ἢ κατὰ θάλατταν ἐπί τινα πρᾶξιν μετὰ συσσήμων πρὸς
τοὺς ὑπομένοντας ⟨συγκειμένων⟩ ἀποστέλλειν καὶ ἡμερι-
νῶν καὶ νυκτερινῶν, ἵνα μὴ ἀγνοῶσι πολεμίων αὐτοῖς
ἐπιφαινομένων ⟨εἰ⟩ φίλιοι ἢ πολέμιοί εἰσιν. † ἐπὶ δὲ 6
πρᾶξιν πορευθέντων καὶ πέμπειν τινὰς γνωσομένους, ἵνα

1. ἔχον cod. Cas.: ἔχων M | φυλάσσων τὰς ἡμέρας καὶ τὰς νύκτας ἔλαθε νυκτὸς τὸν μοχλὸν διαπρίσας H: ἔφερεν πύργαστρήνην φυλάσσων τὰς ἡμέρας καὶ τὰς νύκτας ἔλαθεν νυκτὸς τὸν μοχλὸν διαπρήσας C (ut H, ita Sauppius nisi quod καὶ τὰς νύκτας deleri uult) ‖ 3. ταύτῃ τοὺς C: ταῦτα ἡ M ‖ 5. σπουδῇ corruptum putat H ‖ 6. Post Χαλκιδέων in M est δι' ἄγνοιαν ἀπόλλυνται οἱ γὰρ: expunxit H | Post ἐτίθεντο in M est φέροντες: expunxit Hertlinus | παρὰ τοὺς πολεμίους ὡς παρὰ φιλίους H: πρὸς τοὺς πολεμίους ὡς πρὸς φίλους M ‖ 8. ὕστερος Hertlinus: ὕστερον M | παραγίνεσθαι M ‖ 9. ἀπώλλυντο C: ἀπώλλοιντο M ‖ 10. προνοοῦντα οὖν χρὴ, ἐγγὺς H: πολεμοῦντα οὖν χρὴ καὶ ἐγγὺς M ‖ 13. ἐπί τινα πρᾶξιν μετὰ συσσήμων πρὸς τοὺς ὑπομένοντας ⟨συγκειμένων⟩ scripsi: ἐπί τινα πρᾶξιν πρὸς τοὺς ὑπομένοντας μετασυσσήμων M (ἐπί τινα πρᾶξιν μετὰ συσσήμων H eiectis πρὸς τοὺς ὑπομένοντας ita tamen ut οἱ ὑπομένοντες post ἀγνοῶσιν lin. 15 insereret) ‖ 14. ἀποστέλλειν H: ἀποστέλλεσθαι M ‖ 15. πολεμίων M, τινῶν Meierus, πολιτῶν ἢ πολεμίων uel οἱ ἐν πόλει ἄλλων T ‖ 16. εἰ ante φίλιοι addidit C | † ἐπὶ δὲ πρᾶξιν πορευθέντων] fort. ἔπειτα περὶ τῶν πορευθέντων ‖ 17. τινὰς] malim τοὺς | Post ἵνα in M est καὶ τὰ τοιαῦτα: expunxit H

ὡς ἐκ πλείστου ⟨τὰ⟩ τῶν ἀπόντων οἱ ὑπομένοντες
εἰδῶσι· μέγα γὰρ ἂν φέροι πρὸς τὸ μέλλον ἐκ πλείονος
7 παρασκευάζεσθαι. τοῖς δὲ μὴ οὕτω πράττουσιν ἃ συμ-
βέβηκεν ἐμφανισθήσεται ⟨ἐκ⟩ τῶν ἤδη γενομένων [ἵνα
8 ἐπὶ παραδείγματος καὶ μαρτυρίου καθαροῦ παραλέγηται]. Πει-
σιστράτῳ γὰρ Ἀθηναίων στρατηγοῦντι ἐξηγγέλθη
ὅτι οἱ ἐκ Μεγάρων ἐπιχειροῖεν ἀφικόμενοι πλοίοις
ἐπιθέσθαι νυκτὸς ταῖς τῶν Ἀθηναίων γυναιξί,
θεσμοφόρια ἀγούσαις ἐν Ἐλευσῖνι· ὁ δὲ Πεισίστρατος
9 ἀκούσας προενήδρευσεν. ἐπεὶ δὲ οἱ ἐκ τῶν Μεγάρων
ὡς λεληθότες ἀπέβησαν καὶ ἀπὸ τῆς θαλάττης ἐγέ-
νοντο, ἐξαναστὰς ὁ Πεισίστρατος τῶν ἐνεδρῶν τῶν
τε ἀνδρῶν διέφθειρε τοὺς πλείστους, καὶ τῶν πλοίων
10 οἷς ἀφίκοντο ἐγκρατὴς ἐγένετο. ἔπειτα παραχρῆμα
τοῖς ἑαυτοῦ στρατιώταις πληρώσας τὰ πλοῖα ἔλαβε
τῶν γυναικῶν τὰς ἐπιτηδειοτάτας συμπλεῦσαι, καὶ
κατήγετο εἰς τὰ Μέγαρα ὀψὲ ἀπωτέρω τῆς πόλεως.
11 κατιδόντες οὖν τὰ πλοῖα προσπλέοντα ἀπήντων πολλοὶ
τῶν Μεγαρέων, αἵ τε συναρχίαι καὶ ἄλλοι, θεασόμενοι
ὡς εἰκὸς αἰχμαλώτους ἀγομένας ὡς πλείστας ** καὶ
μετ' ἐγχειριδίων ἀποβάντας τοὺς μὲν καταβαλεῖν,
ὅσους δὲ ἂν δύναιντο τῶν ἐπιφανεστάτων συναρπάζειν
εἰς τὰ πλοῖα. καὶ οὕτως ἐπράχθη.

---

1. *τὰ τῶν ἀπόντων* Hauptius: *τῶν ἀπόντων M* ‖ 2. *εἰδῶσι* Kirchhoffius: *ἴδωσιν M*; cf. XV 5 ‖ 3. *συμβέβηκεν*] malim *συμβαίη ἂν* ‖ 4. *ἐκ* ante *τῶν* addidit C | *ἵνα* — 5 *παραλέγηται* inclusi auctore H (post *ἐμφανισθήσεται* T scripserunt: *ἂν τῶν ἤδη γενομένων ἓν ἐπὶ παραδείγματος καὶ μαρτυρίου καθαροῦ προσλέγηται*) ‖ 7. Post *Μεγάρων* in *M* est *οἳ*: expunxit Co. O | 10. *προενήδρευσεν* C: *προσενήδρευσεν M* ‖ 12. *τῶν ἐνεδρῶν τῶν* Kirchhoffius: *τῶν ἐνεδρευόντων M* | Inter *τῶν τε ἀνδρῶν* et *διέφθειρε* in *M* est *ἐκράτησεν καὶ*: expunxit H ‖ 13. *διέφθειρεν M* ‖ 19. In *M* ante *ἄλλοι* est *οἱ*: expunxit H | *θεασόμενοι* Kirchhoffius: *θεώμενοι M* ‖ 20. lacunam indicauit C, excidisse putans *ὃ δὲ ἐκέλευσε* ‖ 23. Post *καὶ οὕτως ἐπράχθη M* habet

Ἔπειτα πυλωροὺς καθιστάναι μὴ τοὺς τυχόντας 5
ἀλλὰ φρονίμους καὶ ἀγχίνους, ἔτι δὲ καὶ εὐπόρους
καὶ οἷς ἐνέχυρα ἐν τῇ πόλει ὑπάρχει, τέκνα καὶ
γυναῖκας λέγω, ἀλλὰ μὴ οἵτινες δι' ἔνδειαν ἢ συν-
αλλαγμάτων ἀνάγκην ἢ δι' ἄλλην τινὰ ἀπορίαν
πεισθεῖεν ἂν ὑπό τινων ἢ αὐτοὶ παρακαλέσειαν
ἄν τινας ἐπὶ νεωτερισμόν. Λεύκων δὲ ὁ Βοσπόρου 2
τύραννος καὶ τῶν φρουρῶν τοὺς χρεωφειλέτας διὰ
κυβείαν ἢ δι' ἄλλας ἀκολασίας ἀπομίσθους ἐποίει.

Χρὴ δὲ καὶ ἡμεροσκόπους πρὸ τῆς πόλεως καθι- 6
στάναι ἐπὶ τόπῳ ὑψηλῷ καὶ ὡς ἐκ πλείστου φαι-
νομένῳ, ἡμεροσκοπεῖν δὲ ἐφ' ἑκάστῳ χωρίῳ τρεῖς
τοὐλάχιστον, μὴ τοὺς τυχόντας, ἀλλ' ἐμπείρους πο-
λέμου, ὅπως μὴ δι' ἄγνοιαν δοξάζων τι ὁ σκοπὸς
σημήνῃ ἢ διαγγείλῃ εἰς τὴν πόλιν, καὶ ματαίως ὀχλήσῃ
τοὺς ἀνθρώπους. πάσχουσι δὲ ταῦτα οἱ ἄπειροι τά- 2
ξεων καὶ πολέμου, ἀγνοοῦντες τὰς τῶν πολεμίων
ἐργασίας καὶ πράξεις, εἴτε ἐκ παρασκευῆς πράσσονται,
εἴτε καὶ ἀπὸ ταὐτομάτου. ὁ δὲ ἔμπειρος, γνοὺς τὴν 3
τῶν πολεμίων παρασκευὴν καὶ ⟨τὸ⟩ πλῆθος καὶ ⟨τὰς⟩
πορείας καὶ τὴν ἄλλην κίνησιν τοῦ στρατεύματος,
οὕτω τὴν ἀλήθειαν ἐμφανιεῖ. ἐὰν δὲ μὴ ὑπάρχωσι 4
τοιοίδε τόποι, ὥστε καὶ εἰς τὴν πόλιν ἀπ' αὐτῶν

δῆλον οὖν ὅτι μετὰ συσσήμων καὶ μὴ ἀγνοουμένων πρὸς ἀλλήλους τὰς ἀθροίσεις καὶ τὰς πέμψεις δεῖ ποιεῖσθαι: expunxit H ‖ 2. Post ἀγχίνους in *M* est καὶ μὴ ὑπονοεῖν μη δυναμένους ἀεί τι τῶν εἰσκομιζομένων: eiecit H ‖ 4. γυναῖκας cod. Cas.: γυναῖκα *M* ‖ 6. ἂν post πεισθεῖεν adiecit H | παρακαλέσειαν Sauppius: παρακελεύσαιεν *M* (παραπείσειαν H) ‖ 7. ἐπὶ νεωτερισμόν scripsi: ἐπινεοτερισμῷ *M* (ἐπὶ νεωτερισμῷ C) ‖ 14. δοξάζων τι C: δοξάζον τι *M* (δόξαν τινὰ H) ‖ 15. ὀχλήσῃ Meinekius: ὀχλῇ *M* ‖ 16. τοὺς ἀνθρώπους Hertlinus: τοῖς ἀνθρώποις *M* ‖ 18. πράσσονται H: πράσσεται *M* ‖ 19. ἀπὸ ταὐτομάτου H: παραταὐτομάτου *M* ‖ 20. τὸ et τὰς adiecit H ‖ 22. ὑπάρχωσιν τοιοῖδε *M* ‖ 23. καὶ deleri uult H | ἀπαυτῶν *M*

φαίνεσθαι τὰ σημεῖα, ἄλλους ἐπ' ἄλλοις διαδεκτῆρας
εἶναι τῶν αἱρομένων σημείων, οἳ σημανοῦσιν εἰς τὴν
5 πόλιν. εἶναι δὲ τοὺς ἡμεροσκόπους καὶ ποδώκεις.
ὅπως, ἂν μὴ οἷόν τ' ᾖ τοῖς σημείοις δηλοῦν, ἀλλ'
αὐτῶν τινα δέῃ ἐξ ἀνάγκης ἀγγέλλειν, δύνωνται ταχὺ
6 ἀφικνεῖσθαι, κἂν ὡς ἐκ πλείστου ἀγγέλλωσιν. ἄριστον
δὲ ἱππασίμων ὄντων τῶν τόπων καὶ ὑπαρχόντων
ἵππων ἱππέας συνεργεῖν, ἵνα διὰ τῶνδε θᾶσσον ἀγ-
γέλληται. πέμπειν δὲ ἐκ τῆς πόλεως τοὺς ἡμεροσκό-
πους ὄρθρου ἢ ἔτι νυκτός, ἵνα τοῖς τῶν πολεμίων
σκοποῖς μὴ κατάδηλοι ὦσιν ἡμέρας πορευόμενοι ἐπὶ
7 τὰ ἡμεροσκοπεῖα. σύνθημα δὲ ⟨μὴ⟩ ἔχειν αὐτοὺς ἓν
καὶ τὸ αὐτὸ, ὅπως μήτε ἑκόντες μήτε ἄκοντες, ἐὰν
συλληφθῶσιν ὑπὸ τῶν πολεμίων, εἰπεῖν ἔχωσι τὸ
τῶν ἐν τῇ πόλει σύνθημα. παραγγέλλεσθαι δὲ τοῖς
ἡμεροσκόποις αἴρειν τὰ σύσσημα ἐνίοτε, καθάπερ οἱ
πυρσευταὶ τοὺς πυρσούς.

7 Ὅταν δὲ ἡ χώρα ἐγκάρπως διακέηται, μὴ πόρρω
ὄντων τῶν πολεμίων, εἰκὸς πολλοὺς τῶν ἐν τῇ πόλει
περὶ τοὺς ἐγγὺς χώρους διατελεῖν, γλιχομένους τοῦ
2 καρποῦ. τούτους δ' οὖν εἰς τὴν πόλιν ἀθροίζειν
ὧδε χρή. πρῶτον μὲν τοῖς ἔξω ἅμα ἡλίῳ δύνοντι

---

1. Post ἐπ' ἄλλοις in *M* est τόποις: expunxit Hertlinus 2. αἱρομένων Hertlinus: ἀειρομένων *M* | σημανοῦσιν T: σημαίνουσιν *M* ‖ 4. ὅπως, ἂν μὴ οἷόν τ' ᾖ τοῖς σημείοις Sauppius: οἳ ὅσα μὴ οἷά τε τῶν σημείων *M* (ἵνα ὅσ' ἂν μὴ οἷά τ' ᾖ διὰ τῶν σημείων Hertlinus) ἵν' ἂν μὴ οἷόν τε διὰ τῶν σημείων H 6. κἂν ὡς H: καὶ ὡς *M* ‖ 7. τῶν post ὄντων habet cod. Cas. 8. ἵππων cod. Cas.: ἱππέων *M* | συνεργεῖν H: συνιμείρειν *M* (συνείρειν cod. Cas.; fort. σύσσημα αἴρειν) ‖ 9. ἡμεροσκοπεῖα C: ἡμεροσκοπία *M* ‖ 11. ἐπὶ τὰ cod. Cas.: ἔπειτα *M* ‖ 12. μὴ addid. T (οὐχ ἓν C; post αὐτὸ addi uult Meierus ὁμοίως δὲ τοὺς πολίτας ἓν καὶ τὸ αὐτὸ. Mihi quoque oratio lacunosa uidetur. Fort. post τὸ αὐτὸ exciderunt τοῖς ἄλλοις uel τοῖς ὑπομένουσιν 16. σύσσιμα *M* ‖ 18. ἐγκάρπως Hertlinus: ἔγκαρπος *M* | διακέηται G. Dindorfius: διάκειται *M* ‖ 21. οὖν deleri uult H

σημαίνειν ἀπιέναι εἰς τὴν πόλιν· ἐὰν δὲ ἐπὶ πλέον
τῆς χώρας ἐσκεδασμένοι ὦσιν, ὑπὸ διαδεκτήρων ση-
μαίνεσθαι, ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται
εἰς ⟨τὴν⟩ πόλιν. ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, 3
οὕτως τοῖς ἐν τῇ πόλει ⟨σημαίνειν⟩ δειπνοποιεῖσθαι·
τὸ δὲ τρίτον σημαίνειν εἰς φυλακὴν ἰέναι. ὡς δὲ δεῖ 4
ταῦτα γίγνεσθαι καὶ ὡς αἴρειν τοὺς φρυκτούς, ἐν
τῇ Παρασκευαστικῇ βίβλῳ πλειόνως εἴρηται. ὅθεν δεῖ
τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν
γράφειν συμβῇ.

Μετὰ δὲ ταῦτα [εἰς τὴν χώραν] προσδεχόμενον 8
πλείω καὶ μείζω δύναμιν πολεμίων πρῶτον μὲν τὴν
χώραν δυσείσβολον τοῖς πολεμίοις καὶ δυσστρατοπέ-
δευτον καὶ δυσπόρευτον κατασκευάζειν καὶ τοὺς πο-
ταμοὺς δυσδιαβάτους καὶ δύσπλους. πρός τε τὰς 2
ἀποβάσεις τῶν πολεμίων εἰς τὰ ψαμμώδη καὶ στερεὰ
ὅσα καὶ οἷα χρὴ κατασκευάζεσθαι δολώματα τοῖς
ἀποβαίνουσι, τοῖς τε ἐν τῇ χώρᾳ καὶ τῇ πόλει λι-
μέσιν οἷα δεῖ φράγματα παρασκευάζεσθαι πρὸς τὸ
μὴ εἰσπλεῖν ἢ τὰ εἰσπλεύσαντα μὴ δύνασθαι ἐκπλεῦσαι,
τά τε καταλιμπανόμενα μὲν ἐν τῇ χώρᾳ ἀκουσίως 3

---

3. παραγίνωνται M ‖ 4. τὴν ante πόλιν add. H ‖ 5. τοῖς ἐν τῇ πόλει σημαίνειν δειπνοποιεῖσθαι H: τοῖς ἐν τῇ πόλει δειπνοποιεῖσθαι M (post πόλει addi uult δεῖ σημαίνειν C) ‖ 6. Post ἰέναι in M est καὶ καθιστάναι: expunxit H (καθεστάναι Hertlinus) ‖ 7. ταῦτα H: τούτους M (τοῦτο C) | γίνεσθαι M | καὶ ὡς αἴρειν τοὺς φρυκτοὺς ab interpolatore profectum esse suspicatur H, mihi totum caput VII suspectum: ad § 3 conf. XVIII 1 et XX 5 ‖ 8. πλειόνως (τελέως H, διὰ πλειόνων Sauppius) ‖ 9. μὴ δὶς C: μηδεὶς M ‖ 11. εἰς τὴν χώραν inclusit Sauppius ‖ 13. δυσείσβολον H: δυσεπίβολον εἶναι M (δυσεπίβολον ὡς δεῖ T) | δυσενστρατοπέδευτον Meinekius ‖ 14. δυσπόρευτον H: δυσπροσπόριστον M ‖ 15. δύσπλους H: πλείους M (ἀπλεύστους O, ἀπλοίους Meinekius, ἐλείους Hauptius) ‖ 16. εἴς τε ψαμμώδη Meinekius ‖ 17. Post οἷα in M est εἰς τούτους: expunxit H ‖ 21. μὲν add. H | ἀκουσίως T: ἑκουσίως M

εἰς χρείαν δὲ φέροντα τοῖς ἐναντίοις, οἷον ⟨τὰ⟩ πρὸς
4 *τειχοποιίαν ἢ σκηνοποιίαν ἢ ἄλλην τινὰ πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν, καὶ τὰ κατὰ τὴν χώραν στάσιμα ὕδατα ὡς ἄποτα δεῖ ποιεῖν, τά τε ἱππάσιμα*
5 *τῆς χώρας ὡς δεῖ ἄνιππα ποιεῖν, περὶ οὖν τούτων πάντων ὧδε μέν μοι παραλείπεται, γέγραπται δὲ τελέως περὶ αὐτῶν ἐν τῇ Παρασκευαστικῇ βίβλῳ.*

9 [Ἂν δὲ θρασύνεσθαί τι ἐπιχειρῶσιν οἱ ἐπιόντες πρός σε, τάδε ποιητέον. πρῶτον μὲν χρὴ σώμασι τόπους τινὰς τῆς οἰκείας χώρας καταλαβεῖν, ἔπειτα ἐκκλησιάσαντα τοὺς σεαυτοῦ στρατιώτας ἢ πολίτας ἄλλα τε προειπεῖν αὐτοῖς, ὡς ὑπαρξούσης τινὸς αὐτοῖς πράξεως εἰς τοὺς πολεμίους, καὶ ὅταν νυκτὸς σημήνῃ τῇ σάλπιγγι, ἑτοίμους εἶναι τοὺς ἐν τῇ ἡλικίᾳ, ἀναλαβόντας τὰ ὅπλα καὶ ἀθροισθέντας εἰς χωρίον ῥητὸν ἕπεσθαι τῷ ἡγου-
2 μένῳ. διαγγελθέντων οὖν τούτων εἰς τὸ στρατόπεδον τῶν πολεμίων ἢ τὴν πόλιν, δύνασαι ἀποτρέψαι ὧν ἐπιχειροῦσι πράσσειν
3 τούτων δὲ οὕτω πραχθέντων τοῖς μὲν φιλίοις θάρσος ἐμποιήσεις, ὥστε ἐπιχειρεῖν· τοῖς δὲ πολεμίοις φόβον ἐμπαρασκευάσεις, ὥστε ἐπὶ τῆς αὑτῶν ἠρεμεῖν.]

---

1. *οἷον τὰ πρὸς τειχοποιίαν* H: *οἷον πρός τε τειχ.* *M* ‖ 2. *ἢ ἄλλην τινὰ πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν* H: *ἢ ἄλλην τινὰ πρᾶξιν ὡς δὴ ἀρχεῖα ποιεῖν ἢ φθείροντα ἀφανίζειν τά τε βρωτὰ — ἔγκαρπα* *M* (*ὡς δεῖ* C; idem coniecerat *π. φθείροντα ἢ ἀφανίζειν*; *ποιεῖν ἢ μὴ φθείροντα ἀφ.* Haasius) ‖ 4. *καὶ τὰ κατὰ τὴν* H: *καὶ τὰ ἄλλα κατὰ τὴν* *M* ‖ 6. *περὶ οὖν* H: *περὶ μὲν οὖν* *M* ‖ 7. *ὧδε* *M* | *μέν μοι* H: *μὲν νῦν* *M* | Post *παραλείπεται* in *M* est *ὡς δεῖ ἕκαστον τούτων γίνεσθαι ἵνα μὴ καὶ ταῦτα λίαν πολλὰ δηλοῦται*: expunxit H (*πολλαχῇ* pro *πολλὰ* T, *δηλῶται* Co. O) ‖ 9. Totum caput IX inclusi, eidem interpolatori tribuens qui XVI 1—13, 19—22 scripsit. Eiusdem esse suspicor XVIII 13—19. XXIII 7—11 et alia minora. Vide Prolegomena mea ad Aeneam ‖ 11. *σεαυτοῦ* H: *αὐτοῦ* *M* ‖ 12. *ὑπαρξούσης* Sauppius: *ὑπαρχούσης* *M* ‖ 13. *σημήνῃ* Hertlinus: *σημάνῃ* *M* ‖ 14. *τε* post *ἀναλαβόντας* inseri uult H ‖ 17. *δύνασαι* Hertlinus: *δύνανται* *M* *ἐπιχειροῦσι* H: *ἐπιχειρῶσι* *M* ‖ 18. *ἐμποιήσεις ὥστε ἐπιχειρεῖν* H: *ἐμποιήσειας ἐπιχειρεῖν τι ἄλλον δεδιὼς* *M* (*ἐμποιήσεις ὡς ἐπιχειρῶν τι ἀλλ' οὐ δεδιώς* T) ‖ 19. *ὥστε* add. C ‖ 20. *αὑτῶν* *M*

Δεῖ δὲ καὶ τάδε παρηγγέλθαι. τῶν πολιτῶν τοὺς 10
*κεκτημένους ζεύγη ἢ ἀνδράποδα ὑπεκτίθεσθαι εἰς
τοὺς προσοίκους, ὡς οὐκ εἰσαξόντων εἰς τὴν πόλιν.
οἷς δ' ἂν μὴ ὑπάρχῃ ξενία παρ' οὓς θήσονται, τοὺς* 2
*ἄρχοντας δημοσίᾳ παρατίθεσθαι τοῖς προσοίκοις, πα-
ρασκευάζοντας δι' ὧν σωθήσεται τὰ ὑπεκτιθέμενα.
ἔπειτα κηρύγματα ποιεῖσθαι τοιάδε διά τινος χρόνου,* 3
*φόβου καὶ ἀποτροπῆς τῶν ἐπιβουλευόντων ἕνεκα.
κατακομίζειν τὰ ἐλεύθερα σώματα καὶ τοὺς καρποὺς
εἰς τὴν πόλιν, τοῦ δὲ ἀνηκουστοῦντος ἐξουσίαν εἶναι
τῷ βουλομένῳ ἀζήμια ἄγειν καὶ φέρειν τὰ ἐκ τῆς
χώρας. τάς τε ἑορτὰς κατὰ ⟨τὴν⟩ πόλιν ἄγειν, συλλό-* 4
*γους τε ἰδίους μηδαμοῦ μήτε ἡμέρας μήτε νυκτὸς
γίγνεσθαι, τοὺς δὲ ἀναγκαίους ἢ ἐν πρυτανείῳ ἢ ἐν
ἄλλῳ φανερῷ τόπῳ. μηδὲ θύεσθαι μάντιν ἰδίᾳ ἄνευ
τῶν ἀρχόντων. μηδὲ δειπνεῖν κατὰ συσσιτίαν ἀλλ'* 5
*ἐν ταῖς αὐτῶν οἰκίαις ἑκάστους, ἔξω γάμου καὶ πε-
ριδείπνου, καὶ ταῦτα προαπαγγείλαντας τοῖς ἄρχουσιν.
καὶ ἐάν τίς τινι τῶν φυγάδων συγγένηται ἢ* [παρ' 6
ἐκείνων τισὶν ἢ] *ἐπιστολὰς πέμψῃ ἢ δέξηται, εἶναί
τινα κίνδυνον ἢ ἐπιτίμιον αὐτῷ. τῶν δὲ ἐκπεμπο-
μένων καὶ εἰσαγομένων ἐπιστολῶν εἶναι ἐπισκόπους,*

---

3. *εἰσαξόντων* C: *εἰσαξιόντων* *M* ‖ 4. *ὑπάρχῃ ξενία* scripsi: *ὑπάρξῃ ξενία* *M* (*ὑπάρξωσι ξένοι* Reiskius, *ὑπάρχωσι ξένοι* H) | *τοὺς ἄρχοντας* Hertlinus: *πρὸς τοὺς ἄρχοντας* *M* ‖ 8. *ἕνεκα* H: *ἕνεκεν* *M* ‖ 10. *εἰς τὴν πόλιν* H: *ἐν τῇ πόλει* *M* ‖ 12. *κατὰ τὴν πόλιν* H: *κατὰ πόλιν* *M* ‖ 14. *γίνεσθαι* *M* | *πρυτανείῳ* C: *πυρσανείω* *M* | Post *πυρσανείω* in *M* est *ἢ ἐν βουλῇ*: expunxit H ‖ 15. *ἰδία* *M* | *ἄνευ τῶν ἀρχόντων* H: *ἄνευ του ἄρχοντος* *M* ‖ 16. *κατασυσσιτίαν* *M* ‖ 18. Post *ἄρχουσιν* in *M* est *ἐὰν δὲ ὦσιν φυγάδες, ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν ἢ ξένων ἢ δούλων ἀποκινῇ, ἃ ἑκάστῳ τούτων ἔσται*: transposui in § 16 ‖ 19. *παρ' ἐκείνων τισὶν ἢ* inclusi Sauppio auctore (*ἢ ἐπιστολὰς πέμψῃ ἢ παρ' ἐκείνων δέξηται* Hertlinus: *ἢ δέξηται παρ' ἐκείνου ἐπιστολὰς ἢ πέμψῃ* H) ‖ 22. *ἐπισκόπους* H: *ἐπισκόπησιν* *M*

7 πρὸς οὓς οἰσθήσονται πρότερον. ὅπλα οἷς ἐστὶν
ἑνὸς πλείω ἀπογράφεσθαι, καὶ εἰσάγειν μηδένα μηδὲν
ὅπλον, μηδὲ ἐνέχυρον δέχεσθαι. στρατιώτας μὴ μι-
σθοῦσθαι μηδὲ ἑαυτὸν μισθοῦν ἄνευ ⟨τῶν⟩ ἀρχόντων.
8 ἐκπλεῖν μηδένα ἀστῶν μηδὲ μέτοικον ἄνευ συμβόλου.
τά τε πλοῖα ⟨μὴ⟩ ὁρμίζεσθαι κατὰ τὰς πύλας, ὡς ἐν
9 τοῖς ἐχομένοις ῥηθήσεται. ξένους τοὺς ἀφικνουμένους,
τὰ ὅπλα ἐμφανῆ καὶ πρόχειρα φέρειν, καὶ εὐθὺς
αὐτῶν παραιρεῖσθαι, καὶ αὐτοὺς μηδένα ὑποδέχεσθαι
μηδὲ τοὺς πανδοκέας ἄνευ τῶν ἀρχόντων, τοὺς δὲ
ἄρχοντας ἀπογράφεσθαι καὶ παρ' ᾧτινι ἂν κατ-
10 άγωνται. τὰς δὲ νύκτας ὑπὸ τῶν ἀρχόντων τὰ παν-
δοκεῖα ἔξωθεν κλείεσθαι· διὰ χρόνου δέ τινος, ὅσοι
ἂν ταλαπείριοι αὐτῶν ὦσιν, ἐκκηρύττεσθαι. ὁμοτρό-
πως δὲ καὶ τοὺς κατὰ παίδευσιν ἢ κατ' ἄλλην τινὰ
11 χρείαν ἐπιδημοῦντας ἀπογράφεσθαι. ταῖς δὲ δημοσίᾳ
ἀφικνουμέναις πρεσβείαις ἀπὸ πόλεων ἢ στρατοπέδων

1. πρὸς οὓς cod. Cas.: προὺς M | οἰσθήσονται T: οἰσθήσεται M ‖ 2. εἰσάγειν Kirchhoffius: ἐξάγειν M ‖ 4. τῶν ante ἀρχόντων inseruit H ‖ 6. Post πλοῖα in M est προσηγγέλθαι: expunxit H (παρηγγέλθαι Hertlinus) | μὴ inserui | κατὰ τὰς πύλας, ὡς ἐν τοῖς ἐχομένοις ῥηθήσεται scripsi. (Fortasse τοῖς ἐχομένοις ῥηθήσεται ut marginalis nota expungenda. Confer XXVIII 2 ἔτι τε μηδὲ πλοῖα κατ' αὐτὰς [h. e. πύλας] ὁρμίζεσθαι): ὁρμίζεσθαι καθ' ἃς πύλας τοῖς ἐχομένοις ῥηθήσεται M (ἐν ante ἐχομένοις addidit H) ‖ 8. εὐθὺς H: εὐθὺ M ‖ 9. παραιρεῖσθαι Reiskius: παρῆσθαι M (παρηρῆσθαι C) cf. XXX 2 | αὐτοὺς μηδένα M, quod seruaui: (αὐτῶν μηδ. T et H) ‖ 10. πανδοκέας Meinekius: πανδοχέας M ‖ 11. παρ' ᾧτινι C: παρ ᾧτινι C: παρ' ᾧ τινες M | ἂν κατάγωνται H: ὅτ' ἂν κατάγωνται M (καὶ ὅθεν κατάγονται O, οἵ τινες ἂν κατάγωνται omisso καὶ ante παρ' ᾧ τινι Meierus, καὶ ὅταν κατάγωνται T) ‖ 12. πανδοκεῖα Meinekius: πανδοχεῖα M ‖ 14. ὦσιν cod. C: ὦσει M | ὁμοτρόπως δὲ καὶ H: ὁμόρους δὲ ἢ M (ὁμήρους δὲ ἢ T, ἐμπόρους δὲ ἢ Hauptius) ‖ 16. δημοσίᾳ C: δημοσίαις M ‖ 17. In M post πόλεως est ἢ τυράννων: expunxit H

οὐ χρὴ ἐᾶν [αὐτοῖς] τὸν ἐθέλοντα διαλέγεσθαι, ἀλλὰ
εἶναί τινας τῶν πολιτῶν τοὺς πιστοτάτους, οἳ μετ'
αὐτῶν συνδιατελοῦσι, μέχρι ἂν ἐνδημῶσιν οἱ πρέσβεις.
καὶ ὧν ἂν σπανίζῃ ἡ πόλις, σίτου ἢ ἐλαίου ἢ ἄλλου 12
τινός, τῷ εἰσάγοντι κατὰ πλῆθος τῶν εἰσαγομένων
τόκους προκεῖσθαι καὶ στέφανον δίδοσθαι εἰς τιμήν,
τῷ δὲ ναυκλήρῳ ἀνολκὴν καὶ καθολκήν. ἐξοπλισίας 13
τε πυκνὰς ποιεῖσθαι, καὶ ξένους τοὺς ἐνδήμους τὸν
καιρὸν τοῦτον μεθίστασθαι εἰς χωρίον ῥητὸν ἢ κατ'
οἶκον διατελεῖν. ὃς δ' ἂν ὢν ἄλλῃ φαίνηται, ζημίαν
προκεῖσθαι ὡς ἀδικοῦντι. ὅταν τε σημήνῃ, τὰ ἐμπό- 14
ρια καὶ πρατήρια κλείεσθαι, καὶ τὰ λύχνα κατασβέν-
νυσθαι. καὶ τῶν ἄλλων μηδένα ἔτι προϊέναι. ὅταν
δέ τινι ἀναγκαῖόν τι συμβῇ, μετὰ λαμπτῆρος βαδί- 15
ζειν. καὶ ὃς ἂν καταμηνύσῃ τινὰ ἐπιβουλεύοντα τῇ
πόλει, ἢ ὃς ἂν τῶν προγεγραμμένων τι πραττόμενον
ἐξαγγείλῃ, ἀνηγγέλθαι τε αὐτῷ ἀργύριον καὶ τὸ
ἀναγγελθὲν ἐμφανῶς προκεῖσθαι ἐν ἀγορᾷ [ἢ ἐπὶ
βωμοῦ] ἢ ἐν ἱερῷ, ἵνα προχειρότερόν τις τολμήσῃ
μηνύειν τι τῶν προγεγραμμένων. ἐὰν δὲ ὦσι φυγάδες, 16

---

1. οὐ χρὴ ἐᾶν τὸν ἐθέλοντα eiecto αὐτοῖς Ed. Escherus seminarii philolog. Turicensis sodalis: οὐ χρὴ ἐν αὐτοῖς τὸν ἐθέλοντα *M* (οὐ χρὴ ἐᾶν αὐτοῖς τὸν ἐθέλοντα O, οὐ χρὴ ἐν ἀπορρήτοις τ. ἐ. T, οὐ χρὴ τὸν ἐθέλοντα H | ἀλλὰ εἶναι H: ἀλλ' ἀεὶ *M* ‖ 3. συνδιατελοῦσι O: συντελοῦσι *M* | μέχρι H: μέχρις *M* ‖ 7. καθολκὴν C: καθολικὴν *M* ‖ 9. ἢ κατ' οἶκον διατελεῖν uerba mihi suspecta ‖ 10. ὃς δ' ἂν ὢν ἄλλῃ φαίνηται scripsi: ἧι δε ἂν ἄλλῃ φαίνηται *M* (ὃς δ' ἂν ἄλλῃ φαίνηται Reiskius, ὃς δὲ ὢν ἄλλῃ φαίνηται Hertlinus) ‖ 11. Inter τὰ et ἐμπόρια in *M* est τούτοις: expunxit H ‖ 12. λύχνα C: ἴχνη *M* ‖ 13. προϊέναι H: παρειναι *M* ‖ 15. Post βαδίζειν in *M* est ἕως ἂν παραγγελθῇ: expunxit H ‖ 16. ὃς ἂν τῶν προγεγραμμένων τι H: ὅς τι αν τῶν προγεγραμμένων τις *M* ‖ 18. ἀναγγελθὲν Kirchhoffius: ἀγγελθὲν *M* | ἢ ἐπὶ βωμοῦ inclusi Herchero auctore ‖ 20. Post προγεγραμμένων ex § 5 huc inserui ἐὰν δὲ ὦσι φυγάδες — ἔσται. Vide ad § 5

ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν ἢ ξένων ἢ δούλων ἀπο-
κτείνῃ, ἃ ἑκάστῳ τούτων ἔσται. ἐπὶ δὲ [μονάρχῳ ἢ
στρατηγῷ ἢ] φυγάδι δυναστεύοντι χρὴ καὶ τάδε προ-
κηρύττεσθαι· ἐάν [δέ] τι καὶ αὐτὸς πάθῃ ὁ ἀποκτεί-
νας, τοῖς τέκνοις αὐτοῦ ἀποδίδοσθαι τὸ ἀναγγελθὲν
ἀργύριον· ἐὰν δὲ μὴ ᾖ τέκνα, τῷ ἐγγυτάτω γένους.
17 καὶ ἐάν τις τῶν συνόντων τῷ φυγάδι [ἢ μονάρχῳ
ἢ στρατηγῷ] πράξῃ τι τῶν προκειμένων, ἀποδίδοσθαι
καὶ κάθοδον αὐτῷ εἶναι· διὰ γὰρ ταῦτα προχειρο-
18 τέρως ἂν ἐγχειροῖεν. ἐν δὲ ξενικῷ στρατοπέδῳ τοιάδε
19 ἀναγγείλαντα σιγὴν πάντων ἀκουόντων κηρῦξαι. ἐάν
τις βούληται ἀπιέναι μὴ ἀρεσκόμενος τοῖς παροῦσιν
ἐξεῖναι ἀπαλλάττεσθαι, [ἀλλ' ὕστερον πεπωλήσεται]· ἐὰν
δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα ἢ δια-
20 λύων τὸ στρατόπεδον, θάνατος ἔστω ἡ ζημία. μετὰ
δὲ ταῦτα τῶν ἄλλων ἐξετάσεων ἐπιμέλειαν ποιη-
τέον. καὶ πρῶτον ⟨μὲν⟩ ἐπισκεπτέον εἰ ὁμονοοῦσιν
οἱ πολῖται, ὡς ἂν ὄντος μεγίστου τούτου ἀγαθοῦ ἐν
πολιορκίᾳ· εἰ δὲ μή, τῶν τὰ ἐναντία φρονούντων
τοῖς παροῦσι πράγμασι ⟨τοὺς⟩ καὶ μάλιστ' ἂν ἡγεμόνας

---

1. *ἀποκτείνῃ* Sauppius: *ἀποκινῇ M* ‖ 2. *μονάρχῳ ἢ στρατηγῷ ἢ* inclusi (*ἢ* ante *φυγάδι* et *δυναστεύοντι* ceteris seruatis eiecerunt Kirchhoffius et H) ‖ 4. *δὲ* post *ἐὰν* inclusi signo lacunae ante *ἐὰν* omisso, quod posuerant T et H ‖ 5. *ἀναγγελθὲν* Kirchhoffius: *ἀγγελθὲν M* ‖ 6. *γένους* Kirchhoffius: *γενομένου M* ‖ 7. *ἢ μονάρχῳ ἢ στρατηγῷ* inclusi ‖ 8. Post *προκειμένων* lacunam esse putauit H ‖ 10. *ἐν* Co. O: *ἐὰν M* ‖ 11. *ἀναγγείλαντα* Meierus: *ἀναγγείλαντι M* | *ἐάν τις βούληται* H: *εἴ τις βούλεται M* (defendit Sauppius) ‖ 13. Post *ἀπαλλάττεσθαι* in *M* est *ἀλλ' ὕστερον πεπωλήσεται*: inclusi ego; sequitur deinde in *M τὰ δ' ἐλάσσω τούτων ἀδικήματα κατὰ τὸν νόμον τὸν προκείμενον δεσμὸς ἢ ζημία*: expunxit H ‖ 14. *ἢ διαλύων* cod. Cas.: *διαλύων M* ‖ 15. *ἡ ζημία* cod. Cas.: *ἢ ζημία M* ‖ 16. *τῶν ἄλλων ἐξετάσεων* H: *τῶν ἄλλων τάξεων M* (*πράξεων* Meinekius; fort. *τῆς τῶν ἄλλων ἐξετάσεως*) ‖ 17. *μὲν* inseruit H ‖ 20. *τοὺς* ante *καὶ* inseruit Hertlinus (*τινὰς* inseruer. T; in eis quae praecedunt *τοὺς τὰ ἐναντία φρονοῦντας* Reiskius et H scripserunt) | *μάλιστ' ἂν* H: *μάλιστα M*

τε καὶ αἰτίους γενομένους τῇ πόλει πράξεώς τινος μεθιστάναι ἀνυπόπτως, μετὰ προφάσεως εὐλόγου ἐκπέμποντα ἄλλῃ ὡς πρέσβεις τε καὶ ἐπ' ἄλλας δημοσίας ἐργασίας. οἷον καὶ Διονύσιος ἔπραξε Λεπτί- 21
νην τὸν ἀδελφὸν αὐτοῦ, ἔχοντα Συρακοσίων τῷ πλήθει οἰκείως. γενόμενος γὰρ αὐτῷ ἐν ὑποψίᾳ τινί, καὶ θέλων αὐτὸν μεταστήσασθαι, φανερῶς μὲν οὐκ ἐπεχείρει ἐκβάλλειν αὐτόν, γνοὺς ὅτι περὶ αὐτὸν πολλὴ μετ' εὐνοίας ἰσχὺς ἔσοιτο καὶ νεώτερον ἄν τι γένοιτο, τεχνάζει δὲ τοιόνδε. πέμπει αὐτὸν μετὰ 22
ξένων ὀλίγων εἰς πόλιν ὄνομα Ἱμέραν, κελεύων φρουρὰν τὴν μὲν ἐξαγαγεῖν τὴν δ' ἐγκαταστῆσαι. γενομένου δὲ αὐτοῦ ἐν τῇ Ἱμέρᾳ, πέμψας ἐκέλευσεν αὐτὸν περιμένειν, μέχρι ἂν αὐτὸς μεταπέμψηται. πόλεως δ' ὁμηρευομένης, ὅταν ἐπ' αὐτὴν στρατεία 23
γίγνηται, τοὺς γονέας τῶν ὁμηρευόντων καὶ τοὺς ἐγγυτάτω γένους μεταστήσασθαι ἐκ πόλεως, ἄχρι ἂν ἡ πολιορκία παρέλθῃ, ἵνα μὴ ἐφορῶσιν ἐν ταῖς προσαγωγαῖς τῶν πολεμίων τοὺς αὐτῶν παῖδας συμπροσαγομένους καὶ τὰ ἔσχατα πάσχοντας· ἐγχωρεῖ γὰρ αὐτοὺς ἔνδον ὄντας καὶ ὑπεναντίον τι πρᾶξαι. ἐὰν 24
δὲ ἄρα δυσχερὲς ⟨ᾖ⟩ μετὰ [τῶνδε τῶν] προφάσεων ἐκπέμπειν, ἐᾶν [διάγειν αὐτοὺς ὡς ἐλαχίστων μετέχοντας ἔργων

---

1. τῇ πόλει H: ἐν τῇ πόλει M ‖ 2. Post μεθιστάναι in M est αὐτούς: expunxit H ‖ 5. Συρακοσίων Meinekius: συρακουσίων M ‖ 6. Post οἰκείως in M est καὶ ὁρῶν κατὰ πολλὰ ἰσχυρὸν αὐτὸν ὄντα: expunxit H ‖ 11. ἱμέραν M ‖ 12. δ' ἐγκαταστῆσαι Meinekius: δὲ καταστῆσαι M ‖ 13. ἱμέρᾳ M ‖ 14. μέχρι H: μέχρις M ‖ 15. στρατεία Hertlinus: στρατιᾶ M ‖ 16. γίνηται M | γονέας H: γονεῖς M ‖ 17. ἐγγυτάτω γένους Kirchhoffius: ἐγγὺς τὰ γένη M | μεταστήσασθαι Sauppius: μεθίστασθαι M | ἄχρι H: ἄχρις M ‖ 19. αὐτῶν M ‖ 22. δυσχερὲς C: δυσχερὴς M | ᾖ addid. T | τῶνδε τῶν inclusit Sauppius ‖ 23. ἐᾶν διάγειν H: συνδιάγειν M | διάγειν — πράξεων καὶ inclusi

καὶ πράξεων καὶ] μήτε ὅπου ἔσονται μήτε ὅ τι πρά-ξουσι προειδέναι [καὶ ὡς ἥκιστα ἐπὶ σφῶν αὐτῶν διατε-λοῦντας καὶ νύκτα καὶ ἡμέραν] καὶ ἄλλας ἐπ' ἄλλαις πρά-ξεις καὶ λειτουργιῶν αὐτοῖς πλῆθος ἐπιτρέπειν ἀν-

25 υπόπτως. ἔστωσαν δὲ διειλημμένοι εἰς παρατήρησιν· οὕτω γὰρ ἂν διακείμενοι ἥκιστα ἂν δύναιντο νεω-τερίσαι. ἔτι τοίνυν μήτε εἰς τὰς ἐκκοιτίας λαμπτῆρα. ἐπιφέρεσθαι μήτε ἄλλο νυκτερινὸν φέγγος· ἤδη γά τινες, ἐπεὶ πάντῃ ἐξείργοντο, μήτε νεωτερίσαι ἔχοντε. μήτε πρὸς τοὺς πολεμίους τι πρᾶξαι, τοιόνδε ἐτε-

26 χνασαν. ἐν γὰρ τοῖς καλάθοις καὶ στρώμασιν ἐπι-φερόμενοι εἰς τὰς φυλακὰς λύχνα οἳ δὲ δᾷδας ο δὲ λαμπτῆρας, διὰ τούτων τῶν φεγγῶν σύσσημ ἐποιήσαντο.

11 Ἔτι δὲ καὶ τῶν πολιτῶν τοῖς ἀντιπροθυμουμε-νοις προσέχειν τὸν νοῦν καὶ μηδὲν εὐθέως ἀποδέ-

2 χεσθαι [διὰ τάδε]. ῥηθήσονται δὲ ἑξῆς αἱ ἐπιβουλ

---

1. πράξουσιν *M* ‖ 2. προειδέναι *M* (προειδότας scripsit H | καὶ — ἡμέραν inclusi (ἢ post ἡμέραν inseri uult H) | ἐπισφῶ: *M* | διατελοῦντας H: διατηροῦντας *M* ‖ 3. ἐπ' ἄλλαις Meierus: ἐπ' ἄλλας *M* ‖ 4. λειτουργιῶν αὐτοῖς πλῆθος H: λειτουργι. αὐτοῖς τὸ πλῆθος *M* | ἐπιτρέπειν scripsi: ἐπιρρεῖν *M* (ἐπιρρι-πτεῖν H) ‖ 5. Post ἀνυπόπτως in *M* est μεθ' ὧν ὄντες ἐν φυ-λακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι: expunxit H | εἰς παρα-τήρησιν H: ὡσεὶ παρὰ τρισὶν *M* (ὡς εἰς παρὰ τρισὶν C, ὡς εἰ: παρατήρησιν T) ‖ 7. μὴ δὲ *M* | ἐκκοιτίας H: κοίτας *M* ‖ 8. ἐπι-φέρεσθαι H: φέρεσθαι *M* | μὴ δὲ *M* ‖ 9. ἐξείργοντο Reiskius: ἐξείργονται *M* | μὴ δὲ *M* | ἔχοντες H: θέλοντες *M* ‖ 10. μὴ δ. *M* | ἐτέχνασαν H: τεχνάζουσι *M* ‖ 11. ἐν H: σὺν *M* | καλάθοις Co. O: ἀκολούθοις *M* | ἐπιφερόμενοι H: φερομένοις *M* ‖ 13. Post λαμπτῆρας in *M* est ἵνα δὲ πρός τι κοιτασθῶσιν: expunxit H | διὰ τούτων τῶν φεγγῶν σύσσημα ἐποιήσαντο H: τούτω. τὸν φεγγαῖον σύσσημον ἐποιήσαντο *M* ‖ 14. Post ἐποιήσαντο in *M* est διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν: expunxit H ‖ 15. τοῖς ἀντιπροθυμουμένοις H (qui tamen malit ἀντιπολιτευομέ-νοις): τοῖς δεὶ ˣἀντιπροθυμουμένοις (δεῖ τοῖς C) *M* ‖ 17. διὰ τάδε inclusi suadente Herchero

'κ τῆς * * βίβλου παραδείγματος ἕνεκα, ὅσαι κατὰ
ιόλιν ἐξ ἀρχόντων ἢ ἰδιωτῶν γεγόνασι, καὶ ὡς ἔνιαι
ὑτῶν κωλυθεῖσαι διελύθησαν. Χίου γὰρ μελλούσης 3
ροδίδοσθαι, τῶν ἀρχόντων τις, συμπροδιδοὺς καὶ
πατῶν τοὺς συνάρχοντας, ἔπεισε λέγων, ὡς, ἐπειδὴ
ἰρήνη εἴη, τοῦ τε λιμένος τὸ κλεῖθρον εἰς γῆν ανα-
πάσαντας ξηρᾶναι δεῖ καὶ πισσαλοιφῆσαι καὶ τὰ πα-
αιὰ τῶν νεῶν ἄρμενα ἀποδόσθαι, τῶν τε νεωρίων
πισκευάσασθαι τὰ σαθρὰ καὶ τὴν ἐχομένην αὐτῶν
ιτοὰν καὶ τὸν πύργον, ἐν ᾧ διῃτῶντο οἱ ἄρχοντες,
χόμενον τῆς στοᾶς, ἵνα ἐκ προφάσεως κλίμακες
τροσποριςθῶσι τοῖς μέλλουσι καταλαμβάνειν τὰ νεώ-
ρια καὶ τὴν στοὰν καὶ τὸν πύργον. ἔτι δὲ συν- 4
εβούλευε καὶ τὸ πλῆθος τῶν τὴν πόλιν φυλασσόντων
ἀπόμισθον ποιῆσαι, ἵν' ὡς ἐλάχιστον δῆθεν ἀνάλωμα
τῇ πόλει ᾖ. καὶ ἄλλα τούτοις ὁμότροπα λέγων ἔπεισε 5
τοὺς συνάρχοντας ἅπερ ἔμελλε τοῖς προδιδοῦσι καὶ
ἐπιτιθεμένοις συνοίσειν πρὸς τὴν κατάληψιν. ἅμα δὲ 6
τοῦ τείχους ἐκδήσας κατεκρέμασε δίκτυα ἐλάφεια καὶ
σύεια, ὡσεὶ ξηρᾶναι θέλων, καὶ ἄλλη ἱστία ἔξω τοὺς
κάλους ἔχοντα, καθ' ἅπερ ἐν νυκτὶ ἀνέβησαν ⟨οἱ⟩
στρατιῶται. πρὸς δὲ ἀντιστασιώτας τοιόνδε ἐπράχθη 7
ἐν Ἄργει. μελλόντων γὰρ τῶν πλουσίων τὴν δευ-
τέραν ἐπίθεσιν ἐπιτίθεσθαι τῷ δήμῳ καὶ ξένους ἐπ-

1. Post *ἐκ τῆς* lacunam indicau. T | *ἕνεκα* H: *ἕνεκεν* *M* || 2. *ἐξαρχόντων* *M* || 5. *συνάρχοντας* C: *ἄρχοντας* *M* || 9. *ἐπισκευάσασθαι τὰ σαθρὰ* H: *ἐπεσκευάσθαι τὰ στάζοντα* *M* || 12. *προσποριςθῶσιν* *M* || 16. *ᾖ* C: *ἦ* *M* (*εἴη* T) || 17. Post *συνάρχοντας* inserendum esse *ποιῆσαι* putat H | *ἔμελλε* H: *ἔμελλον* *M* || 18. *ἐπιτιθεμένοις* T: *ἐπιθεμένοις* *M* | Post *κατάληψιν* in *M* est *ὥστε ἀεὶ δεῖ προσέχειν τοῖς τὰ τοιαῦτα τελειοῦν σπουδάζουσιν*: deleuit H || 19. *ἐκδήσας* Hauptius: *ἐπιδήσας* *M* || 20. *ἱστία* O: *σύεια* *M* || 21. *οἱ* addidit H coll. IV 2 *δεξάμενος ταύτῃ τοὺς στρατιώτας*

φαίνεσθαι τὰ σημεῖα, ἄλλους ἐπ' ἄλλοις διαδεκτῆρας
εἶναι τῶν αἰρομένων σημείων, οἳ σημανοῦσιν εἰς τὴν
5 πόλιν. εἶναι δὲ τοὺς ἡμεροσκόπους καὶ ποδώκεις.
ὅπως, ἂν μὴ οἷόν τ' ᾖ τοῖς σημείοις δηλοῦν, ἀλλ'
αὐτῶν τινα δέῃ ἐξ ἀνάγκης ἀγγέλλειν, δύνωνται ταχὺ
6 ἀφικνεῖσθαι, κἂν ὡς ἐκ πλείστου ἀγγέλλωσιν. ἄριστον
δὲ ἱππασίμων ὄντων τῶν τόπων καὶ ὑπαρχόντων
ἵππων ἱππέας συνεργεῖν, ἵνα διὰ τῶνδε θᾶσσον ἀγ-
γέλληται. πέμπειν δὲ ἐκ τῆς πόλεως τοὺς ἡμεροσκό-
πους ὄρθρου ἢ ἔτι νυκτός, ἵνα τοῖς τῶν πολεμίων
σκοποῖς μὴ κατάδηλοι ὦσιν ἡμέρας πορευόμενοι ἐπὶ
7 τὰ ἡμεροσκοπεῖα. σύνθημα δὲ ⟨μὴ⟩ ἔχειν αὐτοὺς ἓν
καὶ τὸ αὐτὸ, ὅπως μήτε ἑκόντες μήτε ἄκοντες, ἐὰν
συλληφθῶσιν ὑπὸ τῶν πολεμίων, εἰπεῖν ἔχωσι τὸ
τῶν ἐν τῇ πόλει σύνθημα. παραγγέλλεσθαι δὲ τοῖς
ἡμεροσκόποις αἴρειν τὰ σύσσημα ἐνίοτε, καθάπερ οἱ
πυρσευταὶ τοὺς πυρσούς.

7 Ὅταν δὲ ἡ χώρα ἐγκάρπως διακέηται, μὴ πόρρω
ὄντων τῶν πολεμίων, εἰκὸς πολλοὺς τῶν ἐν τῇ πόλει
περὶ τοὺς ἐγγὺς χώρους διατελεῖν, γλιχομένους τοῦ
2 καρποῦ. τούτους δ' οὖν εἰς τὴν πόλιν ἀθροίζειν
ὧδε χρή. πρῶτον μὲν τοῖς ἔξω ἅμα ἡλίῳ δύνοντι

1. Post ἐπ' ἄλλοις in *M* est τόποις: expunxit Hertlinus 2. αἰρομένων Hertlinus: ἀειρομένων *M* | σημανοῦσιν T: σημαίνουσιν *M* ‖ 4. ὅπως, ἂν μὴ οἷόν τ' ᾖ τοῖς σημείοις Sauppius: οἳ ὅσα μὴ οἷά τε τῶν σημείων *M* (ἵνα ὅσ' ἂν μὴ οἷά τ' ᾖ διὰ τῶν σημείων Hertlinus) ἵν' ἂν μὴ οἷόν τε διὰ τῶν σημείων H ‖ 6. κἂν ὡς H: καὶ ὡς *M* ‖ 7. τῶν post ὄντων habet cod. Cas. 8. ἵππων cod. Cas.: ἱππέων *M* | συνεργεῖν H: συνιμείρειν *M* (συνείρειν cod. Cas.; fort. σύσσημα αἴρειν) ‖ 9. ἡμεροσκοπεῖα C: ἡμεροσκοπία *M* ‖ 11. ἐπὶ τὰ cod. Cas.: ἔπειτα *M* ‖ 12. μὴ addid. T (οὐχ ἓν C; post αὐτὸ addi uult Meierus ὁμοίως δὲ τοὺς πολίτας ἓν καὶ τὸ αὐτό. Mihi quoque oratio lacunosa uidetur. Fort. post τὸ αὐτὸ exciderunt τοῖς ἄλλοις uel τοῖς ὑπομένουσιν ‖ 16. σύσσιμα *M* ‖ 18. ἐγκάρπως Hertlinus: ἔγκαρπος *M* | διακέηται G. Dindorfius: διάκειται *M* ‖ 21. οὖν deleri uult H

σημαίνειν ἀπιέναι εἰς τὴν πόλιν· ἐὰν δὲ ἐπὶ πλέον
τῆς χώρας ἐσκεδασμένοι ὦσιν, ὑπὸ διαδεκτήρων ση-
μαίνεσθαι, ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται
εἰς ⟨τὴν⟩ πόλιν. ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, 3
οὕτως τοῖς ἐν τῇ πόλει ⟨σημαίνειν⟩ δειπνοποιεῖσθαι·
τὸ δὲ τρίτον σημαίνειν εἰς φυλακὴν ἰέναι. ὡς δὲ δεῖ 4
ταῦτα γίγνεσθαι καὶ ὡς αἴρειν τοὺς φρυκτούς, ἐν
τῇ Παρασκευαστικῇ βίβλῳ πλειόνως εἴρηται. ὅθεν δεῖ
τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν
γράφειν συμβῇ.

Μετὰ δὲ ταῦτα [εἰς τὴν χώραν] προσδεχόμενον 8
πλείω καὶ μείζω δύναμιν πολεμίων πρῶτον μὲν τὴν
χώραν δυσείσβολον τοῖς πολεμίοις καὶ δυσστρατοπέ-
δευτον καὶ δυσπόρευτον κατασκευάζειν καὶ τοὺς πο-
ταμοὺς δυσδιαβάτους καὶ δύσπλους. πρός τε τὰς 2
ἀποβάσεις τῶν πολεμίων εἰς τὰ ψαμμώδη καὶ στερεὰ
ὅσα καὶ οἷα χρὴ κατασκευάζεσθαι δολώματα τοῖς
ἀποβαίνουσι, τοῖς τε ἐν τῇ χώρᾳ καὶ τῇ πόλει λι-
μέσιν οἷα δεῖ φράγματα παρασκευάζεσθαι πρὸς τὸ
μὴ εἰσπλεῖν ἢ τὰ εἰσπλεύσαντα μὴ δύνασθαι ἐκπλεῦσαι,
τά τε καταλιμπανόμενα μὲν ἐν τῇ χώρᾳ ἀκουσίως 3

3. παραγίνωνται *M* ‖ 4. τὴν ante πόλιν add. H ‖ 5. τοῖς ἐν τῇ πόλει σημαίνειν δειπνοποιεῖσθαι H: τοῖς ἐν τῇ πόλει δειπνοποιεῖσθαι *M* (post πόλει addi uult δεῖ σημαίνειν C) ‖ 6. Post ἰέναι in *M* est καὶ καθιστάναι: expunxit H (καθεστάναι Hertlinus) ‖ 7. ταῦτα H: τούτους *M* (τοῦτο C) | γίνεσθαι *M* | καὶ ὡς αἴρειν τοὺς φρυκτοὺς ab interpolatore profectum esse suspicatur H, mihi totum caput VII suspectum: ad § 3 conf. XVIII 1 et XX 5 ‖ 8. πλειόνως (τελέως H, διὰ πλειόνων Sauppius) ‖ 9. μὴ δὶς C: μηδεὶς *M* ‖ 11. εἰς τὴν χώραν inclusit Sauppius ‖ 13. δυσείσβολον H: δυσεπίβολον εἶναι *M* (δυσεπίβολον ὡς δεῖ T) | δυσενστρατοπέδευτον Meinekius ‖ 14. δυσπόρευτον H: δυσπροσπόριστον *M* ‖ 15. δύσπλους H: πλείους *M* (ἀπλεύστους O, ἀπλοίους Meinekius, ἐλείους Hauptius) ‖ 16. εἴς τε ψαμμώδη Meinekius ‖ 17. Post οἷα in *M* est εἰς τούτους: expunxit H ‖ 21. μὲν add. H | ἀκουσίως T: ἑκουσίως *M*

εἰς χρείαν δὲ φέροντα τοῖς ἐναντίοις, οἷον ⟨τὰ⟩ πρὸς
4 *τειχοποιίαν ἢ σκηνοποιίαν ἢ ἄλλην τινὰ πρᾶξιν, τά*
τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς
δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν, καὶ τὰ κατὰ τὴν χώραν
στάσιμα ὕδατα ὡς ἄποτα δεῖ ποιεῖν, τά τε ἱππάσιμα
5 *τῆς χώρας ὡς δεῖ ἄνιππα ποιεῖν, περὶ οὖν τούτων*
πάντων ὧδε μέν μοι παραλείπεται, γέγραπται δὲ τε-
λέως περὶ αὐτῶν ἐν τῇ Παρασκευαστικῇ βίβλῳ.

9 [Ἂν δὲ θρασύνεσθαί τι ἐπιχειρῶσιν οἱ ἐπιόντες πρός σε,
τάδε ποιητέον. πρῶτον μὲν χρὴ σώμασι τόπους τινὰς τῆς
οἰκείας χώρας καταλαβεῖν, ἔπειτα ἐκκλησιάσαντα τοὺς σεαυτοῦ
στρατιώτας ἢ πολίτας ἄλλα τε προειπεῖν αὐτοῖς, ὡς ὑπαρξούσης
τινὸς αὐτοῖς πράξεως εἰς τοὺς πολεμίους, καὶ ὅταν νυκτὸς ση-
μήνῃ τῇ σάλπιγγι, ἑτοίμους εἶναι τοὺς ἐν τῇ ἡλικίᾳ, ἀναλαβόντας
τὰ ὅπλα καὶ ἀθροισθέντας εἰς χωρίον ῥητὸν ἕπεσθαι τῷ ἡγου-
2 μένῳ. διαγγελθέντων οὖν τούτων εἰς τὸ στρατόπεδον τῶν πο-
λεμίων ἢ τὴν πόλιν, δύνασαι ἀποτρέψαι ὧν ἐπιχειροῦσι πράσσειν.
3 τούτων δὲ οὕτω πραχθέντων τοῖς μὲν φιλίοις θάρσος ἐμποιήσεις,
ὥστε ἐπιχειρεῖν· τοῖς δὲ πολεμίοις φόβον ἐμπαρασκευάσεις, ὥστε
ἐπὶ τῆς αὐτῶν ἠρεμεῖν.]

1. *οἷον τὰ πρὸς τειχοποιίαν* H: *οἷον πρός τε τειχ.* *M* ‖ 2. *ἢ ἄλλην τινὰ πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν* H: *ἢ ἄλλην τινὰ πρᾶξιν ὡς δὴ ἀρχεῖα ποιεῖν ἢ φθείροντα ἀφανίζειν τά τε βρωτὰ — ἔγκαρπα* *M* (*ὡς δεῖ* C; idem coniecerat *π.* *φθείροντα ἢ ἀφανίζειν*; *ποιεῖν ἢ μὴ φθείροντα ἀφ.* Haasius) ‖ 4. *καὶ τὰ κατὰ τὴν* H: *καὶ τὰ ἄλλα κατὰ τὴν* *M* ‖ 6. *περὶ οὖν* H: *περὶ μὲν οὖν* *M* ‖ 7. *ὧδε* *M* | *μέν μοι* H: *μὲν νῦν* *M* | Post *παραλείπεται* in *M* est *ὡς δεῖ ἕκαστον τούτων γίνεσθαι ἵνα μὴ καὶ ταῦτα λίαν πολλὰ δηλοῦται*: expunxit H (*πολλαχῇ* pro *πολλὰ* T, *δηλῶται* Co. O) ‖ 9. Totum caput IX inclusi, eidem interpolatori tribuens qui XVI 1—13, 19—22 scripsit. Eiusdem esse suspicor XVIII 13—19. XXIII 7—11 et alia minora. Vide Prolegomena mea ad Aeneam ‖ 11. *σεαυτοῦ* H: *αὐτοῦ* *M* ‖ 12. *ὑπαρξούσης* Sauppius: *ὑπαρχούσης* *M* ‖ 13. *σημήνῃ* Hertlinus: *σημάνῃ* *M* ‖ 14. *τε* post *ἀναλαβόντας* inseri uult H ‖ 17. *δύνασαι* Hertlinus: *δύνανται* *M* *ἐπιχειροῦσι* H: *ἐπιχειρῶσι* *M* ‖ 18. *ἐμποιήσεις ὥστε ἐπιχειρεῖν* H: *ἐμποιήσειας ἐπιχειρεῖν τι ἄλλον δεδιὼς* *M* (*ἐμποιήσεις ὡς ἐπιχειρῶν τι ἀλλ' οὐ δεδιώς* T) ‖ 19. *ὥστε* add. C ‖ 20. *αὐτῶν* *M*

Δεῖ δὲ καὶ τάδε παρηγγέλθαι. τῶν πολιτῶν τοὺς 10
κεκτημένους ζεύγη ἢ ἀνδράποδα ὑπεκτίθεσθαι εἰς
τοὺς προσοίκους, ὡς οὐκ εἰσαξόντων εἰς τὴν πόλιν.
οἷς δ᾽ ἂν μὴ ὑπάρχῃ ξενία παρ᾽ οὓς θήσονται, τοὺς 2
ἄρχοντας δημοσίᾳ παρατίθεσθαι τοῖς προσοίκοις, πα-
ρασκευάζοντας δι᾽ ὧν σωθήσεται τὰ ὑπεκτιθέμενα.
ἔπειτα κηρύγματα ποιεῖσθαι τοιάδε διά τινος χρόνου, 3
φόβου καὶ ἀποτροπῆς τῶν ἐπιβουλευόντων ἕνεκα.
κατακομίζειν τὰ ἐλεύθερα σώματα καὶ τοὺς καρποὺς
εἰς τὴν πόλιν, τοῦ δὲ ἀνηκουστοῦντος ἐξουσίαν εἶναι
τῷ βουλομένῳ ἀζήμια ἄγειν καὶ φέρειν τὰ ἐκ τῆς
χώρας. τάς τε ἑορτὰς κατὰ ⟨τὴν⟩ πόλιν ἄγειν, συλλό- 4
γους τε ἰδίους μηδαμοῦ μήτε ἡμέρας μήτε νυκτὸς
γίγνεσθαι, τοὺς δὲ ἀναγκαίους ἢ ἐν πρυτανείῳ ἢ ἐν
ἄλλῳ φανερῷ τόπῳ. μηδὲ θύεσθαι μάντιν ἰδίᾳ ἄνευ
τῶν ἀρχόντων. μηδὲ δειπνεῖν κατὰ συσσιτίαν ἀλλ᾽ 5
ἐν ταῖς αὑτῶν οἰκίαις ἑκάστους, ἔξω γάμου καὶ πε-
ριδείπνου, καὶ ταῦτα προαπαγγείλαντας τοῖς ἄρχουσιν.
καὶ ἐάν τίς τινι τῶν φυγάδων συγγένηται ἢ [παρ᾽ 6
ἐκείνων τισὶν ἢ] ἐπιστολὰς πέμψῃ ἢ δέξηται, εἶναί
τινα κίνδυνον ἢ ἐπιτίμιον αὐτῷ. τῶν δὲ ἐκπεμπο-
μένων καὶ εἰσαγομένων ἐπιστολῶν εἶναι ἐπισκόπους,

---

3. *εἰσαξόντων* C: *εἰσαξιόντων* *M* ‖ 4. *ὑπάρχῃ ξενία* scripsi: *ὑπάρξῃ ξενία* *M* (*ὑπάρξωσι ξένοι* Reiskius, *ὑπάρχωσι ξένοι* H) | *τοὺς ἄρχοντας* Hertlinus: *πρὸς τοὺς ἄρχοντας* *M* ‖ 8. *ἕνεκα* H: *ἕνεκεν* *M* ‖ 10. *εἰς τὴν πόλιν* H: *ἐν τῇ πόλει* *M* ‖ 12. *κατὰ τὴν πόλιν* H: *κατὰ πόλιν* *M* ‖ 14. *γίνεσθαι* *M* | *πρυτανείῳ* C: *πυρσανείω* *M* | Post *πυρσανείω* in *M* est *ἢ ἐν βουλῇ*: expunxit H ‖ 15. *ἰδία* *M* | *ἄνευ τῶν ἀρχόντων* H: *ἄνευ τοῦ ἄρχοντος* *M* ‖ 16. *κατασυσσιτίαν* *M* ‖ 18. Post *ἄρχουσιν* in *M* est *ἐὰν δὲ ὦσιν φυγάδες, ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν ἢ ξένων ἢ δούλων ἀποκινῇ, ἃ ἑκάστῳ τούτων ἔσται*: transposui in § 16 ‖ 19. *παρ᾽ ἐκείνων τισὶν ἢ* inclusi Sauppio auctore (*ἢ ἐπιστολὰς πέμψῃ ἢ παρ᾽ ἐκείνων δέξηται* Hertlinus: *ἢ δέξηται παρ᾽ ἐκείνου ἐπιστολὰς ἢ πέμψῃ* H) ‖ 22. *ἐπισκόπους* H: *ἐπισκόπησιν* *M*

7 πρὸς οὓς οἰσθήσονται πρότερον. ὅπλα οἷς ἐστὶν
ἑνὸς πλείω ἀπογράφεσθαι, καὶ εἰσάγειν μηδένα μηδὲν
ὅπλον, μηδὲ ἐνέχυρον δέχεσθαι. στρατιώτας μὴ μι-
σθοῦσθαι μηδὲ ἑαυτὸν μισθοῦν ἄνευ ⟨τῶν⟩ ἀρχόντων.
8 ἐκπλεῖν μηδένα ἀστῶν μηδὲ μέτοικον ἄνευ συμβόλου.
τά τε πλοῖα ⟨μὴ⟩ ὁρμίζεσθαι κατὰ τὰς πύλας, ὡς ἐν
9 τοῖς ἐχομένοις ῥηθήσεται. ξένους τοὺς ἀφικνουμένους
τὰ ὅπλα ἐμφανῆ καὶ πρόχειρα φέρειν, καὶ εὐθὺς
αὐτῶν παραιρεῖσθαι, καὶ αὐτοὺς μηδένα ὑποδέχεσθαι
μηδὲ τοὺς πανδοκέας ἄνευ τῶν ἀρχόντων, τοὺς δὲ
ἄρχοντας ἀπογράφεσθαι καὶ παρ' ᾧτινι ἂν κατ-
10 άγωνται. τὰς δὲ νύκτας ὑπὸ τῶν ἀρχόντων τὰ παν-
δοκεῖα ἔξωθεν κλείεσθαι· διὰ χρόνου δέ τινος, ὅσοι
ἂν ταλαπείριοι αὐτῶν ὦσιν, ἐκκηρύττεσθαι. ὁμοτρό-
πως δὲ καὶ τοὺς κατὰ παίδευσιν ἢ κατ' ἄλλην τινὰ
11 χρείαν ἐπιδημοῦντας ἀπογράφεσθαι. ταῖς δὲ δημοσίᾳ
ἀφικνουμέναις πρεσβείαις ἀπὸ πόλεων ἢ στρατοπέδων

---

1. πρὸς οὓς cod. Cas.: προὺς *M* | οἰσθήσονται T: οἰσθή-σεται *M* ‖ 2. εἰσάγειν Kirchhoffius: ἐξάγειν *M* ‖ 4. τῶν ante ἀρ-χόντων inseruit H ‖ 6. Post πλοῖα in *M* est προσηγγέλθαι: ex-punxit H (παρηγγέλθαι Hertlinus) | μὴ inserui | κατὰ τὰς πύλας, ὡς ἐν τοῖς ἐχομένοις ῥηθήσεται scripsi. (Fortasse τοῖς ἐχομένοις ῥηθήσεται ut marginalis nota expungenda. Confer XXVIII 2 ἔτι τε μηδὲ πλοῖα κατ' αὐτὰς [h. e. πύλας] ὁρμίζε-σθαι): ὁρμίζεσθαι καθ' ἃς πύλας τοῖς ἐχομένοις ῥηθήσεται *M* (ἐν ante ἐχομένοις addidit H) ‖ 8. εὐθὺς H: εὐθὺ *M* ‖ 9. παρ-αιρεῖσθαι Reiskius: παρῆσθαι *M* (παρηρῆσθαι C) cf. XXX 2 αὐτοὺς μηδένα *M*, quod seruaui: (αὐτῶν μηδ. T et H) ‖ 10. πανδοκέας Meinekius: πανδοχέας *M* ‖ 11. παρ' ᾧτινι C: παρ' ᾧτινι C: παρ' ᾧ τινες *M* | ἂν κατάγωνται H: ὅτ' ἂν κατάγωνται *M* (καὶ ὅθεν κατάγονται O, οἵ τινες ἂν κατάγωνται omiss. καὶ ante παρ' ᾧ τινι Meierus, καὶ ὅταν κατάγωνται T) ‖ 12. πανδοκεῖα Meinekius: πανδοχεῖα *M* ‖ 14. ὦσιν cod. C: ὥσει *M* | ὁμοτρόπως δὲ καὶ H: ὁμόρους δὲ ἢ *M* (ὁμήρους δὲ ἢ T. ἐμπόρους δὲ ἢ Hauptius) ‖ 16. δημοσίᾳ C: δημοσίαις *M* ‖ 17. In *M* post πόλεως est ἢ τυράννων: expunxit H

οὐ χρὴ ἐᾶν [αὐτοῖς] τὸν ἐθέλοντα διαλέγεσθαι, ἀλλὰ
εἶναί τινας τῶν πολιτῶν τοὺς πιστοτάτους, οἳ μετ'
αὐτῶν συνδιατελοῦσι, μέχρι ἂν ἐνδημῶσιν οἱ πρέσβεις.
καὶ ὧν ἂν σπανίζῃ ἡ πόλις, σίτου ἢ ἐλαίου ἢ ἄλλου 12
τινός, τῷ εἰσάγοντι κατὰ πλῆθος τῶν εἰσαγομένων
τόκους προκεῖσθαι καὶ στέφανον δίδοσθαι εἰς τιμήν,
τῷ δὲ ναυκλήρῳ ἀνολκὴν καὶ καθολκήν. ἐξοπλισίας 13
τε πυκνὰς ποιεῖσθαι, καὶ ξένους τοὺς ἐνδήμους τὸν
καιρὸν τοῦτον μεθίστασθαι εἰς χωρίον ῥητὸν ἢ κατ'
οἶκον διατελεῖν. ὃς δ' ἂν ὧν ἄλλῃ φαίνηται, ζημίαν
προκεῖσθαι ὡς ἀδικοῦντι. ὅταν τε σημήνῃ, τὰ ἐμπό- 14
ρια καὶ πρατήρια κλείεσθαι, καὶ τὰ λύχνα κατασβέν-
νυσθαι. καὶ τῶν ἄλλων μηδένα ἔτι προϊέναι. ὅταν
δέ τινι ἀναγκαῖόν τι συμβῇ, μετὰ λαμπτῆρος βαδί- 15
ζειν. καὶ ὃς ἂν καταμηνύσῃ τινὰ ἐπιβουλεύοντα τῇ
πόλει, ἢ ὃς ἂν τῶν προγεγραμμένων τι πραττόμενον
ἐξαγγείλῃ, ἀνηγγέλθαι τε αὐτῷ ἀργύριον καὶ τὸ
ἀναγγελθὲν ἐμφανῶς προκεῖσθαι ἐν ἀγορᾷ [ἢ ἐπὶ
βωμοῦ] ἢ ἐν ἱερῷ, ἵνα προχειρότερόν τις τολμήσῃ
μηνύειν τι τῶν προγεγραμμένων. ἐὰν δὲ ὦσι φυγάδες, 16

---

1. οὐ χρὴ ἐᾶν τὸν ἐθέλοντα eiecto αὐτοῖς Ed. Escherus seminarii philolog. Turicensis sodalis: οὐ χρὴ ἐν αὐτοῖς τὸν ἐθέλοντα *M* (οὐ χρὴ ἐᾶν αὐτοῖς τὸν ἐθέλοντα O, οὐ χρὴ ἐν ἀπορρήτοις τ. ἐ. T, οὐ χρὴ τὸν ἐθέλοντα H | ἀλλὰ εἶναι H: ἀλλ' ἀεὶ *M* ‖ 3. συνδιατελοῦσι O: συντελοῦσι *M* | μέχρι H: μέχρις *M* ‖ 7. καθολκὴν C: καθολικὴν *M* ‖ 9. ἢ κατ' οἶκον διατελεῖν uerba mihi suspecta ‖ 10. ὃς δ' ἂν ὧν ἄλλῃ φαίνηται scripsi: ᾗι δε ἂν ἄλλῃ φαίνηται *M* (ὃς δ' ἂν ἄλλῃ φαίνηται Reiskius, ὃς δὲ ὧν ἄλλῃ φαίνηται Hertlinus) ‖ 11. Inter τὰ et ἐμπόρια in *M* est τούτοις: expunxit H ‖ 12. λύχνα C: ἴχνη *M* ‖ 13. προϊέναι H: παρειναι *M* ‖ 15. Post βαδίζειν in *M* est ἕως ἂν παραγγελθῇ: expunxit H ‖ 16. ὃς ἂν τῶν προγεγραμμένων τι H: ὅς τι αν τῶν προγεγραμμένων τις *M* ‖ 18. ἀναγγελθὲν Kirchhoffius: ἀγγελθὲν *M* | ἢ ἐπὶ βωμοῦ inclusi Herchero auctore ‖ 20. Post προγεγραμμένων ex § 5 huc inserui ἐὰν δὲ ὦσι φυγάδες — ἔσται. Vide ad § 5

ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν ἢ ξένων ἢ δούλων ἀποκτείνῃ, ἃ ἑκάστῳ τούτων ἔσται. ἐπὶ δὲ [μονάρχῳ ἢ στρατηγῷ ἢ] φυγάδι δυναστεύοντι χρὴ καὶ τάδε προκηρύττεσθαι· ἐάν [δέ] τι καὶ αὐτὸς πάθῃ ὁ ἀποκτείνας, τοῖς τέκνοις αὐτοῦ ἀποδίδοσθαι τὸ ἀναγγελθὲν ἀργύριον· ἐὰν δὲ μὴ ᾖ τέκνα, τῷ ἐγγυτάτω γένους.
17 καὶ ἐάν τις τῶν συνόντων τῷ φυγάδι [ἢ μονάρχῳ ἢ στρατηγῷ] πράξῃ τι τῶν προκειμένων, ἀποδίδοσθαι καὶ κάθοδον αὐτῷ εἶναι· διὰ γὰρ ταῦτα προχειρο-
18 τέρως ἂν ἐγχειροῖεν. ἐν δὲ ξενικῷ στρατοπέδῳ τοιάδε
19 ἀναγγείλαντα σιγὴν πάντων ἀκουόντων κηρῦξαι. ἐάν τις βούληται ἀπιέναι μὴ ἀρεσκόμενος τοῖς παροῦσιν, ἐξεῖναι ἀπαλλάττεσθαι, [ἀλλ' ὕστερον πεπωλήσεται]· ἐὰν δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα ἢ δια-
20 λύων τὸ στρατόπεδον, θάνατος ἔστω ἡ ζημία. μετὰ δὲ ταῦτα τῶν ἄλλων ἐξετάσεων ἐπιμέλειαν ποιητέον. καὶ πρῶτον ⟨μὲν⟩ ἐπισκεπτέον εἰ ὁμονοοῦσιν οἱ πολῖται, ὡς ἂν ὄντος μεγίστου τούτου ἀγαθοῦ ἐν πολιορκίᾳ· εἰ δὲ μή, τῶν τὰ ἐναντία φρονούντων τοῖς παροῦσι πράγμασι ⟨τοὺς⟩ καὶ μάλιστ' ἂν ἡγεμόνας

---

1. ἀποκτείνῃ Sauppius: ἀποκινῇ *M* ‖ 2. μονάρχῳ ἢ στρατηγῷ ἢ inclusi (ἢ ante φυγάδι et δυναστεύοντι ceteris seruatis eiecerunt Kirchhoffius et H) ‖ 4. δὲ post ἐὰν inclusi signo lacunae ante ἐὰν omisso, quod posuerant T et H ‖ 5. ἀναγγελθὲν Kirchhoffius: ἀγγελθὲν *M* ‖ 6. γένους Kirchhoffius: γενομένῳ *M* ‖ 7. ἢ μονάρχῳ ἢ στρατηγῷ inclusi ‖ 8. Post προκειμένων lacunam esse putauit H ‖ 10. ἐν Co. O: ἐὰν *M* ‖ 11. ἀναγγείλαντα Meierus: ἀναγγείλαντι *M* | ἐάν τις βούληται H: εἴ τις βούλεται *M* (defendit Sauppius) ‖ 13. Post ἀπαλλάττεσθαι in *M* est ἀλλ' ὕστερον πεπωλήσεται: inclusi ego; sequitur deinde in *M* τὰ δ' ἐλάσσω τούτων ἀδικήματα κατὰ τὸν νόμον τὸν προκείμενον δεσμὸς ἢ ζημία: expunxit H ‖ 14. ἢ διαλύων cod. Cas.: διαλύων *M* ‖ 15. ἡ ζημία cod. Cas.: ἢ ζημία *M* ‖ 16. τῶν ἄλλων ἐξετάσεων H: τῶν ἄλλων τάξεων *M* (πράξεων Meinekius; fort. τῆς τῶν ἄλλων ἐξετάσεως) ‖ 17. μὲν inseruit H ‖ 20. τοὺς ante καὶ inseruit Hertlinus (τινὰς inseruer. T; in eis quae praecedunt τοὺς τὰ ἐναντία φρονοῦντας Reiskius et H scripserunt) | μάλιστ' ἂν H: μάλιστα *M*

τε καὶ αἰτίους γενομένους τῇ πόλει πράξεώς τινος
μεθιστάναι ἀνυπόπτως, μετὰ προφάσεως εὐλόγου
ἐκπέμποντα ἄλλῃ ὡς πρέσβεις τε καὶ ἐπ' ἄλλας δη-
μοσίας ἐργασίας. οἷον καὶ Διονύσιος ἔπραξε Λεπτί- 21
νην τὸν ἀδελφὸν αὐτοῦ, ἔχοντα Συρακοσίων τῷ
πλήθει οἰκείως. γενόμενος γὰρ αὐτῷ ἐν ὑποψίᾳ τινί,
καὶ θέλων αὐτὸν μεταστήσασθαι, φανερῶς μὲν οὐκ
ἐπεχείρει ἐκβάλλειν αὐτόν, γνοὺς ὅτι περὶ αὐτὸν
πολλὴ μετ' εὐνοίας ἰσχὺς ἔσοιτο καὶ νεώτερον ἄν τι
γένοιτο, τεχνάζει δὲ τοιόνδε. πέμπει αὐτὸν μετὰ 22
ξένων ὀλίγων εἰς πόλιν ὄνομα Ἱμέραν, κελεύων
φρουρὰν τὴν μὲν ἐξαγαγεῖν τὴν δ' ἐγκαταστῆσαι.
γενομένου δὲ αὐτοῦ ἐν τῇ Ἱμέρᾳ, πέμψας ἐκέλευσεν
αὐτὸν περιμένειν, μέχρι ἂν αὐτὸς μεταπέμψηται.
πόλεως δ' ὁμηρευομένης, ὅταν ἐπ' αὐτὴν στρατεία 23
γίγνηται, τοὺς γονέας τῶν ὁμηρευόντων καὶ τοὺς
ἐγγυτάτω γένους μεταστήσασθαι ἐκ πόλεως, ἄχρι ἂν
ἡ πολιορκία παρέλθῃ, ἵνα μὴ ἐφορῶσιν ἐν ταῖς προσ-
αγωγαῖς τῶν πολεμίων τοὺς αὐτῶν παῖδας συμπροσ-
αγομένους καὶ τὰ ἔσχατα πάσχοντας· ἐγχωρεῖ γὰρ
αὐτοὺς ἔνδον ὄντας καὶ ὑπεναντίον τι πρᾶξαι. ἐὰν 24
δὲ ἄρα δυσχερὲς ⟨ᾖ⟩ μετὰ [τῶνδε τῶν] προφάσεων ἐκ-
πέμπειν, ἐᾶν [διάγειν αὐτοὺς ὡς ἐλαχίστων μετέχοντας ἔργων

1. τῇ πόλει H: ἐν τῇ πόλει *M* ‖ 2. Post μεθιστάναι in *M* est αὐτούς: expunxit H ‖ 5. Συρακοσίων Meinekius: συρακουσίων *M* ‖ 6. Post οἰκείως in *M* est καὶ ὁρῶν κατὰ πολλὰ ἰσχυρὸν αὐτὸν ὄντα: expunxit H ‖ 11. ἱμέραν *M* ‖ 12. δ' ἐγκαταστῆσαι Meinekius: δὲ καταστῆσαι *M* ‖ 13. ἱμέρᾳ *M* ‖ 14. μέχρι H: μέχρις *M* ‖ 15. στρατεία Hertlinus: στρατιᾶ *M* ‖ 16. γίνηται *M* | γονέας H: γονεῖς *M* ‖ 17. ἐγγυτάτω γένους Kirchhoffius: ἐγγὺς τὰ γένη *M* | μεταστήσασθαι Sauppius: μεθίστασθαι *M* | ἄχρι H: ἄχρις *M* ‖ 19. αὐτῶν *M* ‖ 22. δυσχερὲς C: δυσχερὴς *M* | ᾖ addid. T | τῶνδε τῶν inclusit Sauppius ‖ 23. ἐᾶν διάγειν H: συνδιάγειν *M* | διάγειν — πράξεων καὶ inclusi

καὶ πράξεων καὶ] *μήτε ὅπου ἔσονται μήτε ὅ τι πρά-*
ξουσι προειδέναι [καὶ ὡς ἥκιστα ἐπὶ σφῶν αὐτῶν διατε-
λοῦντας καὶ νύκτα καὶ ἡμέραν] *καὶ ἄλλας ἐπ' ἄλλαις πρά-*
ξεις καὶ λειτουργιῶν αὐτοῖς πλῆθος ἐπιτρέπειν αν-
25 *υπόπτως. ἔστωσαν δὲ διειλημμένοι εἰς παρατήρησιν·*
οὕτω γὰρ ἂν διακείμενοι ἥκιστα ἂν δύναιντο νεω-
τερίσαι. ἔτι τοίνυν μήτε εἰς τὰς ἐκκοιτίας λαμπτῆρα
ἐπιφέρεσθαι μήτε ἄλλο νυκτερινὸν φέγγος· ἤδη γάρ
τινες, ἐπεὶ πάντῃ ἐξείργοντο, μήτε νεωτερίσαι ἔχοντε
μήτε πρὸς τοὺς πολεμίους τι πρᾶξαι, τοιόνδε ἐτε-
26 *χνασαν. ἐν γὰρ τοῖς καλάθοις καὶ στρώμασιν ἐπι-*
φερόμενοι εἰς τὰς φυλακὰς λύχνα οἱ δὲ δᾷδας οἱ
δὲ λαμπτῆρας, διὰ τούτων τῶν φεγγῶν σύσσημα
ἐποιήσαντο.

11 *Ἔτι δὲ καὶ τῶν πολιτῶν τοῖς ἀντιπροθυμουμέ-*
νοις προσέχειν τὸν νοῦν καὶ μηδὲν εὐθέως ἀποδέ-
2 *χεσθαι* [διὰ τάδε]. *ῥηθήσονται δὲ ἑξῆς αἱ ἐπιβουλαί*

---

1. *πράξουσιν M* ‖ 2. *προειδέναι M* (*προειδότας* scripsit H) *καὶ — ἡμέραν* inclusi (*ἢ* post *ἡμέραν* inseri uult H) | *ἐπισφῶν M* | *διατελοῦντας* H: *διατηροῦντας M* ‖ 3. *ἐπ' ἄλλαις* Meierus: *ἐπ' ἄλλας M* ‖ 4. *λειτουργιῶν αὐτοῖς πλῆθος* H: *λειτουργιῶν αὐτοῖς τὸ πλῆθος M* | *ἐπιτρέπειν* scripsi: *ἐπιρρεῖν M* (*ἐπιρρίπτεῖν* H) ‖ 5. Post *ἀνυπόπτως* in *M* est *μεθ' ὧν ὄντες ἐν φυλακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι*: expunxit H | *εἰς παρατήρησιν* H: *ὡσεὶ παρὰ τρισὶν M* (*ὡς εἷς παρὰ τρισὶν* C, *ὡς εἰς παρατήρησιν* T) ‖ 7. *μὴ δὲ M* | *ἐκκοιτίας* H: *κοίτας M* ‖ 8. *ἐπιφέρεσθαι* H: *φέρεσθαι M* | *μὴ δὲ M* ‖ 9. *ἐξείργοντο* Reiskius: *ἐξείργονται M* | *μὴ δὲ M* | *ἔχοντες* H: *θέλοντες M* ‖ 10. *μὴ δὲ M* | *ἐτέχνασαν* H: *τεχνάζουσι M* ‖ 11. *ἐν* H: *σὺν M* | *καλάθοις* Co. O: *ἀκολούθοις M* | *ἐπιφερόμενοι* H: *φερομένοις M* ‖ 13. Post *λαμπτῆρας* in *M* est *ἵνα δὲ πρός τι κοιτασθῶσιν*: expunxit H | *διὰ τούτων τῶν φεγγῶν σύσσημα ἐποιήσαντο* H: *τούτοις τὸν φεγγαῖον σύσσημον ἐποιήσαντο M* ‖ 14. Post *ἐποιήσαντο* in *M* est *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν*: expunxit H ‖ 15. *τοῖς ἀντιπροθυμουμένοις* H (qui tamen malit *ἀντιπολιτευομένοις*): *τοῖς δεῖ* ˣ*ἀντιπροθυμουμένοις* (*δεῖ τοῖς* C) *M* ‖ 17. *διὰ τάδε* inclusi suadente Herchero

ἐκ τῆς * * βίβλου παραδείγματος ἕνεκα, ὅσαι κατὰ
πόλιν ἐξ ἀρχόντων ἢ ἰδιωτῶν γεγόνασι, καὶ ὡς ἔνιαι
αὐτῶν κωλυθεῖσαι διελύθησαν. Χίου γὰρ μελλούσης 3
προδίδοσθαι, τῶν ἀρχόντων τις, συμπροδιδοὺς καὶ
ἀπατῶν τοὺς συνάρχοντας, ἔπεισε λέγων, ὡς, ἐπειδὴ
εἰρήνη εἴη, τοῦ τε λιμένος τὸ κλεῖθρον εἰς γῆν ἀνα-
σπάσαντας ξηρᾶναι δεῖ καὶ πισσαλοιφῆσαι καὶ τὰ πα-
λαιὰ τῶν νεῶν ἄρμενα ἀποδόσθαι, τῶν τε νεωρίων
ἐπισκευάσασθαι τὰ σαθρὰ καὶ τὴν ἐχομένην αὐτῶν
στοὰν καὶ τὸν πύργον, ἐν ᾧ διῃτῶντο οἱ ἄρχοντες,
ἐχόμενον τῆς στοᾶς, ἵνα ἐκ προφάσεως κλίμακες
προσποριςθῶσι τοῖς μέλλουσι καταλαμβάνειν τὰ νεώ-
ρια καὶ τὴν στοὰν καὶ τὸν πύργον. ἔτι δὲ συν- 4
εβούλευε καὶ τὸ πλῆθος τῶν τὴν πόλιν φυλασσόντων
ἀπόμισθον ποιῆσαι, ἵν᾽ ὡς ἐλάχιστον δῆθεν ἀνάλωμα
τῇ πόλει ᾖ. καὶ ἄλλα τούτοις ὁμότροπα λέγων ἔπεισε 5
τοὺς συνάρχοντας ἅπερ ἔμελλε τοῖς προδιδοῦσι καὶ
ἐπιτιθεμένοις συνοίσειν πρὸς τὴν κατάληψιν. ἅμα δὲ 6
τοῦ τείχους ἐκδήσας κατεκρέμασε δίκτυα ἐλάφεια καὶ
σύεια, ὡσεὶ ξηρᾶναι θέλων, καὶ ἄλλῃ ἱστία ἔξω τοὺς
κάλους ἔχοντα, καθ᾽ ἅπερ ἐν νυκτὶ ἀνέβησαν ⟨οἱ⟩
στρατιῶται. πρὸς δὲ ἀντιστασιώτας τοιόνδε ἐπράχθη 7
ἐν Ἄργει. μελλόντων γὰρ τῶν πλουσίων τὴν δευ-
τέραν ἐπίθεσιν ἐπιτίθεσθαι τῷ δήμῳ καὶ ξένους ἐπ-

1. Post ἐκ τῆς lacunam indicau. T | ἕνεκα H: ἕνεκεν *M* || 2. ἐξαρχόντων *M* || 5. συνάρχοντας C: ἄρχοντας *M* || 9. ἐπισκευάσασθαι τὰ σαθρὰ H: ἐπεσκευάσθαι τὰ στάζοντα *M* || 12. προσποριςθῶσιν *M* || 16. ᾖ C: ἢ *M* (εἴη T) || 17. Post συνάρχοντας inserendum esse ποιῆσαι putat H | ἔμελλε H: ἔμελλον *M* || 18. ἐπιτιθεμένοις T: ἐπιθεμένοις *M* | Post κατάληψιν in *M* est ὥστε ἀεὶ δεῖ προσέχειν τοῖς τὰ τοιαῦτα τελειοῦν σπουδάζουσιν: deleuit H || 19. ἐκδήσας Hauptius: ἐπιδήσας *M* || 20. ἱστία O: σύεια *M* || 21. οἱ addidit H coll. IV 2 δεξάμενος ταύτῃ τοὺς στρατιώτας

αγομένων, ὁ τοῦ δήμου προστάτης, προαισθόμενος τὸ
μέλλον, τῶν ἐπιθησομένων [τινὰς τῶν ὑπεναντίων ὄντων
τῷ δήμῳ] *ἄνδρας δύο προσποιησάμενος φίλους* [εἶναι
ἀπορρήτους πολεμίους αὐτῷ καθίστησιν αὐτοὺς καὶ] *ἐποίει κα-*
κῶς ἐν τῷ φανερῷ, σιγῇ δὲ τὰ τῶν ἐναντίων βου-
8 *λεύματα ἤκουε παρ᾽ αὐτῶν. ἐπεὶ δὲ ἐπὶ τῷ εἰσ-*
άγεσθαι τοὺς ξένους ἦσαν οἱ πλούσιοι, καὶ εἰς τὴν
ἐπιοῦσαν νύκτα ἔμελλε τὸ ἔργον ἔσεσθαι, ἔδοξε τῷ
τοῦ δήμου προστάτῃ τάχιστα ἐκκλησίαν συναγαγεῖν
καὶ τὸ ⟨μὲν⟩ μέλλον μὴ προειπεῖν, ἵνα μὴ πᾶσα ἡ
πόλις ταραχθῇ, εἰπεῖν δὲ ἄλλα τε καὶ ὅτι συμφέρον
εἴη ἐν τῇ ἐπιούσῃ νυκτὶ σὺν τοῖς ὅπλοις πάντας
9 *ὁμοίως παρεῖναι ἐν τῇ αὐτοῦ φυλῇ ἕνα ἕκαστον. ἐὰν*
δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ, ὡς προ-
10 *δότης καὶ ἐπιβουλεύων τῷ δήμῳ πασχέτω τι. παρα-*
πλησίως δὲ ἐν Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ, οὔσης
δημοκρατίας καὶ ἐπιβουλευόντων τῶν πλουσίων τῷ
δήμῳ καὶ μελλόντων ἐπιτίθεσθαι, προγνόντες οἱ προ-
στάται τοῦ δήμου τὸ μέλλον, οὐσῶν αὐτοῖς τριῶν

2—4. hoc loco inclusi ea, quae deleri iussit Sauppius (Hercherus deleuit sola *τινὰς τῶν ὑπεναντίων ὄντων* l. 2, l. 4 cum Reiskio *καθίστη* scripsit, cum T pro *αὐτοὺς*: *ὁρατούς*) ‖ 5. *τὰ τῶν* H: *τὸ ἐκ τῶν M* (*τὰ ἐκ τῶν* C) ‖ 6. *ἐπὶ* H: *ἐν M* ‖ 7. Post *οἱ πλούσιοι* in *M* est *ἅμα δὲ καὶ τῶν ἐν τῇ πόλει τινὲς ἦσαν ἕτοιμοι*: expunxit H ‖ 8. *ἔμελλεν M* ‖ 9. *τάχιστα* C: *ταχίστην M* 10. *μὲν* addid. H ‖ 11. *εἰπεῖν* T: *εἰπόντα M* (*εἰπόντι* C) ‖ 12. *πάντας ὁμοίως* H: *πάντας μὲν οὓς M* ‖ 13. *ἕνα* H: *ὄντας M ἕκαστον* Meierus: *ἑκατὸν M* (pro *ὄντας ἑκατὸν* scribi uoluit C: *ἕν τε τῇ αὐτοῦ ἑκατοστύϊ*) | *ἐὰν δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ* H coll. X 13: *ἐὰν δέ τις ἄλλως* (*ἄλλοσε* O) *ἐκθῆται τὰ ὅπλα ἢ ἄλλῃ* (*ἢ ἁπλῶς μὴ* Meierus) *ἐξενεγκάμενος φανῇ M* ‖ 15. Post *πασχέτω τι* in *M* est *τοῦτο δὴ αὐτὸ ἵνα κατὰ τὰς φυλὰς ὄντες οἱ πλούσιοι μὴ δύνωνται εἰς ταὐτὸ ἀθροισθέντες μετὰ τῶν ξένων ἐπιθέσθαι ἀλλ᾽ ἐν ταῖς φυλαῖς ὄντες διακεχωρισμένοι ὦσιν ἐν πολλοῖς ὀλίγοι φυλέταις καλῶς δὲ δοκεῖ καὶ ἀγχινόως μετ᾽ ἀσφαλείας διαλῦσαι τὸ μέλλον*: expunxit H

φυλῶν [καὶ τεσσάρων ἑκατοστύων] ἔπεισαν τὸ πλῆθος
ἑξήκοντα θεῖναι ἑκατοστύας, ἵνα ἐν ταύταις καὶ εἰς
τὰς φυλακὰς καὶ εἰς τὰς ἄλλας λειτουργίας φοιτῶσιν
οἱ πλούσιοι. ὁμότροπον δέ τι τούτῳ καὶ πάλαι ἐν 11
Λακεδαίμονι ⟨λέγεται⟩ γενέσθαι. μηνυθείσης γὰρ 12
ἐπιβουλῆς τοῖς ἄρχουσιν ὅτι ὅταν ὁ πῖλος ἀρθῇ ἐπι-
θήσονται, ἔπαυσαν τοὺς ἐγχειροῦντας ἐπιθέσθαι, κή-
ρυγμα ἀναγγείλαντες τοὺς τὸν πῖλον μέλλοντας αἴρειν
μὴ ἆραι. ἐν Κορκύρᾳ δὲ ἐπανάστασιν δέον γενέσθαι 13
ἐκ τῶν πλουσίων καὶ ὀλιγαρχικῶν τῷ δήμῳ (ἐπεδή-
μει δὲ καὶ Χάρης Ἀθηναῖος φρουρὰν ἔχων, ὅσπερ
συνήθελε τῇ ἐπαναστάσει) ἐτεχνάσθη τοιόνδε. τῶν 14
τῆς φρουρᾶς τινες ἄρχοντες σικύας προσβαλόμενοι
καὶ τομὰς ἐν τῷ σώματι ποιησάμενοι καὶ αἱματω-
θέντες ἐξέδραμον εἰς τὴν ἀγορὰν ὡς πληγὰς ἔχοντες,
ἅμα δ' αὐτοῖς εὐθὺς προπαρεσκευασμένοι οἵ τε ἄλλοι
στρατιῶται τὰ ὅπλα ἐξηνέγκαντο καὶ τῶν Κορκυραίων
οἱ ἐπιβουλεύοντες. τῶν ⟨δ'⟩ ἄλλων ἀγνοούντων τὸ 15
πρᾶγμα καὶ εἰς ἐκκλησίαν παρακληθέντων συνελάμ-
βανον τοὺς προστάτας τοῦ δήμου, ὡς ⟨τῆς⟩ ἐπαναστά-

---

1. *καὶ τεσσάρων ἑκατοστύων* inclusi: (*τεσσαράκοντα* pro *τεσσάρων* scripsit C, *τριάκοντα* Haasius, *καὶ τεσσάρων ἐν ἑκάστῃ ἑκατοστύων* T) ‖ 2. *θεῖναι* H: *εἶναι* *M* ‖ 4. Post *οἱ πλούσιοι* in *M* est: *συνέβαινεν καὶ ἐνταῦθα διεσκεδασμένους εἶναι τοὺς πλουσίους καὶ ἐν ταῖς ἑκατοστύσιν ὀλίγοις* (*ὀλίγους* C) *ἑκάστοθι παραγίνεσθαι ἐν πολλοῖς δημόταις* | *καὶ πάλαι* T: *καὶ παλαιὸν* *M* (*κατέλαβεν* H) cf. XXXI 25. XXXVII 6. ‖ 5. Post *Λακεδαίμονι* inserui *λέγεται*, post *γενέσθαι* T | *γενέσθαι* cod. C: *γίνεσθαι* *M* ‖ 6. *πῖλος* C: *πηλὸς* *M* ‖ 8. *πῖλον* C: *πηλὸν* *M* | *αἴρειν μὴ ἆραι* H: *ἆραι μὴ ἆραι* *M* ‖ 9. *κορκύρα* *M* ‖ 10. *ἐπεδήμει* C: *ἐπιδημεῖ* uel *ἐπιδημεὶ* *M* ‖ 11. *ὅσπερ* C: *ὥσπερ* *M* ‖ 12. *συνήθελεν* *M* ‖ 13. *προσβαλόμενοι* C: *προβαλλόμενοι* *M* ‖ 18. *δ'* post *τῶν* add. C ‖ 19. *συνελάμβανον τοὺς προστάτας* scripsi: *συνελαμβάνοντο οἱ προστάται* *M* ‖ 20. *τῆς* add. H

σεως γενομένης ἐξ αὐτῶν, καὶ τὰ ἄλλα μεθίστασαν
πρὸς τὸ συμφέρον αὐτοῖς.

12 *Χρὴ δὲ καὶ συμμάχων εἰς τὴν πόλιν* ** *μήποτε*
ἅμα διατελεῖν τοὺς συμμάχους, ἀλλὰ διεσκεδάσθαι
2 *ὁμοτρόπως τοῖς προειρημένοις. τὸ δὲ αὐτὸ* ⟨*ποιεῖν*⟩
καὶ μετὰ ξένων μισθοφόρων μέλλοντά τι πράσσειν.
ἀεὶ ⟨*δὲ*⟩ *χρὴ ὑπερέχειν πλήθει καὶ δυνάμει τοὺς ἐπαγο-*
μένους πολίτας τῶν ξένων· εἰ δὲ μή, ἐπ' ἐκείνοις γί-
3 *γνονται αὐτοί τε καὶ ἡ πόλις. οἷον Χαλκηδονίοις πο-*
λιορκουμένοις ⟨*οἱ Κυζικηνοί*⟩ *ὄντες σύμμαχοι ἔπεμψαν*
φρουράν [αὐτοῖς οἱ τῶν Χαλκηδονίων σύμμαχοι]. ⟨*αὐτῶν δὲ*⟩
βουλευομένων τὰ αὐτοῖς συμφέροντα οὐκ ἔφασαν οἱ
φρουροὶ ἐπιτρέψειν, ἐὰν μὴ καὶ Κυζικηνοῖς δοκῇ
εἶναι συμφέροντα, ὥστε τοῖς Χαλκηδονίοις τὴν φρου-
ρὰν ἐφέδραν πολὺ φοβερωτέραν εἶναι τῶν προσκαθη-
4 *μένων πολεμίων.* [δεῖ οὖν μήποτε εἰς πόλιν οἰκείαν μείζω
δύναμιν ἐπακτὸν δέχεσθαι τῆς ὑπαρχούσης τοῖς πολίταις, ξένοις
τε χρωμένην ἀεὶ δεῖ τὴν πόλιν πολλῷ ὑπερέχειν τῆς τῶν ξένων
δυνάμεως· οὐ γὰρ ἀσφαλὲς ξενοκρατεῖσθαι καὶ ἐπὶ μισθοφόροις

1. *γενομένης* Meinekius: *γινομένης* *M* | *μεθῖστασαν* *M* ‖ 3. Post *πόλιν* lacunam indicauit C ‖ 5. Inter *ὁμοτρόπως* et *τοῖς προειρημένοις* in *M* est *τῶν αὐτῶν ἕνεκεν*: del. H | *ποιεῖν* add. H coll. XXXII 10. XXII 13. XXXI 3. ‖ 6. *μισθοφόρων* deleri uult Hertlinus | *μέλλοντά τι* H: *μέλλοντάς τι* *M* ‖ 7. *δὲ* add. H ‖ 9. *γίγνονται* H: *γίνονται* *M* ‖ 9—12. Sauppium secutus sum qui *οἱ Κυζικηνοὶ* et *αὐτῶν δὲ* addidit, mutauit *παρόντες* in *ὄντες*, *αὐτοῖς — σύμμαχοι* eiecit: *οἷον Χαλκηδονίοις πολιορκουμένοις παρόντες σύμμαχοι ἔπεμψαν φρουρὰν αὐτοῖς οἱ τῶν καλχιδονίων σύμμαχοι. βουλ.* etc. *M* (*οἷον Χαλκηδονίοις πολιορκουμένοις οἱ παρόντες σύμμαχοι — ἔπεμψαν δὲ φρουρὰν αὐτοῖς* ⟨*Κυζικηνοὶ*⟩ *οἱ τῶν Χαλκηδονίων σύμμαχοι — βουλευομένων* ⟨*οὖν*⟩ T) ‖ 12. *ἔφασαν* C: *ἔφησαν* *M* ‖ 13. *δοκῇ* C: *δοκεῖ* *M* ‖ 14. *καλχιδονίοις* *M* ‖ 15. *ἐφέδραν* H coll. XIV 1: *ἔσω ὁρᾶν* *M* (*ἔσω οὖσαν* C) | *προσκαθημένων* Meierus: *προκαθημένων* *M* ‖ 16. *δεῖ οὖν* — p. 25, 1 *μισθοφόροις γίγνεσθαι* inclusi ‖ 16. *οἰκείαν* deleri uult Sauppius, sed l. 18 post *ὑπερέχειν* inseri *τῇ οἰκείᾳ*; at cf. IX 1 in interpolato loco *τῆς οἰκείας χώρας* ‖ 17. *ἐπακτὸν* C: *ἐπ' αὐτὸν* *M* ‖ 18. *χρωμένην* T: *χρώμενον* *M* (*χρωμένου* C) *δεῖ τὴν πόλιν* deleri uult H *χρώμενον* seruato ‖ 19. *ἐπὶ* C: *ἔπι* *M*

γίγνεσθαι.] οἷον καὶ Ἡρακλεώταις τοῖς ἐν τῷ Πόντῳ συνέβη. ἐπαγαγόμενοι γὰρ ξένους πλείονας τοῦ προσήκοντος, πρῶτον μὲν τοὺς ἀντιστασιώτας ἀνεῖλον, ἔπειτα αὑτοὺς καὶ τὴν πόλιν ἀπώλεσαν, τυραννευθέντες ὑπὸ τοῦ εἰσαγαγόντος τοὺς ξένους.

13 Ἂν δὲ δέῃ ξενοτροφεῖν, ὧδε ἂν ἀσφαλέστατα γίγνοιτο. χρὴ τοῖς ἐν τῇ πόλει εὐπορωτάτοις προστάξαι κατὰ δύναμιν παρασχεῖν ξένους ἕκαστον, τοὺς μὲν τρεῖς, τοὺς δὲ δύο, τινὰς δὲ ἕνα· ἀθροισθέντων δὲ ὅσων δεῖ, οὕτω διελεῖν αὐτοὺς εἰς λόχους, καταστήσαντα ἐπ' αὐτοὺς τῶν πολιτῶν τοὺς πιστοτάτους λοχαγούς. 2 τὸν δὲ μισθὸν καὶ τὴν τροφὴν οἱ ξένοι παρὰ τῶν μισθωσαμένων λαμβανόντων, τὸ μέν τι παρεχόντων αὐτῶν, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης. 3 καὶ διαιτάσθων ἕκαστοι ἐν ταῖς τῶν μισθωσαμένων οἰκίαις, εἰς δὲ τὰς λειτουργίας καὶ τὰς ἐκκοιτίας καὶ τὰ ἄλλα ἐπιτάγματα ἐκ τῶν ἀρχόντων ἀθροιζόμενοι ὑπὸ τῶν λοχαγῶν ὑπηρετούντων. 4 κομιδὴ δὲ τοῖς προαναλίσκουσιν εἰς τοὺς ξένους χρόνῳ τινὶ γενέσθω ὑπολογιζομένων τῶν εἰς τὴν πόλιν εἰσφερομένων παρὰ ἑκάστου τελῶν· οὕτω γὰρ ἂν τάχιστά τε καὶ ἀσφαλέστατα καὶ εὐτελέστατα ξενοτροφηθείη.

14 Τοῖς μὲν οὖν ἐν τῇ πόλει ὑπεναντία θέλουσι

---

1. γίνεσθαι *M* ‖ 2. ἐπαγαγόμενοι Meinekius: ἐπαγόμενοι *M* ‖ 4. αὐτοὺς *M* ‖ 5. εἰσαγαγόντος C: εἰσάγοντος *M* ‖ 6. ὧδε *M* | ἀσφαλέστατα H: ἀσφαλέστατον *M* ‖ 7. γίνοιτο *M* ‖ 8. Post δύναμιν in *M* est ἑκάστῳ: expunxit H ‖ 10. ὅσων δεῖ, οὕτω H coll. XV 3: ὅσων δέοιτο *M* | καταστήσαντα H: καταστήσαντας *M* ‖ 13. τὸ μέν τι παρεχόντων αὐτῶν scripsi: τὸ μέν τι παρ' αὐτῶν *M* (τὸ μέν τι αὐτῶν χορηγούντων uel παρεχόντων uel συντελούντων H) ‖ 15. διαιτάσθων H: διαιτάσθωσαν *M* ‖ 16. εἰς δὲ H coll. I 5: οἱ δὲ *M* ‖ 20. ὑπολογιζομένων Co. O: ὑπολογιζομένοις ὑπὸ *M* ‖ 24. θέλουσιν *M*

τοῖς καθεστηκόσι προσφέρεσθαι ὡς προγέγραπται· τὸ
δὲ πλῆθος τῶν πολιτῶν εἰς ὁμόνοιαν ὡς μάλιστα
χρὴ προάγειν, ἄλλοις τε ὑπαγόμενον αὐτοὺς καὶ τοὺς
χρεωφειλέτας κουφίζοντα, ⟨τῶν μὲν⟩ τόκων βραχύ τι
ἢ ὅλους ἀφιέντα, ἐν δὲ τοῖς λίαν ἐπικινδύνοις καὶ
τῶν ὀφειλημάτων τι μέρος ⟨ἢ⟩ καὶ πάντα ὅταν δέῃ
(ὅπου γε καὶ φοβερώτατοι ἔφεδροί εἰσιν οἱ τοιοίδε
ἄνθρωποι), τούς τε ἐν ἀπορίᾳ ὄντας τῶν ἀναγκαίων
2 εἰς εὐπορίαν καθιστάντα. καὶ ὅπως ⟨ἂν⟩ ἴσως καὶ
ἀλύπως τοῖς πλουσίοις ταῦτα γίγνοιτο καὶ ἐξ οἵων
πόρων πορίζοιτο, καὶ περὶ τούτων ἐν τῇ Ποριστικῇ
βίβλῳ δηλωτικῶς γέγραπται.

15 . Κατασκευασθέντων δὲ τούτων, ἄν τι ἀγγελθῇ ἢ
πυρσευθῇ βοηθείας δεόμενον, ἐξιέναι ἐπὶ τὰ κακού-
2 μενα τῆς χώρας. τὸν δὲ στρατηγὸν τοὺς παρόντας
εὐθὺς συντάττειν, ἵνα μὴ σποράδην καὶ κατ' ὀλίγους
ἐξιόντες ἐπὶ τὰ αὐτῶν ἀπολλύωνται δι' ἀταξίαν καὶ
κόπον ἄκαιρον, ἐνεδρευόμενοί τε ὑπὸ τῶν πολεμίων
3 καὶ κακὰ πάσχοντες. ἀλλὰ χρὴ τοὺς παραγιγνομέ-
νους ἐπὶ τὰς πύλας ἀθροίζεσθαι μέχρι τινὸς πλή-
θους, ὡς λόχου ἢ διλοχίας, εἶτα συνταχθέντας καὶ
ἡγεμόνος αὐτοῖς φρονίμου δοθέντος, οὕτως ἐκπέμπε-
σθαι καὶ σπεύδειν ἰόντας ἐν τάξει ὡς μάλιστα.

---

2. ὡς μάλιστα scripsi: τέως μάλιστα *M* ‖ 4. χρεοφειλέτας *M* | τῶν μὲν add. H | βραχύ τι Kirchhoffius: βραχύτητι *M* 5. ὅλους H: ὅλως *M* | ἀφιέντα H: ἀφαιροῦντα *M* ‖ 6. ἢ ante καὶ add. Meierus | ὅταν δέῃ Haasius: ὅταν δὲ *M* ‖ 7. ὅπου γε καὶ H: ὡς πολύ γε καὶ *M* ‖ 9. καθιστάντα H: καθιστάναι *M* ἂν post ὅπως add. Kirchhoffius ‖ 10. γίγνοιτο H: γιγνόμενα πράττοιτο *M* (πράττοιτο solum Hertlinus) ‖ 11. πόρων C: πόνων *M* ‖ 13. ἀγγελθῇ C: ἀγγελθὲν *M* ‖ 15. τὸν δὲ στρατηγὸν τοὺς H: τοὺς δὲ στρατηγοὺς *M* ‖ 16. συντάττειν C: συντάττει *M* ‖ 17. αὐτῶν *M* | ἀπολλύωνται C: ἀπολλύονται *M* ‖ 19. τοὺς H: τούς τε *M* | παραγινομένους *M* ‖ 21. λόχου C: λόχω *M* ‖ 23. ἰόντας Reiskius: ὄντας *M*

ἔπειτα ἄλλο καὶ ἄλλο πλῆθος τούτοις ἐπιπέμπειν, ἵνα καὶ 4
ἐν τῇ πορείᾳ ἐχόμενα ᾖ τὰ μέρη, καὶ ἐάν τε μέρος δέῃ
βοηθῆσαι ἐάν τε ἅμα πάντας δέῃ, ῥᾳδίως ὑπάρχῃ συμ-
μίσγειν ἀλλήλοις, [καὶ μὴ δρόμῳ πόρρωθεν παραγίγνωνται]. 5
πρὸ δὲ αὐτῶν δεῖ πρώτους τοὺς ὑπάρχοντας ἱππέας καὶ
κούφους ἐξιέναι, μηδὲ τούτους ⟨ἀσκέπτως ἀλλὰ⟩ προ-
εξερευνῶντάς τε καὶ προκαταλαμβάνοντας τὰ ὑψηλὰ τῶν
χωρίων, ἵν᾽ ὡς ἐκ πλείστου προειδῶσιν οἱ ὁπλῖται τὰ
τῶν πολεμίων, καὶ μηδὲν ἐξαίφνης αὐτοῖς προσπέσῃ. 6
περί τε τὰς καμπὰς τῶν χωρίων καὶ τὰς ἀναβάσεις
τῶν ἀκρολοφιῶν καὶ τὰς ἐκτροπὰς τῶν ὁδῶν, ὅπου ἂν
τρίοδοι ὦσιν, εἶναι σημεῖα, ἵνα μὴ περὶ ταῦτα σχί-
ζωνται ἀπ᾽ ἀλλήλων οἱ ὑπολελειμμένοι δι᾽ ἄγνοιαν
τῆς ὁδοῦ. ἀπιόντα τε εἰς τὴν πόλιν πεφυλαγμένως 7
ἀναχωρεῖν πολλῶν ⟨τε⟩ ἕνεκα καὶ μάλιστα ἐνέδρας φο-
βούμενον πολεμίων· ἤδη γὰρ περὶ βοήθειαν ἀφύλα-
κτον τοιόνδε συνέβη. Τριβαλλῶν ἐμβαλόντων εἰς 8
τὴν Ἀβδηριτῶν χώραν, ἐπεξελθόντες Ἀβδηρῖται καὶ
παράταξιν ποιησάμενοι κάλλιστον ἔργον εἰργάσαντο·
συμβαλόντες γὰρ κατέβαλον πολλοὺς καὶ ἐνίκων
πλῆθος πολὺ καὶ μάχιμον. οἱ δὲ Τριβαλλοί, ἀγα- 9
νακτήσαντες τῷ συμβάντι, ἀπαλλαγέντες καὶ ἀναλα-

---

1. *ἄλλο καὶ ἄλλο* Meinekius: *καὶ κατὰ ἄλλο M* (*ἄλλο κατ᾽ ἄλλο* Meierus) | *πλῆθος* C: *πάθος M* | *τούτοις ἐπιπέμπειν* scripsi: *οὕτως ἐκπέμπειν M* (*οὕτως* expunxit H) | Post *ἐπιπέμπειν* in *M* est *καὶ ἐν τάχει μέχρις οὗ ἱκανοὶ δοκοῦσιν ἐκβεβοηθηκέναι*: expunxit H (*ἀεὶ ἐν τάξει* ceteris seruatis T) ‖ 2. *ἐάν τε* C: *ἐὰν M* | *μέρος* Sauppius: *τὰ μέρη μέρος M* (*μέρη ἢ μέρος* C, *μέρει μέρος* T, *τὰ μέρη* H) ‖ 4. *καὶ μὴ — παραγίγνωνται* inclusi | *παραγίνωνται M* ‖ 6. *ἀσκέπτως* inseruit H (*ἀφυλάκτως* C) | *ἀλλὰ* inseruit C ‖ 8. *προείδωσιν M* | *ὁπλῖται* T: *πολίται M* ‖ 9. *προσπέσῃ* Hertlinus: *προσπέσοι M* ‖ 10. *ἀναβάσεις* T: *βάσεις M* ‖ 14. *ἀπιόντα* Hertlinus: *ἀπιόντας M* ‖ 15. *τε* post *πολλῶν* add. Sauppius (*ἄλλων τε* H) ‖ 17. *ἐμβαλόντων* T: *ἐμβαλλόντων M* ‖ 18. *ἀβδηρίται M*, ita etiam pg. 28, 3 ‖ 20. *ἐνίκησαν* malit H

βόντες αὐτούς, πάλιν ἀφικόμενοι εἰς τὴν χώραν καὶ ἐνέδρας προκαθίσαντες ἔκειρον τὴν χώραν τὴν Ἀβδηριτῶν οὐ πόρρω τῆς πόλεως, οἱ δὲ Ἀβδηρῖται ὑπερφρονήσαντες αὐτῶν διὰ τὸ προειργασμένον ἔργον ἐπεβοήθουν πασσυδί, οἳ δὲ ὑπῆγον αὐτοὺς εἰς τὰς ἐνέδρας. ὅπου δὴ λέγεται ἐκ μιᾶς πόλεως, τοσαύτης γε τὸ μέγεθος, πλείστους ἐν ἐλαχίστῳ χρόνῳ ἀπολέσθαι. [οὐδὲ γὰρ ἀκούσαντες τὸν ὄλεθρον τῶν πρώτων ἐπεξελθόντων οἱ ἄλλοι ἐπέσχον τῆς βοηθείας, ἀλλ' ἄλλος ἄλλον παρακαλῶν ἔσπευδε βοηθεῖν τοῖς ἐπεξελθοῦσι, μέχρι ἠρημώθη ἡ πόλις ἀνδρῶν.]

16 [Ὅδε οὖν ἄλλος τρόπος βοηθείας βελτίων ἂν εἴη ἐπὶ τοὺς
2 ἐμβεβληκότας. πρῶτον μὲν οὖν οὐ χρὴ εὐθὺς βοηθεῖν, εἰδότα ὅτι ἀτακτότατοι ἂν εἶεν οἱ ἄνθρωποι, τῶν μὲν ἐπειγομένων τὰ οἰκεῖα σῴζειν ὡς τάχιστα ἐκ τῶν ἀγρῶν, ἑτέρων δὲ πεφοβημένων εἰς τοὺς κινδύνους προϊέναι, ἄλλων δὲ πάμπαν ἀπαρασκεύων
3 ὄντων. χρὴ οὖν τὴν μὲν βοήθειαν εὐτρεπίζειν ἀθροίζοντα ὅτι τάχος, ἅμα τῶν μὲν τὸ δεῖμα ἀφαιροῦντα, τοῖς δὲ θάρσος ἐμ-
4 ποιοῦντα, τοὺς δὲ ὁπλίζοντα. δεῖ γάρ σε εἰδέναι ὅτι τῶν πολεμίων οἱ μετὰ συνέσεως καὶ ἐπιστήμης γιγνόμενοι ἐν πολεμίᾳ κατ' ἀρχὰς μὲν τὸ ἰσχυρότατον αὐτῶν ἐν τάξει ἄγουσι προσδεχόμενοί τινας ἐφ' ἑαυτοὺς ⟨ἰόντας⟩ καὶ ἑτοίμως ἔχοντας ἀμύ-

1. *αὐτούς M* ‖ 5. *πασσυδί* Meinekius: *πασσυδίη M* | Post *πασσυδίη* in *M* est *πάσῃ ῥώμῃ καὶ προθυμίᾳ*: expunxit Co. O ‖ 6. *ὅπου δὴ* C: *ὅπου δὲ M* ‖ 8—11. *οὐδὲ γὰρ — πόλις ἀνδρῶν* inclusi ‖ 8. *πρώτων* Hertlinus: *πρῶτον M* ‖ 10. *ἔσπευδεν M* | *μέχρις M* ‖ 12. — p. 30, 19 (XVI, 1—13) *πλέων ὑπ' αὐτῶν* inclusi 12. *ὅδε* (uel *ὅδ'*) scripsi: *ὁ δ' M* (*εἴη δ' ἂν ἄλλος τρόπος βοηθείας ἐπὶ τοὺς ἐμβεβληκότας τοιόσδε* expectabat H) ‖ 13. *εὐθὺς* H: *εὐθὺ M* | Fort. *βοηθεῖν ἐᾶν* ‖ 14. Post *ἀτακτότατοι ἂν* in *M* est *καὶ ἀπαράσκευοι πρὸ τῆς ἕω*: expunxit H ‖ 16. Post *προϊέναι* in *M* est *οἱ δ'* (*οἷα* C) *εἰκὸς προσφάτως ἀγγελμένων* (*ἠγγελμένων* C) ‖ 18. *ἐμποιοῦντα* C: *ἐμποιοῦντας M* ‖ 19. *ὁπλίζοντα* C: *ὁπλίζοντας M* ‖ 20. *συνέσεως* H: *ξυνέσεως M* | *γινόμενοι M* | *πολεμίᾳ* C: *πόλει μιᾷ M* ‖ 22. *ἰόντας* inseruit H *ἔχοντας* H: *ἔχοντες M*

νεσθαι· τινὲς δὲ διασπαρέντες αὐτῶν ⟨τὰ⟩ κατὰ τὴν χώραν ἀδι-
κοῦσιν, ἄλλοι δ' ἂν ἐνεδρεύοιεν προσδεχόμενοί τινας βοηθοῦντας
ὑμῶν ἄτακτον βοήθειαν. δεῖ οὖν μὴ εὐθὺς αὐτοῖς προσκείμενον 5
ἐνοχλεῖν, ἀλλ' ἐᾶσαι αὐτοὺς πρότερον θαρρῆσαι καὶ καταφρονή-
σαντάς σου ἐπὶ λεηλάτησιν καὶ πλεονεξίαν ὁρμῆσαι· ἅμα δ' ἂν
οὗτοι σιτίων καὶ πόσεως πληρούμενοι ἀμελεῖς καὶ ἀπειθεῖς τοῖς
ἄρχουσι γίγνοιντο. ἐκ δὲ τούτων εἰκὸς μοχθηροὺς αὐτῶν τοὺς 6
ἀγῶνας καὶ ⟨χαλεπὴν⟩ τὴν ἀποχώρησιν συμβαίνειν, ἐάνπερ
γε σὺ αὐτοῖς εὐκαίρως ἐπιθῇ. ἠτοιμασμένης γάρ σοι τῆς βοη- 7
θείας εἰς τὸν παρηγγελμένον τόπον καὶ ἐσπαρμένων ἤδη τῶν
πολεμίων πρὸς ἁρπαγήν, οὕτω χρὴ αὐτοῖς προσκεῖσθαι τοῖς μὲν
ἱππεῦσι προκαταλαμβάνοντα τὰς ἀποχωρήσεις, τοῖς δ' ἐπιλέκτοις
ἐνέδρας ποιούμενον, τοῖς δ' ἄλλοις κούφοις ἐπιφαινόμενον αὐτοῖς,
τοὺς δ' ὁπλίτας ἀθρόους ἐν τάξει ἄγοντα, μὴ πόρρω δὲ τῶν
προπεμφθέντων μερῶν. ἐπιτίθεσο δὲ τοῖς πολεμίοις ἐν οἷς ἄκων
μὲν ⟨μὴ⟩ μαχεῖ, μαχόμενος δὲ μὴ ἔλασσον ἕξεις τῶν πολεμίων.
διὰ οὖν τὰ εἰρημένα λυσιτελεῖ πρότερον ἐφεῖναι καὶ ἐᾶσαι τοὺς 8
πολεμίους ὡς πλείστην κατασῦραι τῆς χώρας, ἵνα λεηλατοῦντες
καὶ πεπληρωμένοι λαφύρων ῥᾳδίως σοι τὴν δίκην δῶσι· τά τε
γὰρ ληφθέντα πάντα σῴζοιο ἄν, οἵ τ' ἀδικήσαντες κατ' ἀξίαν
λάβοιεν τὰ ἐπιτίμια. ὀξέως δ' ἂν βοηθήσας τοῖς μὲν σαυτοῦ 9

1. τὰ addidit C ‖ 3. ὑμῶν C: ἡμῶν M | βοήθειαν Hertlinus: βοήθησιν M | αὐτοῖς Meierus: αὐτοὺς M ‖ 4. αὐτοὺς H: τούτους M | θαρσῆσαι M ‖ 6. Post πληρούμενοι in M est καὶ οἰνωθέντες: expunxit Meinekius | ἀμελεῖς C: ἀμελλεῖς M ‖ 7. γίνοιντο M ‖ 8. χαλεπὴν inseruit H (post ἀποχώρησιν addi uult Meinekius χαλεπωτάτην) ‖ 9. ἐπιθῇ Hertlinus: ἐπιθήσῃ M ‖ 12. ἱππεῦσιν M ‖ 13. κούφοις C: κούφως M ‖ 14. ἄγοντα C: ἄγοντας M ‖ 15. προπεμφθέντων C: προοφθέντων M ‖ 16. μὴ inseruit C ante μαχεῖ | μαχεῖ Hertlinus: μαχήσῃ M ‖ 17. εἰρημένα Sauppius: πρότερα εἰρημένα M (πρότερον εἰρημένα C, πρότερον γεγραμμένα uel προειρημένα L. Dindorfius, προγεγραμμένα H) | πρότερον H: ποτὲ M | ἐάσαι M ‖ 18. ἵνα Reiskius: ἵνα ἢ M (ἵνα δὴ T, ἵνα οἱ L. Dindorfius) ‖ 19. πεπληρωμένοι H: διαπεπληρωμένοι M | δῶσι T: δώσουσιν M ‖ 20. σῴζοιο ἂν H: σώζοιντο M (σώζοιτο Co. O)

ἀπαρασκεύοις τε καὶ ⟨οὐ⟩ τεταγμένοις κινδυνεύοις, οἱ δὲ πολέμιοι μικρὰ μὲν ἂν φθάσειαν κακουργήσαντες, ἐν τάξει δ' ἂν ἔτι ὄντες
10 ἀτιμώρητοι ἂν ἀπέλθοιεν. πολὺ δὲ κρεῖσσον, ὡς προγέγραπται,
11 ἐνδόντα ἀφυλάκτως διακειμένοις αὐτοῖς ἐπιθέσθαι. ἐὰν δέ σε λάθῃ ἢ φθάσῃ τὰ ἐκ τῆς χώρας λεηλατηθέντα, οὐ χρὴ τὴν δίωξιν αὐτῶν ποιεῖσθαι ⟨κατὰ⟩ τὰς αὐτὰς ὁδοὺς καὶ τοὺς αὐτοὺς χώρους, ἀλλὰ τῇδε μὲν ὀλίγους ἐπιφαίνεσθαι καὶ διώκοντας μὴ ἐπικαταλαμβάνειν ἑκουσίως καὶ ἀνυπόπτως, ἄλλο δὲ πλῆθος μετὰ ἀξιόχρεω δυνάμεως σπεύδειν κατ' ἄλλας ὁδοὺς ὅτι τάχιστα πορευόμενον, καὶ φθάσαν ἐν τῇ τῶν ἀγόντων χώρᾳ περὶ τὰ ὅρια
12 ἐνεδρεῦσαι (φθάσαι δέ σε εἰκός ἐστι πρότερον εἰς τὴν ἐκείνων ἀφικόμενον, διὰ τὸ λείαν ἄγοντας αὐτοὺς βραδυτέρως πορεύεσθαι), τὴν δ' ἐπίθεσιν αὐτοῖς ποιεῖσθαι δειπνοποιουμένοις· οἱ γὰρ λεηλατήσαντες, ⟨ὡς⟩ ἔν τε τῇ αὐτῶν ἤδη γεγονότες καὶ ἐν ἀσφαλεῖ ὄντες, πρὸς ῥᾳθυμίαν τρεπόμενοι ἀφυλακτοτέρως ἂν δια-
13 κέοιντο. ἄριστον ⟨δ'⟩, ἵνα νεοκμῆσι τοῖς στρατιώταις χρήσῃ, ὑπαρχόντων γε πλοίων, κατὰ θάλατταν τὴν δίωξιν ποιεῖσθαι· τό τε γὰρ φθάσαι καὶ τὰ ἄλλα εἰς τὸ δέον σοι συμβήσεται, ἐὰν μὴ
14 κατοφθῇς πλέων ὑπ' αὐτῶν.] ***Κυρηναίους ⟨δὲ⟩ καὶ Βαρκαίους λέγεται τὰς μακρὰς βοηθείας κατὰ τὰς ἁμαξηλάτους***

1. *οὐ* ante *τεταγμένοις* inseruit C | *δὲ* H: *τε* *M* ‖ 2. *φθάσειαν* H: *φθάσαιεν* *M* ‖ 3. *προγέγραπται* H: *γέγραπται* *M* ‖ 6. *κατὰ* adiecit Meinekius ‖ 7. *τῇδε* C: *τῇσδε* *M* ‖ 8. *ἑκουσίως καὶ ἀνυπόπτως* deleri uult H: sed ab rhetore haec non uidentur abiudicanda ‖ 9. *ἀξιόχρεω* Hertlinus: *ἀξιοχρέου* *M* ‖ 10. *φθάσαν* Co. O: *φθάσαντος* *M* ‖ *ὅρια* *M* ‖ 11. *πρότερον* deleri uult H: sed cf. Thuc. VII 25, Dem. VI 18 ‖ 12. *λείαν* C: *λίαν* *M* ‖ 14. *ὡς* addiderunt T | *αὐτῶν* *M* ‖ 15. *ἀφυλακτοτέρως* C: *ἀφυκτοτέρως* *M* ‖ 16. *δ'* addidit C | *νεοκμῆσι* C: *νεοσμησιν* *M* ‖ 17. *γε* C: *δὲ* *M* ‖ 19. *Κυρηναίους* C: *κρηναίους* *M* | Post *Κυρηναίους* H inseruit *δὲ* ‖ 20. Post *λέγεται* in *M* est *καὶ ἄλλας τινὰς πόλεις*: deleuit H | *τὰς μακρὰς βοηθείας κατὰ τὰς ἁμαξηλάτους τε ὁδοὺς* H: *τὰς ἁμαξηλάτους τε ὁδοὺς καὶ μακρᾶς βοηθείας* *M* (*ἁμαξηλάτους τε ὁδοὺς τὰς μακρὰς βοηθείας* T, *κατὰ* ante *τὰς ἁμαξ.* inseruit Meinekius)

τε ὁδοὺς καὶ ἐπὶ συνωρίδων καὶ ζευγῶν βοηθεῖν. κομισθέντων δὲ εἰς τὶ προσῆκον καὶ ἑξῆς τῶν ζευγῶν παραταχθέντων, ἀποβάντες οἱ ὁπλῖται καὶ ἐν τάξει γενόμενοι, εὐθὺς νεοκμῆτες προσφέροιντ' ἂν τοῖς πολεμίοις. εἶεν δὲ ἂν αἱ ἅμαξαι καὶ ἔρυμα ταῖς στρατοπεδείαις, οἵ ⟨τε⟩ τραυματίαι καὶ εἴ τι ἄλλο γένοιτο σύμπτωμα τοῖς στρατιώταις, ἐπὶ τούτων ἀπάγοιντ' ἂν εἰς τὴν πόλιν.
καὶ ἐὰν μὲν ᾖ ἡ χώρα 16
μὴ εὐείσβολος, ἀλλ' ὀλίγαι ὦσιν αἱ εἰσβολαὶ καὶ
στεναί, προκατασκευάσαντας αὐτάς, ὡς προγέγραπται,
οὕτω μερισθέντας ἐπὶ τὰς εἰσβολὰς ἐναντιοῦσθαι τοῖς
ἐπιχειροῦσι καὶ βουλομένοις πρὸς τὴν πόλιν προσ-
ιέναι, προσδιαταξαμένους καὶ τοὺς φρυκτοῖς γνωρι-
οῦντας τὰ ἀλλήλων πάθη, ὅπως τὰ μέρη βοηθῇ, ἄν
τι δέωνται ἀλλήλων. ἂν δὲ μὴ δυσείσβολος ᾖ ἡ 17
χώρα, ᾖ δὲ πολλαχῇ πολλοὺς εἰσβάλλειν, χρή τινας
καταλαβεῖν τῆς χώρας τόπους, ὥστε τοῖς πολεμίοις
χαλεπὴν εἶναι τὴν πάροδον ἐπὶ τὴν πόλιν. ἂν δὲ 18
μηδὲ τοῦτο ὑπάρχῃ, λοιπὸν καταλαβεῖν ἐγγὺς τῆς

---

1. ἐπισυνωρίδων *M* | ζευγῶν H: ζευγέων *M* ‖ 4. προσφέροιντ' ἂν H: προσεφέροντο *M* ‖ 5. Post τοῖς πολεμίοις in *M* est οἷς οὖν εὐπορία ζευγῶν καλὸν τὸ πλεονέκτημα ταχύ τε καὶ νεοκμήτας τοὺς στρατιώτας εἰς τὸ δέον ἐλθεῖν: expunxit H | εἶεν H: εἴησαν *M* | Post ἅμαξαι in *M* est εὐθὺς: expunxit H ‖ 6. τε addidisse uidetur C ‖ 7. ἐπὶ τούτων T: ἐπὶ τούτοις *M* ‖ 10. προκατασκευάσαντας αὐτάς, ὡς προγέγραπται, οὕτω μερισθέντας ἐπὶ τὰς εἰσβολὰς T et Sauppius: προκατασκευάσαντα αὐτὰ ὡς προγέγραπται, οὕτω μερισθέντα ἐπὶ τῆς εἰσβολῆς *M* (αὐτὰς pro αὐτὰ Co. O, idem μερισθέντας; προκατασκευάσαντα αὐτάς, ὡς προγέγραπται, σὺν τοῖς μέρεσιν ἰόντα ἐπὶ τὰς εἰσβολὰς H) ‖ 13. προσδιαταξάμενον scribi iubet H | καὶ τοὺς φρυκτοῖς γνωριοῦντας H: καὶ φρυκτοῖς γνωρίζοντας *M* ‖ 16. ᾖ δὲ Hertlinus: ἤδη *M* (ὥστε ἤδη T) | τινας H: ὑμᾶς *M* ‖ 19. τοῦτο scripsi: ταῦτα *M* | λοιπὸν Sauppius: τῶν λοιπῶν *M* (totum locum sic exhibuit H: ἂν δὲ μὴ ὑπάρχωσι τοιοίδε τόποι, καταλ. et q. seqq.)

πόλεως χωρία σύμμαχά τε πρὸς τὸ μάχεσθαι πλεο-
νεκτικῶς καὶ εὐαπαλλάκτως ἔχοντα, ὅταν βούλῃ ἀπιέναι
πρὸς τὴν πόλιν, καὶ οὕτως ἄρχειν τῆς μάχης ἐκ τῶν
19 *χωρίων τούτων ὁρμώμενον.* [τὰς δ' ἐπιθέσεις αὐτοῖς ποι-
εῖσθαι ἀεὶ πλεονεκτοῦντα τῇ τῆς χώρας συνηθείᾳ· πολὺ γάρ
προέξεις προειδὼς τὰ χωρία καὶ προάγων εἰς τόπους οἵους ἂν
σὺ βούλῃ, σοὶ μὲν γνωστοὺς καὶ ἐπιτηδείους καὶ φυλάξασθαι καὶ
διῶξαι καὶ φυγεῖν καὶ ἀπιέναι εἰς τὴν πόλιν λαθραίως καὶ φα-
νερῶς, τοῖς δὲ πολεμίοις ἀσυνήθεις καὶ ἀγνῶτας καὶ λελειμμένους
20 πάντων τούτων, εἰδόσιν ὅτι ἄπειρον ὄντα τῆς χώρας οὐ μόνον
ἀδύνατον πρᾶξαί τι ὧν θέλει, ἀλλὰ καὶ σωθῆναι χαλεπόν, τῶν
γε ἐν τῇ χώρᾳ βουλομένων ἐπιχειρεῖν. πρὸς πάντα ἂν οὖν
ἀτόλμως καὶ δειλῶς διακείμενοι σφάλλοιντο· διενέγκοι γὰρ ἂν
τοσοῦτον ἑκατέροις, ὅσον εἰ τοῖς μὲν νυκτὸς γένοιτο ἡ μάχη τοῖς
21 δὲ ἡμέρας, εἰ οἷόν τέ πως ἦν ταῦτα ἅμα γενέσθαι. ὑπάρχοντος
δέ σοι ναυτικοῦ, πεπληρῶσθαι τὰς ναῦς· οὐ γὰρ ἐλάσσω τοὺς
πολεμίους ὀχλήσουσιν οἱ ἐν ταῖς ναυσίν, ἐάν γε παραπλεῖν

---

1. *σύμμαχά τε πρὸς τὸ μάχεσθαι* H: *σύμμαχα πρὸς τὸ μά-χεσθαί τι M* (*τε* C) ‖ 2. *ἔχοντα* Meierus: *ἔχων τὸ χωρίον M* | *βούλῃ* Hertlinus: *βούλει M* ‖ 3. Post *οὕτως* in *M* est *ἐμβαλόντες οἱ πολέμιοι εἰς τὴν χώραν πρὸς τὴν πόλιν πορεύονται καί*: expunxit H | Post *ἄρχειν* in *M* est *ὑμᾶς*: deleuit idem ‖ 4. *ὁρμώμενον* H: *ὁρμωμένους M* | *τὰς δ' ἐπιθέσεις* — p. 33, 3 *ἀποβαίη* (§ 19 — 22) inclusi ‖ 5. *τῇ τῆς χώρας συνηθείᾳ* scripsi: *ἐκ τῆς χώρας τῇ συνηθείᾳ M* (*τῆς χώρας τῇ συνηθείᾳ* Co. O) ‖ 6. *προέξεις* T: *προήξεις M* ‖ 9. Post *φανερῶς* in *M* est *ἔτι δὲ καὶ τὰ ἐπιτήδεια προειδότα ὅπου ἂν τῆς χώρας ὑπάρχῃ ὑμῖν*: expunxit H | *ἀσυνήθεις* C: *συνήθεις M* ‖ 10. *τούτων, εἰδόσιν ὅτι* scripsi: *τούτων εἰδότας ὅτι M* (*τούτων. εἰδέναι γὰρ ὅτι* H) ‖ 11. *θέλεις* scribi uult H ‖ 12. *πάντα ἂν οὖν* H: *πάντα ἢ M* (*πάντα οὖν ἂν* T) ‖ 13. Post *σφάλλοιντο* in *M* est *διότι μηδὲν τῶν τοιούτων εἰκάζειν*: expunxit H ‖ 14. *τοσοῦτον ἑκατέροις* H: *τοῖς ἑτέροις M* | *τοῖς μὲν νυκτὸς γένοιτο ἡ μάχη* H: *τοῖς μὲν νυκτὸς . . . ηχη M* (*τοῖς μὲν νυκτὸς μάχη γένοιτο* O, *τοῖς μὲν νυκτὸς εἴη ἡ μάχη* T) ‖ 15. *οἷόν τέ πως* C: *οἷόν τε πῶς M* | *ἦν ταῦτα ἅμα* H: *ἢ τοῦτο ἅμα M* (*εἴη τοῦτο ἅμα* T) ‖ 17. *ἐάν γε* T: *ἐάν τε M* | *παραπλεῖν* H: *παραπλέων M*

ιπάρχῃ πρὸς τὰ ἐπιθαλάσσια χωρία καὶ τὰς παρὰ θάλασσαν
ιδούς. ταῦτα δὲ οὕτως πράττων ἀπαρασκευοτάτοις ἂν τοῖς πο- 22
ιεμίοις ἐπιθεῖο, καὶ παρὰ δόξαν τὰ ἀφ' ὑμῶν αὐτοῖς ἀποβαίη.]

Ἐν δὲ μὴ ὁμονοούσῃ πόλει καὶ ὑπόπτως πρὸς 17
ἀλλήλους ἐχόντων χρὴ προνοοῦντα εὐλαβεῖσθαι τὰς
μετ' ὄχλου ἐξόδους ἐπὶ θεωρίαν λαμπάδος καὶ ἱππο-
δρομίας καὶ τῶν ἄλλων ἀγώνων, ὅσαι τε ἱεροποιίαι
πανδημεὶ ἐκτὸς τῆς πόλεως καὶ σὺν ὅπλοις [πομπαὶ]
ἐκπέμπονται, ἔτι καὶ περὶ τὰς πανδήμους νεωλκίας
καὶ τὰς συνεκφορὰς τῶν τελευτησάντων· ἔνι γὰρ
καὶ ἐν ⟨τῷ⟩ τοιῷδε καιρῷ σφαλῆναι τοὺς ἑτέρους.
παράδειγμα δὲ ἐξοίσω γενόμενόν ⟨τι⟩ πάθος. ἑορτῆς 2
γὰρ πανδήμου ἔξω τῆς πόλεως Ἀργείων γιγνομένης
ἐξῆγον πομπὴν σὺν ὅπλοις τῶν ἐν τῇ ἡλικίᾳ, συχνοὶ
δὲ τῶν ἐπιβουλευόντων καὶ αὐτοὶ παρεσκευάζοντο καὶ
αὐτοῖς συνείποντο ἔνοπλοι εἰς τὴν πομπήν. καὶ 3
[ἐγένετο πρὸς τῷ ναῷ τε καὶ τῷ βωμῷ] *οἱ μὲν πολλοὶ τὰ*
ὅπλα θέμενοι ἀπωτέρω τοῦ νεὼ πρὸς τὰς εὐχάς τε

---

2. Post ὁδούς in *M* est: *ἵν' ὑπὸ ἡμῶν* (*ὑμῶν* C) *τε ὀχλῶνται καὶ ὑπὸ τῶν νηῶν κατὰ νώτου αὐτοῖς τὴν ἀπόβασιν ποιουμένων*: expunxit H | *ἀπαρασκευοτάτοις* L. Dindorfius: *ἀπαρασκευαστοτάτοις M* | *πράττων — ἐπιθεῖο* H: *πράττων — ἐπιθεῖσθε M* (*πράττοντες — ἐπιθεῖσθε* C) ‖ 4. *ἐν* C: *ἐὰν M* ‖ 5. *τὰς* C: *τοὺς M* ‖ 7. *ὅσαι τε* T: *ὅσαι γε M* ‖ 8. *συνόπλοις M* | *πομπαὶ* inclusi Sauppio auctore ‖ 9. *νεωλκίας* C: *νεολκίας M* ‖ 11. *τῷ* ante *τοιῷδε* add. H | *ἑτέρους* cod. C: *εταίρους M* ‖ 12. *γενόμενόν ⟨τι⟩ πάθος* scripsi: *γενόμενον πάθος M* (*γενόμενον Ἀργείων* πάθος uel *Ἀργείων πάθος* eiecto illo *γενόμενον* H, qui *Ἀργείων* post *τῆς πόλεως* in *M* scriptum huc transtulit, sed cf. XI 2 et X 3.XII 18) ‖ 13. *γιγνομένης* Kirchhoffius: *γενομένης M* ‖ 14. *ἐξῆγον* C: *ἐξείργων M* | *συχνοὶ δὲ τῶν* T: *συχνῶν τῶν δὲ M* ‖ 15. *παρεσκευάζοντο* Meierus: *παρεσκεύαζον M* ‖ 16. *αὐτοῖς συνείποντο ἔνοπλοι* H: *αὐτοῖς συνηττοῦντο ὅπλα M* (*αὐτοὶ συνήροντο τὰ ὅπλα* Meierus, *τοῖς ἄλλοις συνήροντο τὰ ὅπλα* T, *αὐτοῖς συνέθεντο τὰ ὅπλα* Sauppius) ‖ 17. *ἐγένετο πρὸς τῷ ναῷ τε καὶ τῷ βωμῷ* inclusi Sauppio et Arn. Schaefero suadentibus (*γενόμενοι* scribi uult H) ‖ 18. *νεὼ* H: *ναοῦ M*

καὶ τὸν βωμὸν ὥρμησαν, τῶν δὲ ἐπιβουλευόντων οἳ
μὲν ἐπὶ τῶν ὅπλων ὑπέμειναν, οἳ δὲ ταῖς ἀρχαῖς τε
καὶ τῶν πολιτῶν τοῖς προέχουσι παρέστησαν ἐν ταῖς
4 εὐχαῖς, ἀνὴρ ἀνδρί, ἔχοντες ἐγχειρίδια. καὶ τοὺς
μὲν κατεβεβλήκεσαν, οἳ δὲ αὐτῶν εἰς τὴν πόλιν σὺν
τοῖς ὅπλοις ἔσπευσαν, ἕτεροι δὲ τῶν συνεπιβουλευ-
όντων ὑπομείναντες ἐν τῇ πόλει μετὰ τῶν προαλι-
σθέντων ὁπλιτῶν προκατέλαβον οὓς προσῆκε τόπους
τῆς πόλεως, ὥστε δέξασθαι τῶν ἔξω οὓς ἐβούλοντο.
5 Χῖοι δὲ ἄγοντες τὰ Διονύσια καὶ πέμποντες πομπὰς
λαμπρὰς πρὸς τοῦ Διονύσου τὸν βωμόν, προκαταλαμβά-
νουσι τὰς εἰς τὴν ἀγορὰν φερούσας ὁδοὺς φυλακαῖς καὶ
δυνάμεσι πολλαῖς. [ἄριστον δὲ τὰς ἀρχὰς πρῶτον μετὰ τῆς
προειρημένης δυνάμεως ἱεροποιῆσαι, τούτων δὲ ἐκ τοῦ ὄχλου
ἀπαλλαγέντων, οὕτω τοὺς ἄλλους συνιέναι.]

18 Ὅταν δὲ οἱ ἐκπορευθέντες παραγένωνται καὶ
δείλη γίγνηται, σημαίνειν δειπνοποιεῖσθαι καὶ εἰς
φυλακὴν ἰέναι. ἐν ᾧ ⟨δὲ⟩ οἱ φύλακες εὐτρεπίζονται,
ἐν τούτῳ περὶ τῶν πυλῶν ἐπιμελητέον ὅπως καλῶς
κλείωνται· περὶ γὰρ τὰς βαλάνους πολλὰ σφάλματα
2 γίγνεται διὰ τὰς τῶν ἀρχόντων μαλακίας. ὅταν γὰρ
ἐπὶ τὰς πύλας τις αὐτῶν ἐλθὼν κλεῖσαι μὴ αὐτουργὸς
γίγνηται, ἀλλὰ παραδοὺς τὴν βάλανον τῷ πυλωρῷ

5. κατεβεβλήκεσαν Hertlinus: καταβεβλήκεισαν *M* ‖ 7. προαλισθέντων G. Dindorfius: προσαλισθέντων *M* ‖ 8. ὁπλιτῶν Meinekius: ὅπλων *M* ‖ 9. ἐβούλοντο C: ἐβουλεύοντο *M* | sequitur in *M* διὸ δὴ (διὸ δεῖ πρὸς C) τὰς τοιαύτας ἐπιβουλὰς ἐν οὐδένι καιρῷ ἀφυλάκτως διακεῖσθαι: expunxit H ‖ 13. Post πολλαῖς in *M* est κώλυμα οὖν οὐ μικρὸν τοῖς βουλομένοις νεωτερίζειν: expunxit H | ἄριστον δὲ — 15. ἄλλους συνιέναι inclusi ‖ 14. Pro προειρημένης scribi uult H: προκειμένης, προηταιρισμένης O, προῃρημένης Meierus ‖ 16. ἐκπορευθέντες Meinekius: εἰσπορευθέντες *M* ‖ 17. γίνηται *M* | σημαίνειν C: σημαίνει *M* ‖ 18. δὲ addidit C ‖ 20. περὶ γὰρ τὰς cod. C: περιπέρτας *M* ‖ 21. γίνεται *M* ‖ 23. γίνηται *M*

λεῖσαι κελεύῃ, τάδε κακουργεῖται ὑπὸ πυλωρῶν βου-
ομένων νυκτὸς δέξασθαι τοὺς πολεμίους. ὅ μέν τις 3
μέρας εἰς τὴν βαλανοδόκην τῶν πυλῶν ἄμμον προ-
νέβαλεν, ὅπως ἡ βάλανος ἔξω μένῃ ⟨καὶ⟩ μὴ ἐμβάλ-
ηται εἰς τὸ τρύπημα. φασὶ δὲ καὶ ἐμβεβλημένας
αλάνους ὧδε ἐξαιρεθῆναι. ἐμβαλλομένης κατ' ὀλίγον 4
μμου εἰς τὴν βαλανοδόκην ἐσείετο ⟨ὁ μοχλὸς⟩ ἀψοφητί,
να μηδεὶς αἴσθηται. μετέωρος οὖν ἡ βάλανος ἐγίγνετο
ποπιπτούσης τῆς ψάμμου, ὥστε ῥᾳδίως αὐτὴν ἐξαιρε-
ῆναι. ἤδη δὲ πυλωρὸς δεξάμενος τὴν βάλανον 5
αρὰ ⟨τοῦ⟩ στρατηγοῦ ἐμβαλεῖν, ἐντεμὼν λάθρᾳ σμίλῃ
ῥίνῃ τὴν βάλανον, βρόχον λίνου περιβαλὼν ἐνέ-
αλεν, εἶτα μετ' ὀλίγον τῷ λίνῳ ἀνέσπασεν. ἄλλος 6
ὲ προετοιμάσας ἐν γυργάθῳ λεπτῷ ἐνέβαλεν προσ-
μμένου λίνου, καὶ ὕστερον ἀνέσπασεν. ἐξῃρέθη
ὲ καὶ ἀνακρουσθεῖσα ἡ βάλανος. ἔτι δὲ καὶ θερ-
αστρίῳ λεπτῷ ἐξῃρέθη· χρὴ δὲ τοῦ θερμαστρίου τὸ
ὲν ἓν μέρος εἶναι οἷον σωλῆνα, τὸ δὲ ἕτερον πλατύ,
ὥστε τῷ μὲν σωληνοειδεῖ ὑπολαμβάνειν τὴν βάλανον,
ῷ δὲ ⟨πλατεῖ⟩ ἐπιλαμβάνειν. ἕτερος δὲ ἔλαθε τρέ- 7
ας τὸν μοχλὸν μέλλων ἐμβάλλειν, ἵνα μὴ κατέλθῃ
ἰς τὸ τρύπημα ἡ βάλανος. περὶ Ἀχαΐαν δὲ ἐν πόλει 8
Ἡραιέων⟩ ἐπιχειροῦντές ⟨τινες⟩ κρυφαίως δέξασθαι ξέ-

3. προενέβαλεν C: προενέβαλλεν *M* ‖ 4. ἔξω μένῃ καὶ μὴ : ἐξομένη μὴ *M* ‖ 7. ἐσείετο ⟨ὁ μοχλὸς⟩ H: σείεσθαι *M* ‖ 8. ἐγί-ετο *M* | ὑποπιπτούσης H: προσπιπτούσης *M* ‖ 9. ψάμμον *M* ut XXII 2, 8, ψαμμώδης VIII 2 ‖ 11. τοῦ ante στρατηγοῦ inse-uit H | σμίλῃ C: σμήλη *M* ‖ 12. ἐνέβαλεν T: ἔβαλεν *M* ‖ 16. θερ-αστρίῳ et θερμαστρίου H: θερμαστίῳ et θερμαστίου *M* ‖ 20. λατεῖ inseruit C | ἔλαθεν *M* ‖ 22. Post ἡ βάλανος in *M* est αὶ ὕστερον ἐωσθεῖσα ἀνοιχθῇ: expunxit H ratus interpolato-em olim scripsisse: ὕστερον ὠσθεῖσα ἀνήχθη | ἐν πόλει ⟨Ἡραιέ-ων⟩ ἐπιχειροῦντές ⟨τινες⟩ κρυφαίως C coll. Polyaen. II 36: ν πόλει ἐπιχειροῦντες κρυφαίως *M*

νους πρῶτον μὲν τῆς βαλάνου ἔλαβον τὰ μέτρα
9 τρόπῳ τοιῷδε. προκαθέντες ἐν τῇ ἡμέρᾳ εἰς τὴν
βαλανοδόκην λίνου λεπτοῦ καὶ ἰσχυροῦ βρόχον κα
τὰς ἀρχὰς ἔξω ἐάσαντες ἀφανεῖς, ὡς ἐν τῇ νυκτ.
ἐνεβλήθη ἡ βάλανος, ἀνέσπασαν [τὰς ἀρχὰς τοῦ λίνο
τὸν βρόχον καὶ τὴν βάλανον, λαβόντες δὲ τὰ μέτρ
αὐτῆς πάλιν καθῆκαν. ἔπειτα πρὸς ⟨τὰ⟩ μέτρα τῆ
10 βαλάνου βαλανάγραν ἐποιήσαντο τρόπῳ τοιῷδε. ἐχα
κεύσαντο σίφωνά τε καὶ φορμορραφίδα. ἦν δὲ
μὲν σίφων ἐργασθεὶς καθάπερ εἴωθε γίγνεσθαι· τῆ
δὲ φορμορραφίδος τὸ μὲν ὀξὺ καὶ πολὺ μέρος εἰργ
σαντο καθάπερ ταῖς ἄλλαις φορμορραφίσιν, ἡ δ
λαβὴ ἦν κοίλη ὥσπερ † στυρακίου ἢ ** στελέα ἐμ
11 βάλλεται. καὶ παρὰ μὲν τῷ χαλκεῖ ἐνεβλήθη στελε
† ἀπενεχθέντος δὲ ἐξῃρέθη, ὥστε πρὸς τὴν βάλαν
12 προσαχθεῖσαν ἁρμόσαι. ἤδη δέ τινες ἐν τῇ βαλαν
δόκῃ οὔσης ⟨τῆς⟩ βαλάνου τὸ περίμετρον ὧδε ἔλαβ
πηλὸν κεραμικὸν περιελίξαντες ὀθονίῳ λεπτῷ καὶ

3. καὶ τὰς ἀρχὰς ἔξω ἐάσαντες ἀφανεῖς H: καὶ τὰς ἀρχ ἔξω οὔσας ἀφανεῖς *M* (ἐάσας pro οὔσας C, καὶ τὰς ἀρχὰς ἐξ ἔχοντος οὔσας ἀφανεῖς T) ‖ 5. ἀνέσπασαν Co. O: ἀνέσπασ *M* | Post ἀνέσπασεν in *M* est τὰς ἀρχὰς τοῦ λίνου: incl ego (τὰς ἀρχὰς solum eiecit H, ἀνέσπασε τὰς ἀρχὰς τοῦ λίν καὶ τὸν βρόχον C) ‖ 7. τὰ ante μέτρα addidit H | Post τὰ μέτ in *M* est οὕτω: expunxit H (οὕτω ⟨ληφθέντα⟩ T) ‖ 9. φορ μορραφίδα L. Dindorfius: φορμοροφίδα *M* ‖ 10. γίνεσθαι *M* 11. δὲ T: τε *M* | φορμορραφίδος L. Dindorfius: φορμοραφίδ *M* (sic etiam 12) | εἰργάσαντο C: εἰργάσατο *M* ‖ 13. Post ἡ *M* est lacuna. Ceterum verba corrupta ‖ 15. ἀπενεχθέντο quod in *M* est, in ἀπενεχθείσης mutauit H: oratio man esse uidetur. (Totus locus sic a Turr. legitur: ὥσπερ στυράκιο ἢ στελεά, ᾗ τὸ στελεὸν ἐμβάλλεται — ἀπενεχθέντος δὲ ἐξ ρέθη, ὥστε πρὸς τὸν σίφωνα προσαχθεῖσαν ἁρμόσαι.) ‖ 1 Post ἁρμόσαι in *M* est προνοητικῶς δὴ δοκεῖ ποιηθῆναι πρ τε τὸν χαλκέα μηδὲν ὑποπτεῦσαι ὅ τε σίφων οὗ ἕνεκα ἐργ σθεὶς εἴη καὶ ἡ φορμοραφὶς καὶ τὰ ἅρμενα γίνεσθαι: ex punxit H ‖ 17. τῆς ante βαλάνου inseruit H ‖ 18. κεραμικὸν C κεραμεικὸν *M*

καν, ἐρρωμένως πιέζοντες περὶ τὴν βάλανον τὸν πη-
όν· ἔπειτα ἀνέσπασαν τὸν πηλὸν καὶ ἔλαβον τὸν
ύπον τῆς βαλάνου, πρὸς ὃν τὴν βαλανάγραν ἐποιή-
αντο. [† συμβάλλεται γίνεσθαι Τημένῳ Ῥοδίῳ ἐν Ἰωνίᾳ Τέως 13
όλις εὐμεγέθης προειδότος ὑπὸ τοῦ πυλωροῦ. ἄλλα τε οὖν
ροσυνέθεντο καὶ νύκτα ἀσέληνον καὶ σκοτεινήν, ἐν ᾗ ἔδει τὸν
ἐν ἀνοῖξαι, τὸν δὲ μετὰ ξένων εἰσελθεῖν. ἔπειτα δέον εἰς τὴν 14
πιοῦσαν νύκτα πραχθῆναι παρῆν τῷ πυλωρῷ ἀνήρ, ὅστις ἐπεὶ
ωὲ ἦν καὶ φυλακαί τε ἐπὶ τοῦ τείχους καθίσταντο καὶ αἱ πύλαι
μελλον κλείεσθαι, σκότους οὖν ἤδη ὄντος ἀπηλλάσσετο, ἐκδήσας
ρχὴν ἀγαθίδος λίνου κλωστοῦ, ὅπερ οὐκ ἔμελλε ῥᾳδίως διαρραγῆναι.
ὴν δὲ ἀγαθίδα ἐπορεύθη ἀπελίσσων ἀπὸ τῆς πόλεως πέντε στάδια, 15
ποι ἔμελλον οἱ εἰσπορευόμενοι ἥξειν. ἐπεὶ δὲ παρῆν ὁ στρατηγὸς 16
λεῖσαι τὰς πύλας, καὶ ἔδωκε κατὰ τὸ ἔθος τῷ πυλωρῷ ἐμβαλεῖν
ὴν βάλανον, δεξάμενος ἐνέτεμε λαθραίως ῥίνῃ ἢ σμίλῃ τὴν
άλανον, ὥστε ἐνέχεσθαι λίνον· εἶτα βρόχον περιθεὶς καθῆκε τὴν
άλανον ἐχομένην ὑπὸ τοῦ λίνου, μετὰ δὲ ταῦτα κινήσας τὸν
ιοχλὸν καὶ ἐπιδείξας τῷ στρατηγῷ κεκλειμένην τὴν πύλην εἶχεν
ἡσυχίαν. χρόνου δὲ προϊόντος ἀνασπάσας τὴν βάλανον, τὴν 17
ρχὴν τοῦ σπάρτου πρὸς αὐτὸν ἔδησε τοῦδε ἕνεκα, ἵν', εἰ καθ-
υπνώσας τύχοι, ἐγερθείη σπώμενος ὑπὸ τοῦ λίνου. ὁ δὲ Τήμενος 18

---

1. *ἐρρωμένως* H: *ἁρμένω M* | *πιέζοντες* Hertlinus: *πιεζοῦντες M* ‖ 4. *συμβάλλεται* — p. 38, 10: *προϊέναι* (§ 13—19) inclusi. Primum enuntiatum sic fortasse restituendum: *συμβόλῳ λέγεται γενέσθαι ὑπὸ Τημένῳ Ῥοδίῳ ἐν Ἰωνίᾳ Τέως πόλις εὐμεγέθης προδιδόντος τοῦ πυλωροῦ*: puto enim *ὑπὸ* loco suo aberrasse | *Τημένῳ* C: *τῇ μένω M* ‖ 7. *ἔπειτα δέον* scripsi (conf. XI 13 *ἐπανάστασιν δέον γενέσθαι*): *ἐπεὶ δὲ M* (*ἐπεὶ δὲ ἔδει* Haasius) ‖ 8. *ἀνὴρ ὅστις M* (*ἀνήρ τις ὃς* T) ‖ 9. *τείχους* Hertlinus: *τείχεος M* ‖ 11. *ἀγαθίδος* C: *ἀκανθίδος M* ‖ 12. *ἀγαθίδα* C: *ἀκανθίδα M* | *ἀπελίσσων* Hertlinus: *ἀπελάσσων M* (*ἀνελίσσων* C, *ἀπειλίσσων* O) ‖ 13. *ὅποι* Hertlinus: *ὅπη M* ‖ 15. Post *λαθραίως* in *M* est *ἀψοφητὶ*: expunxit H (*λαθραίως καὶ ἀψοφητὶ* Meinekius) | *σμίλῃ* T: *σμηλη M* ‖ 18. *κεκλειμένην* H: *κεκλεῖμένην* h. e. *κεκλεισμένην M* ‖ 20. *αὐτὸν M* | *ἔδησεν M* | *ἕνεκα ἵν'* H: *ἕνεκεν ὅτι M* (*ἕνεκεν ὡς* Hertlinus) ‖ 21. *τύχοι* L. Dindorfius: *τύχῃ M*

παρῆν διεσκευασμένος μεθ' ὧν ἔμελλεν εἰσπορεύεσθαι εἰς χωρίον ῥητὸν πρὸς τὸν τὴν ἀγαθίδα ἔχοντα. ἦν δὲ προσυγκείμενον τῷ Τημένῳ πρὸς τὸν πυλωρόν, ἐλθόντι εἰς τὸν χῶρον σπᾶν τὸ
19 σπάρτον. καὶ εἰ μὲν ἦν ἕτοιμα τῷ πυλωρῷ ἅπερ ἤθελε, προσεπιδῆσαι πρὸς τὴν ἀρχὴν τοῦ λίνου μαλλὸν ἐρίου καὶ ἀφεῖναι· ὅπερ ἰδὼν ὁ Τήμενος ἔμελλε σπεύδειν πρὸς τὰς πύλας· εἰ δὲ ἀπετύγχανεν ὁ πυλωρὸς τοῦ θελήματος, οὐδὲν προσάψας ἀφῆκε τὸ λίνον, ὥστε τὸν Τήμενον ἐκ πολλοῦ φθάσαι τε καὶ λαθεῖν ἀπαλλαγέντα. αἰσθομένῳ οὖν ἐν τῇ νυκτὶ ἐν τῷ σπάρτῳ ὑπάρ-
20 χοντα τὸν μαλλὸν οἷόν τε ἦν προϊέναι.] [τρόπον δὲ καὶ τόνδε προεδόθη πόλις ὑπὸ πυλωροῦ. σύνηθες ἐποιήσατο, ἐπεὶ μέλλοιεν αἱ πύλαι κλείεσθαι, ὑδρεῖον ἔχων ἐξιέναι ὡς ἐφ' ὕδωρ. ἀφικνούμενος δὲ ἐπὶ τὴν κρήνην, λίθους ἐτίθει εἰς τόπον γνωστὸν τοῖς πολεμίοις, ἐφ' ὃν φοιτῶντες εὕρισκον διὰ τῶν τιθεμένων λίθων
21 ἅπερ θέλοι δηλοῦν ὁ τῆς πόλεως φύλαξ. εἰ μὲν γὰρ πρώτην φυλάσσοι, ἕνα λίθον ἐτίθει εἰς τὸν συγκείμενον τόπον, εἰ δὲ δευτέραν, δύο, εἰ δὲ τρίτην, τρεῖς, εἰ δὲ τετάρτην, τέτταρας, ἔτι δὲ καὶ ᾗ τοῦ τείχους καὶ κατὰ τί τῶν φυλακείων λελόγχοι. τούτῳ οὖν τῷ τρόπῳ σημαίνων ἐνέδωκε.]

---

2. *ἀγαθίδα* C: *ἀκανθίδα M* ‖ 3. *ἐλθόντι* (uel *ἐλθόντα*) Hertlinus: *ἐλθὼν M* | *τὸ σπάρτον* T: *τὸν σπάρτον M* ‖ 4. *προσεπιδῆσαι* C: *προσπηδῆσαι M* ‖ 6. *ἔμελλεν M* ‖ 7. an legendum *οὐδὲν προσάψαντα ἀφεῖναι*? | *οὐδὲν* C: *οὐθὲν M* | *ἀφῆκεν M* 8. *τὸ* Hertlinus: *τὸν M* ‖ 9. *ἀπαλλαγέντα* C: *ἀπαλλαγέντας M* *αἰσθομένῳ οὖν ἐν τῇ νυκτὶ ἐν τῷ σπάρτῳ ὑπάρχοντα τὸν μαλλὸν οἷόν τε ἦν* scripsi: *ᾐσθάνοντο οὖν ἐν τῇ νυκτὶ τὸ σπάρτον ὑπάρχον ἐν τῇ πόλει οὐχ οἷόν τε ἦν M* (*ὅτι* post *πόλει* inseruit C, *ᾐσθάνετο γοῦν ἐν τῇ νυκτὶ διὰ τὸ σπάρτον ὑπάρχον ἐν τῇ πόλει εἰ οὐχ οἷόν τε ἦν* T) — Fort. *αἰσθομένου αὐτοῦ* scribendum; *οὐχ* ante *οἷόν τε* additum esse ab eo puto, qui insequentem narratiunculam huc pertinere arbitraretur ‖ 10. *τρόπον* — 19. *ἐνέδωκε* item inclusi | *καὶ* C: *κατὰ M* ‖ 12. *ὑδρεῖον* H: *ὑδρίον M* | *ἐξιέναι* C: *εἰσιέναι M* ‖ 13. *κρήνην* C: *κλίνην M* ‖ 14. *ἐφ' ὃν* Hertlinus: *ἐφ' οὗ M* ‖ 16. *φυλάσσοι* T: *φυλάσσοιεν* Parisinus 2552 (in *M* litterae exesae) | *ἕνα λίθον* C: *ἀνθ' ὧν* Par. | *εἰς* H: *πρὸς M* ‖ 17. *τρίτην, τρεῖς* C: *τρίτην, τρίτης M* ‖ 18. *φυλακείων* Kirchhoffius: *φυλάκων M* | *τούτῳ* T: *τούτω δ' M* ‖ 19. Post *ἐνέδωκε* in *M* est *ταῦτα δεῖ οὖν συμβαλλόμενον πάντα φυλάττεσθαι καὶ τὰς πύλας αὐτὸν τὸν ἄρχοντα κλείειν καὶ μὴ ἄλλῳ διδόναι τὴν βάλανον*: expunxit H.

** πράσσοντα δέ τι τοιοῦτον τὸν μοχλὸν ἀφα- 22
νίζειν· ἤδη γάρ τινες ἐπιφανέντες ὑπεναντίοι ἐβιά-
σαντο πάλιν κλεῖσαι, τοῦ μοχλοῦ παρόντος.

** διαπρίοντα δὲ ⟨τὸν⟩ μοχλὸν ἔλαιον ἐπιχεῖν· 19
θᾶσσον γὰρ καὶ ἀψοφητὶ μᾶλλον πρισθήσεται. ἐὰν
δὲ καὶ σπόγγος ἐπί τε τὸν πρίονα καὶ τὸν μοχλὸν
ἐπιδεθῇ, πολλῷ κωφότερος ὁ ψόφος ἔσται. πολλὰ
δ' ἂν τις καὶ ἄλλα ὁμότροπα τούτοις γράψειεν, ἀλλὰ
ταῦτα μὲν παρετέον.

Εἰς δὲ τὸ τούτων μηδὲν κακουργεῖσθαι χρὴ 20
πρῶτον μὲν ⟨τὸν⟩ στρατηγὸν [μὴ δεδειπνηκότα] δι' αὑτοῦ
τὴν κλεῖσιν ποιεῖσθαι, μηδὲ ἄλλῳ πιστεύειν ῥᾳθύμως
διακείμενον· ἐν δὲ ⟨τοῖς⟩ ἐπικινδύνοις καὶ πάμπαν
σύννουν δεῖ περὶ ταύτην εἶναι. ἔπειτα τὸν μοχλὸν 2
σεσιδηρῶσθαι διὰ μήκους ⟨ὅλου⟩ τριχῇ ἢ τετραχῇ·
ἄπριστος γὰρ ἔσται. ἔπειτα βαλάνους ἐμβάλλεσθαι
τρεῖς μὴ ὁμοτρόπους, τούτων δὲ ἑκάστην φυλάττειν
ἡμέρας τὸν στρατηγόν· εἰ δὲ πλείονες εἶεν, πάλῳ
καθ' ἡμέραν τὸν λαχόντα. ἄριστον δὲ τὴν βάλανον 3
μὴ ἐξαιρετὴν εἶναι, ὑπὸ δὲ λοπίδος σιδηρᾶς κατ-
έχεσθαι, ἵνα μὴ πλέον ἐξαιρομένη μετεωρίζηται τῷ
καρκίνῳ ἢ ὥστε ⟨τῷ⟩ μοχλῷ ὑποκεῖσθαι κλειομένων

---

1. Lacunam asteriscis indicauit H ‖ 3. Post *παρόντος* in *M* est *διὸ δεῖ πάντα τὰ τοιαῦτα προνοεῖν*: expunxit H ‖ 4. Asteriscos posuit H | *τὸν* ante *μοχλὸν* adiecit H ‖ 7. *κωφότερος ὁ ψόφος* Hauptius: *κουφότερος ὁ μοχλὸς M* ‖ 8. *γράψειεν* H: *γράψαι M* ‖ 11. *τὸν* ante *στρατηγὸν* adiecit H | *μὴ δεδειπνηκότα* inclusi ‖ 12. Post *κλεῖσιν* in *M* est *καὶ τὴν ἐπιμέλειαν*: deleuit H ‖ 13. *τοῖς* ante *ἐπικινδύνοις* adiecit H ‖ 15. *διὰ μήκους ⟨ὅλου⟩* Sauppius: *διὰ μήκους M* (eici uult H, sed cf. § 4 *πάντῃ σεσιδηρωμένα*) ‖ 17. *ἑκάστην* H: *ἕκαστον M* ‖ 18. *ἡμέρας* Sauppius: *ἄνδρα M* (*ἄρα* H) | *τὸν στρατηγὸν* H: *τῶν στρατηγῶν M* | *εἶεν* H: *εἴησαν M* ‖ 19. *τὸν λαχόντα* H: *τοὺς λαχόντας M* | *τὴν βάλανον μὴ ἐξαιρετὴν* H: *τὰς βαλάνους μὴ ἐξαιρετὰς M* ‖ 20. *λοπίδος M* (*λεπίδος* voluit C) ‖ 22. *τῷ* add. Sauppius | *ὑποκεῖσθαι* Sauppius: *ὑποθεῖσθαι M* | *κλειομένων* H: *ἐπικλειομένων M*

τῶν πυλῶν καὶ ἀνοιγομένων ⟨ἁρμόττειν⟩. τὸν δὲ
καρκίνον ἐσκευάσθαι, ὅπως ὑπὸ τὴν λοπίδα κάθηται
4 καὶ ῥᾳδίως τὴν βάλανον μετεωρίζῃ. Ἀπολλωνιᾶται
δὲ οἱ ἐν τῷ Πόντῳ παθόντες τι τῶν προγεγραμμέ-
νων κατεσκεύασαν τὰς πύλας κλείεσθαι ὑπὸ σφύρας
τε μεγάλης καὶ κτύπου παμμεγέθους γιγνομένου, ὡς
σχεδὸν κατὰ πᾶσαν τὴν πόλιν ἀκούεσθαι ὅταν κλεί-
ωνται ἢ ἀνοίγωνται αἱ πύλαι· οὕτω μεγάλα τε καὶ
σεσιδηρωμένα πάντῃ ⟨τὰ⟩ κλεῖθρα. τὸ δὲ αὐτὸ καὶ
5 ἐν Αἰγίνῃ ⟨γίγνεται⟩. ὅταν δὲ αἱ πύλαι κλεισθῶσι.
τοῖς φύλαξι σύνθημα καὶ παρασύνθημα δόντα ἐπὶ
τὰ φυλακεῖα διαπέμψαι.

21 [Περὶ δὲ ἁρμένων ἑτοιμασίας καὶ ὅσα ⟨χρὴ⟩ περὶ χώραν φι-
λίαν προκατασκευάζειν ἢ τὰ ἐν τῇ χώρᾳ ὡς δεῖ ἀφανίζειν ἢ
ἀχρεῖα ποιεῖν τοῖς ἐναντίοις, ὧδέ μοι παραλείπεται, ἐν δὲ τῷ
2 Παρασκευαστικῷ περὶ τούτων τελέως δεδήλωται.] Περὶ δὲ
φυλάκων καταστάσεως καὶ περιοδειῶν [καὶ πανείων]
καὶ συνθημάτων καὶ παρασυνθημάτων τὰ μὲν πολλὰ
ἐν τῇ Στρατοπεδευτικῇ βίβλῳ γέγραπται ὃν τρόπον
δεῖ γίγνεσθαι, ὀλίγα δὲ [αὐτῶν] καὶ νῦν δηλώσομεν.

22 Νυκτοφυλακεῖν ἐν μὲν τοῖς κινδύνοις προσκαθη-
μένων ἤδη ἐγγὺς ⟨τῶν⟩ πολεμίων πόλει [ἢ στρατοπέδῳ]

---

1. *ἁρμόττειν* inserui post *ἀνοιγομένων*. cf. XXXVI 1 ‖ 2. *ἐσκευάσθαι* M (*ἐσκολιῶσθαι* proposuit H) | *λεπίδα* uoluit C *κάθηται* M (*καθίηται* homo doctus) ‖ 9. *πάντῃ τὰ κλεῖθρα* scripsi: *πάντα κλεῖθρα* M (*τὰ κλεῖθρα* H) ‖ 10. Post *Αἰγίνῃ* inserui *γίγνεται* suadente H; facile enim inter *Αἰγίνῃ* et *ὅταν* haec uox excidere poterat ‖ 11. *δόντα* Hertlinus: *δόντας* M ‖ 12. *φυλακεῖα* H: *φυλάκια* M ‖ 13. *περὶ δὲ ἁρμένων* — 16. *δεδήλωται* inclusi (14. *ἢ τὰ* — 15. *ἐναντίοις* iam Herchero suspecta erant) | *χρὴ* add. H ‖ 16. *τελέως δεδήλωται* H: *τελείως δηλοῦται* M ‖ 17. *περιοδειῶν* Hertlinus: *περιοδιῶν* M | *καὶ πανείων* inclusi ‖ 19. *γέγραπται* H: *γραπτέον* M ‖ 20. *γίγνεσθαι* scripsi: *γενέσθαι* M (*ὃν τρόπον* — *γενέσθαι* deleri uoluit H) | *αὐτῶν* inclusi auct. H ‖ 21. *νυκτοφυλακεῖν* H: *νυκτοφυλακεῖσθαι* M | Post *κινδύνοις* in M *καὶ* est: expunxit H | *προσκαθημένων* Meierus: *προκαθημένων* M ‖ 22.

⟨ὧδε⟩. τὸν μὲν στρατηγὸν καὶ τοὺς μετ' αὐτοῦ 2
τετάχθαι περὶ τὰ ἀρχεῖα καὶ τὴν ἀγοράν, ἐὰν ὀχυ-
ρότητος μετέχῃ· εἰ δὲ μή, προκατειληφέναι τόπον
τῆς πόλεως ἐρυμνότατόν τε καὶ ἐπὶ πλεῖστον τῆς
πόλεως ὁρώμενον. περὶ δὲ τὸ στρατήγιον σκηνοῦν 3
καὶ διατελεῖν ἀεὶ τὸν σαλπικτὴν καὶ τοὺς δρομο-
κήρυκας, ἵν', ἐάν τι δέῃ σημῆναι ἢ παραγγεῖλαι, ἐξ
ἑτοίμου ὑπάρχωσι, καὶ οἵ τε ἄλλοι φύλακες τὸ μέλ-
λον αἴσθωνται καὶ οἱ περίοδοι, ὅπου ἂν ὄντες τύ-
χωσι κατὰ περιοδείαν τῆς πόλεως. ἔπειτα τούς τε 4
ἐπὶ τῷ τείχει φύλακας καὶ τοὺς ἐν τῇ ἀγορᾷ καὶ
⟨τοὺς⟩ ἐπὶ τῶν ἀρχείων καὶ τῶν εἰς τὴν ἀγορὰν εἰσ-
βολῶν καὶ τοῦ θεάτρου καὶ τῶν ἄλλων κατεχομένων
χωρίων διὰ βραχέων τε φυλάσσειν καὶ ἅμα πολλούς.
ἐν γὰρ τῷ δι' ὀλίγου φυλάσσειν οὔτ' ἂν κατὰ μῆ- 5
κος χρόνου δύναιτό τις πρᾶξαί τι πρὸς τοὺς πολε-
μίους καὶ νεωτερίσαι φθάσας, ἧττόν τ' ἂν ὕπνοι
ἐγγίγνοιντο διὰ βραχέος φυλασσόντων, τῷ τε πολλοὺς
ἅμα φυλάσσειν μᾶλλον ⟨ἂν⟩ δύναιτο ἐκφερομυθεῖσθαί
τι τῶν πρασσομένων· ἐὰν δὲ ὀλίγοι τε καὶ μακρὰς 6

τῶν addid. H | ἢ στρατοπέδῳ inclusi ‖ 1. ὧδε addid. Meierus | Post τὸν μὲν στρατηγὸν in *M* est: τὸν τοῦ ὅλου ἡγεμόνα: expunxit H ‖ 2. τετάχθαι περὶ τὰ ἀρχεῖα H: τετάχθαι καὶ τὰ περὶ ἀρχεῖα *M* ‖ 4. ἐπὶ πλεῖστον τῆς πόλεως H: ἐπὶ πλεῖστον ἀπ' αὐτοῦ τῆς πόλεως *M* (ἐπὶ πλεῖστον πανταχοῦ τῆς πόλεως T) ‖ 6. σαλπικτὴν H: σαλπιγκτὴν *M* ‖ 8. οἵ τε C: εἴτε οἱ *M* ‖ 9. ὅπου ἂν Co. O: ὅπου ἐὰν *M* ‖ 10. περιοδείαν Hertlinus: περιοδίαν *M* ‖ 12. τοὺς ante ἐπὶ τῶν ἀρχείων addidit H ‖ 14. διὰ βραχέων τε φυλάσσειν καὶ ἅμα πολλούς H: διὰ βραχέων τε φυλάσσειν καὶ πολλὰς εἶναι τὰς φυλακὰς καὶ ἅμα πολλοὺς ἀνθρώπους *M* ‖ 15. οὔτ' ἂν Sauppius: ὅτ' ἂν *M* (οὐκ ἂν C, ἧττον ἂν ἢ T, ἥκιστ' ἂν H) ‖ 17. ὕπνος ἐγγίγνοιτο scribi uult H ‖ 18. τῷ τε C: τότε *M* ‖ 19. ἂν addiderunt T ‖ 20. Post πρασσομένων in *M* est ἐγρηγορέναι τε ὡς πλείστους ἄμεινον ἐν τοῖς κινδύνοις καὶ πάντα φυλάξαι ἐν τῇ νυκτὶ ἵν' ὡς πλεῖστοι καθ' ἑκάστην φυλακὴν προφυλάσσωσιν: expunxit H

φυλάσσωσιν, ὕπνος τ' ἂν ἐγγίγνοιτο διὰ τὸ μῆκος
τῶν φυλακῶν, καὶ εἴ τινές τι ἐγχειροῖεν νεωτερίσαι,
παρέχοι ἂν αὐτοῖς τοῦ χρόνου τὸ μῆκος καὶ φθάσαι
7 καὶ λαθεῖν πράξαντάς τι πρὸς τοὺς πολεμίους. ἔτι
δὲ χρὴ ἐν τοῖς κινδύνοις καὶ τάδε προνοεῖν. τῶν
φυλάκων μηδένα προγιγνώσκειν μήτε ὁπότε μήτε
ὅπου φυλάξει τῆς πόλεως, μηδὲ τῶν αὐτῶν ἀεὶ τοὺς
αὐτοὺς ἡγεῖσθαι, ἀλλ' ὡς πυκνότατα [πάντα] μεθιστά-
ναι τὰ περὶ τὴν πολιτοφυλακίαν· οὕτω γὰρ ἂν ἥκι-
στά τις δύναιτο τοῖς ἔξω προδιδοὺς δηλοῦν τι ἢ
8 προσδέξασθαι παρὰ τῶν πολεμίων [μὴ προειδότων ὅπου
τοῦ τείχους τὴν νύκτα ἔσονται μηδὲ μεθ' ὧν, ἀλλ' ἀγνοοῦντες
τὸ μέλλον, καὶ τοὺς ἡμέρας φυλάξαντας μὴ φυλάσσειν νυκτός·
9 οὐ γὰρ ἐπιτήδειον προειδέναι ἃ μέλλει ἕκαστος πράσσειν.] προ-
φυλάσσοιέν τ' ἂν ἐκ τῶν ἐπὶ τῷ τείχει φυλακείων
οἱ προφύλακες ὧδε. ἐξ ἑκάστου γὰρ φυλακείου καθ'
ἑκάστην φυλακὴν προφυλασσόντων εἷς ἀνὴρ ἐπὶ τὸ
ἐχόμενον φυλακεῖον, καὶ ἀπ' ἐκείνου ἄλλος ἐπὶ τὸ
ἐχόμενον, καὶ ἀπὸ τῶν ἄλλων ⟨ἄλλοι⟩ ἐπὶ τὰ ἄλλα·
παρηγγέλθω δὲ ποιεῖν ἅπαντας τοῦτο ἀπὸ συσσή-

---

3. *παρέχοι* C: *ὑπάρχοι M* ‖ 4. Post *πολεμίους* in *M* est *διὸ δεῖ τὰ τοιαῦτα μὴ ἀγνοεῖν*: expunxit H ‖ 6. *προγιγνώσκειν* H: *προγινώσκειν M* ‖ *μήτε ὁπότε* Sauppius: *μήτε ὅπου στῆναι M* (*μήτε ὅπου στήσει* C, *μήτε ὅπου στῆναι ἔσται* uel *ὑπάρξει* Meinekius, *μήτε ὅπου στήσεται* uel *στῆναι δεήσει* Hertlinus, *μήτε ὅπου πράξει* H; an scribendum *μήτε ὅπου ἔσται μήτε ὁπότε φυλάξει* eiecto *τῆς πόλεως*? ‖ 8. *πάντα* inclusi Herchero suadente ‖ 11. *μὴ προειδότων* — 14. *πράσσειν* inclusi | *μὴ οὖν προειδέναι* scribi uult H ‖ 12. *ἀγνοοῦντες M* (*ἀγνοούντων* puto hunc interpolatorem scripsisse: *ἀγνοεῖν πάντας* T, *ἀγνοεῖν* H) | 14. *οὐ* Haasius: *οὗ M* | *προειδέναι ἃ μέλλει* Haasius: *προϊέναι ἀμελεὶ* cod. Cas. (in *M* periit) ‖ 15. *φυλακείων* H: *φυλάκων M* (*φυλακίων* T) ‖ 16. *φυλακίου M* ‖ 17. *προφυλασσόντων* C: *τῶν προφυλασσόντων M* 1 (*προφυλασσέτω* malit H) ‖ 18. *φυλάκιον M* | *ἄλλος ἐπὶ* H: *ἄλλος εἰς M* ‖ 19. *ἄλλοι* add. T ‖ 20. *ἅπαντας* cod. Cas.: *ἅπα . . . πάντας M*

μων. [καὶ οὕτω πολλοί τε ἅμα περιοδεύσουσι καὶ μικρὸν ἕκαστος 10 χωρίον κινηθήσεται, καὶ οὐ θαμὰ οἱ αὐτοὶ παρὰ τοῖς αὐτοῖς διατελοῦσι, πυκνὰ ἄλλων προφυλάκων παρ' ἄλλοις γιγνομένων φύλαξι. τούτου δὲ οὕτω πρασσομένου οὐκ ἄν τι ἐκ τῶν φυλάκων νεωτερισθείη.] *τοὺς δὲ προφυλάσσοντας ἀντιπροσώπους* 11 *ἀλλήλοις ἑστάναι· οὕτω γὰρ ἂν πάντα ὑπ' αὐτῶν βλέποιτο, καὶ ἥκιστ' ἂν ὑπό τινων ἀγρευθεῖεν λάθρᾳ προσελθόντων,* [ἅπερ ἤδη γεγονότα περὶ τὰ ἡμεροσκοπεῖα δεδήλωται.] *ἐν δὲ ταῖς χειμεριναῖς καὶ σκοτειναῖς νυξὶν* 12 *ἄλλην ⟨καὶ ἄλλην⟩ αὐτοὺς λίθους βάλλειν εἰς τὸ ἔξω μέρος τοῦ τείχους, καὶ ὡς δὴ ὁρωμένους τινὰς ὑπ' αὐτῶν ἐρωτώντων τίνες εἰσίν· ἀπὸ ταὐτομάτου γὰρ ἂν γνωσθεῖέν τινες προσπελάζοντες. ἂν δὲ δοκῇ, καὶ εἰς τὸ ἔσω* 13 *μέρος* [τῆς πόλεως] *τὸ αὐτὸ ποιεῖν. οἱ δέ τινες τοῦτό φασι βλαβερὸν εἶναι· τοὺς γὰρ προσιόντας τῶν πολεμίων ἐν τῷ σκότει προαισθάνεσθαι ⟨ὅτι⟩ οὐ προσιτητέον ἐστίν. ἄριστον δ' ἐν ⟨ταῖς⟩ τοιαύταις νυξὶν ἔξω τοῦ* 14 *τείχους κύνας προσδεδέσθαι νυκτερεύοντας, οἵπερ ἐκ*

1. *καὶ οὕτω* — 5. *νεωτερισθείη* inclusi | *πολλοί τε ἅμα* H: *πολλοί τε καὶ ἅμα M* | *περιοδεύσουσι* Meierus: *περιοδεύουσιν M* | *ἕκαστος* C: *ἕκαστον M* ‖ 2. *καὶ οὐ θαμὰ* Hertlinus: *καὶ οὐδ' ἅμα M* (*οὐδ' ἀεὶ* H) ‖ 3. *προφυλάκων* C: *φυλάκων M* | *γινομένοις M* | *φύλαξιν* C: *προσφύλαξιν M* ‖ 4. *οὐκ ἄν τι* Sauppius: *ὅταν τι M* (*ἥκιστ' ἄν τι* Kirchhoffius) ‖ 5. *τοὺς δὲ προφυλάσσοντας* Kirchhoffius: *τούσδε προφυλάσσωσιν M* (*τοὺς δὲ οἳ ἂν προφυλάσσωσιν* Sauppius, *τούσδε οἳ ἂν προφυλάσσωσιν* (ad praecedentia relatum) ** *φυλάσσωσιν, ἀντιπ.* etc. T) ‖ 6. *πάντα* H: *πάντῃ* Par. | *ὑπ'* T: *ἀπ' M* ‖ 7. *βλέποιτο* H: *βλέποιντο M* | *ἥκιστ' ἂν* H: *ἥκιστα M* ‖ 8. *προσελθόντων* T: *προελθόντων* Par. | *ἡμεροσκοπεῖα* Hertlinus: *ἡμεροσκόπια* Par. | *ἅπερ* — *δεδήλωται* inclusi auctore H ‖ 9. *ἄλλην ⟨καὶ ἄλλην⟩* C: *ἄλλην M* ‖ 11. *ὁρωμένων τινῶν* legendum esse suspicatur H ‖ 12. *εἰσὶν* H: *εἶεν M* ‖ 14. *τῆς πόλεως* inclusi H auctore | *φασὶν M* ‖ 16. *⟨ὅτι⟩ οὐ προσιτητέον* Hauptius: *οὐ προσπηγαιον M* ‖ 17. Post *ἐστὶν* in *M* est *διὰ τὴν φωνήν τε τῶν περιόδων καὶ τὸ βάλλειν ἀλλὰ μᾶλλον εἰς τὸν σιγώμενον τόπον* | *ταῖς* addidit H ‖ 18. *τείχους* Hertlinus: *τείχεος M* | *κύνας* C: *κύνα M*

πλείονος ἐμφανιοῦσι τὸν ἐκ τῶν πολεμίων κατάσκο-
πον προσπελάζοντα τῇ πόλει λαθραίως ἢ ⟨τὸν⟩ πειρώ-
μενον αὐτομολεῖν· ἅμα δὲ καὶ τὸν φύλακα, ἐὰν τύχῃ
15 καθεύδων, ἐγεροῦσι διὰ τὸν ὑλαγμόν. ᾗ δ' ἂν τῆς
πόλεως εὐπρόσοδα καὶ εὐεπίθετα τοῖς πολεμίοις ᾖ,
τῇδε φύλακας καθιστάναι τοὺς τὰ πλεῖστα κεκτημέ-
νους καὶ ἐντιμοτάτους τε καὶ τῶν μεγίστων μετ-
έχοντας ⟨ἐν⟩ τῇ πόλει· μάλιστα γὰρ ἂν αὐτοῖς προσ-
ήκοι μὴ πρὸς ἡδονὰς τραπέσθαι, ἀλλὰ μεμνημένους
16 τοῖς αὐτῶν ἂν προσέχειν. ⟨ἐν⟩ δὲ ταῖς πανδήμοις
ἑορταῖς χρὴ τῶν κατὰ ⟨τὴν⟩ πόλιν φυλάκων ὅσοι ἂν
ὦσι μάλιστα ὕποπτοι καὶ ἄπιστοι ἀφίεσθαι ἀπὸ τῶν
17 φυλακείων κατ' οἰκίας ἑορτάζειν. καὶ ἅμα μὲν πο-
λυωρεῖσθαι δόξουσιν, ἅμα δὲ οὐδὲν ἂν ἐπ' αὐτοῖς
εἴη πρᾶξαι. ἀντὶ δὲ τούτων ἄλλους εἰς τὰ φυλακεῖα
καθιστάναι πιστοτέρως ἔχοντας· περὶ γὰρ τὰς ἑορτὰς
18 μάλιστα οἱ βουλόμενοί τι νεωτερίζειν ἐγχειροῦσιν. ὅσα
δὲ πάθη γέγονε περὶ τοὺς τοιούτους καιρούς, ἐν
19 ἄλλοις δεδήλωται. ἀγαθὸν δὲ ἅμα τούτοις μηδὲ τὰς
ἀναβάσεις ἐπὶ τὸ τεῖχος εὐπόρους εἶναι ἀλλὰ κλει-
στάς, ἵνα μηδενὶ ἐγγίγνηται προκαταλαμβάνειν τι τοῦ

---

1. κατάσκοπον προσπελάζοντα H: κατάσκοπον ἢ αὐτόμολον προσπελάζοντα *M* | 2. ἢ ⟨τὸν⟩ πειρώμενον αὐτομολεῖν H: ἢ πῆ ὁρμώμενον αὐτομολοῦντα *M* ‖ 4. ἐγεροῦσι C: ἐγείρουσι *M* ‖ 5. ᾖ C: ἢ *M* ‖ 8. ἐν addidit Hertlinus; confert H XXXVIII 3 | προσήκοι T: προσήκει *M* ‖ 9. ἀλλὰ μεμνημένους τοῖς αὐτῶν ἂν προσέχειν scripsi, τοῖς αὐτῶν illo ex lin. 12 ὕποπτοι τοῖς αὐτῶν huc transposito: ἀλλὰ μεμνημένους ἂν προσέχειν *M* ‖ 10. ⟨ἐν⟩ δὲ ταῖς Haasius: δὲ ταῖς Par. ‖ 11. τὴν inseruit Sauppius | ὅσοι ἂν ὦσι H: ὅσοι ἐν σώμασι *M* ‖ 12. τοῖς αὐτῶν, quod post ὕποπτοι in *M* est, ex hoc loco remoui uide ad l. 9 ‖ 13. φυλακίων Par. | καὶ ἅμα C: καὶ ἀλλὰ *M* ‖ 16. Post περὶ γὰρ τὰς ἑορτὰς in *M* est τοὺς τοιούτους καιροὺς: expunxit H ‖ 18. πάθη Hertlinus: πάθεα *M* | τοὺς τοιούτους καιροὺς C: τοῦ στοιχείου τοὺς καιροὺς *M* ‖ 19. δεδήλωται H: δηλοῦται *M* | ἀγαθὸν T: ὁμαλὸν *M* (καλὸν C) ‖ 21. ἐγγίνηται *M* | τι Kirchhoffius: ἔτι *M*

τείχους βουλομένῳ ἐνδοῦναι τοῖς πολεμίοις, [ἀλλ' ὦσι φύλακες οὓς ἂν σὺ βούλῃ ἐξ ἀνάγκης ἐπὶ τοῦ τείχους διατελοῦντες καὶ μὴ καταβαίνοντες,] ἄν τέ τινες ἔξωθεν τῆς πόλεως λάθωσιν ὑπερβάντες, μὴ ῥᾳδίως διὰ ταχέων καταβαίνωσιν ἀπὸ τοῦ τείχους εἰς τὴν πόλιν, ἐὰν μὴ θέλωσιν ἀφ' ὑψηλῶν καταπηδῶντες κινδυνεύειν [καὶ μήτε λαθεῖν μήτε φθάσαι. πρέποι δ' ἂν τὸ παρασκεύασμα τοῦτο περὶ τὰς ἀναβάσεις καὶ ἐν τυράννου ἀκροπόλει.] μετὰ δὲ 20
τὴν † ἔξω ναυμαχίαν ἐπιβουλευόμενος ὁ φρούραρχος Νικοκλῆς, ⟨τὰς⟩ ἀναβάσεις κλειστὰς ποιήσας κατέστησε φύλακας ἐπὶ τῷ τείχει, ἔξω δὲ τῆς πόλεως περιοδείας ἐποιεῖτο μετὰ κυνῶν· προσεδέχετο γὰρ ἔξωθέν τινα ἐπιβουλήν. ἐν ὁμονοοῦσι δὲ καὶ μηδενὸς ὑπόπτου 21
ὄντος ἐν τῇ πόλει ἐν ⟨τοῖς ἐπὶ⟩ τῷ τείχει φυλακείοις δεῖ τὰς νύκτας λύχνα καίεσθαι ⟨ἐν⟩ λαμπτῆρσιν, ἵνα καθ' οὓς ἄν τι προσπελάζῃ πολέμιον, ἄρωσι τῷ στρατηγῷ τὸν λαμπτῆρα. ἐὰν ⟨δὲ⟩ μὴ φαίνηται πρὸς τὸν 22
στρατηγὸν ὁ λαμπτὴρ τόπου κωλύοντος, ἄλλος ⟨ἐπ' ἄλλῳ⟩ διαδεκτὴρ ὑπολαμβάνων λαμπτῆρι σημαινέτω τῷ στρατηγῷ, ὁ δὲ στρατηγὸς τὸ ἐμφανιζόμενον αὐτῷ τοῖς ἄλλοις φύλαξι δηλούτω ⟨τῇ⟩ σάλπιγγι ἢ

1. ἀλλ' ὦσι — 3. καταβαίνοντες inclusi || 2. βούλῃ Hertlinus: βούλει *M* || 3. καταβαίνοντες C: καταβαίνουσιν *M* (ceterum Herchero quoque καὶ μὴ καταβαίνοντες delendum uidetur) || 6. ἀφ' ὑψηλῶν Hertlinus: ἀπ' ἀλλήλων *M* || 7. καὶ μήτε — 8. ἀκροπόλει inclusi | προτρέποι *M* || 9. ἔξω *M* (ἐν Νάξῳ C, ἐν Κιτίῳ T) | ἐπιβουλευόμενος C: ἐπιβουλευομένοις *M* || 10. νικοκλης *M* | τὰς inseruit H || 11. περιοδείας C: περιοδίας *M* || 12. προσεδέχετο H: προσεδέχοντο *M* || 13. ὑπόπτου ὄντος Kirchhoffius: ὑποπτεύοντος *M* (μηδενὸς μηδένα ὑποπτεύοντος Meinekius, μηδενὸς ὑποπτευθέντος Hertlinus, μηδενὸς ὑποπτεύοντος τὸν πέλας H) || 14. ἐν τοῖς ἐπὶ τῷ τείχει φυλακείοις T: ἐν τῶ τείχει φυλακείοις *M* (ἐν τοῖς ἐν τῷ τ. φ. C) || 15. ἐν add. C || 17. δὲ add. C || 18. ἄλλος ⟨ἐπ' ἄλλῳ⟩ διαδεκτὴρ H coll. VI 2: ἄλλος διαδέκτηρ *M* || 19. σημαινέτω H: φαινέτω *M* || 21. τῇ addidit H | ἢ τοῖς δρομοκήρυξι T: τοῖς δρομοκήρυξιν ἢ *M*

23 τοῖς δρομοκήρυξιν, ὁποτέρως ἂν συμφέρῃ. κατὰ δὲ
τοὺς καιροὺς τούτους καὶ οὕτω περὶ τὰς φυλακὰς
διατελούντων παραγγελλέσθω τῷ ἄλλῳ ὄχλῳ, ὅταν
σημανθῇ, μηδένα ἐξιέναι· ἐὰν δέ τις ἐξίῃ ἐπί τινα
πρᾶξιν ἀναγκαῖον, μετὰ λαμπτῆρος πορεύεσθαι, ἵνα
24 πόρρωθεν κατάδηλος ᾖ τοῖς περιοδεύουσι. μηδ' ἐργά-
ζεσθαι μηδένα δημιουργὸν ⟨ἢ⟩ χειροτέχνην, ἵνα μὴ
ψόφοι ἀπατηλοὶ γίγνωνται τοῖς φύλαξιν. ὃν δ' ἂν
τρόπον ἴσως καὶ κοινῶς μακροτέρων ἢ βραχυτέρων
⟨τῶν⟩ νυκτῶν γιγνομένων ἅπασιν αἱ φυλακαὶ γίγνοιντο,
25 πρὸς κλεψύδραν χρὴ φυλάσσειν. ταύτην δὲ συμβάλ-
λειν διαδοχῇ ⟨μιᾶς⟩ μερίδος, μᾶλλον δὲ αὐτῆς κεκη-
ρῶσθαι τὰ ἔσωθεν, καὶ μακροτέρων μὲν γιγνομένων
τῶν νυκτῶν ἀφαιρεῖσθαι τοῦ κηροῦ, ἵνα πλέον ὕδωρ
χωρῇ, βραχυτέρων δὲ προσπλάσσεσθαι, ἵνα ἔλασσον
δέχηται. [περὶ μὲν οὖν φυλακῶν ἰσότητος ἱκανῶς μοι δεδη-
λώσθω.]

26 Ἐν δὲ τοῖς ἀκινδυνοτέροις τοὺς ἡμίσεις τῶν προ-
γεγραμμένων εἰς τὰς φυλακὰς καὶ περιοδείας χρὴ
τετάχθαι, [καὶ οὕτω τὸ ἥμισυ τῆς στρατιᾶς νύκτα ἑκάστην
φυλάξει·] ἀκινδύνων δὲ καὶ εἰρηναίων ὄντων ἐλάχιστά
27 τε καὶ ἐλαχίστους τῶν ἀνθρώπων ὀχλεῖν.

Καὶ ἐν ταῖς περιοδείαις χρὴ σκυταλίδα ἔχουσαν

---

4. σημανθῇ Kirchhoffius: σημειωθῇ M ‖ 7. ἢ ante χειροτέχνην addidit Meinekius ‖ 8. ἀπατηλοὶ scripsi: ἀπό τινων M (ἀπ' αὐτῶν H) | γίνωνται M ‖ 10. τῶν addidit Kirchhoffius | γινομένων M | ἅπασιν C: καὶ πᾶσιν M ‖ 11. ταύτην δὲ συμβάλλειν διαδοχῇ ⟨μιᾶς⟩ μερίδος scripsi (poteram etiam ταύτῃ δὲ — διαδοχὴν exhibere): ταύτην δὲ συμβάλλειν διαδοχῇ μέριδος M (ταύτης δὲ συμβάλλειν εἰς διαδοχὴν τὰς μερίδας T, ταύτην δὲ μεταβάλλειν διὰ δέχ' ἡμερῶν H) ‖ 13. γινομένων M ‖ 15. προσπλάσσεσθαι C: προσπελάσσεσθαι M ‖ 16. περὶ μὲν — 17. δεδηλώσθω inclusi | φυλακῶν C: φυλάκων M | ἱκανῶς C: ἱκανός M | 18. ἡμίσεις H: ἡμίσεας M ‖ 19. περιοδείας C: περιοδίας M ‖ 20. καὶ οὕτω — 21. φυλάξει inclusi ‖ 23. καὶ ἐν ταῖς T: καὶ ἐάν

σημεῖον παρὰ τοῦ στρατηγοῦ παραδίδοσθαι τῷ πρώτῳ
φύλακι, τοῦτον δὲ <διδόναι> τῷ ἐχομένῳ καὶ ἕτερον
ἑτέρῳ, μέχρι <ἂν> περιενεχθῇ ἡ σκυταλὶς κύκλῳ τὴν
πόλιν καὶ ἀνακομισθῇ παρὰ τὸν στρατηγόν· προειρῆσθαι
δὲ τοῖς φύλαξι μὴ πορρωτέρω προενεγκεῖν τὴν σκυτα-
λίδα τοῦ ἐχομένου φύλακος. ἐὰν δ' ὁ ἐλθὼν κατα- 28
λάβῃ τόπον ἔρημον φύλακος, πάλιν ἀποδιδόναι παρ'
οὗ ἔλαβε τὴν σκυταλίδα, <ἵν'> αἴσθηται ὁ στρατηγὸς
καὶ γνῷ τὸν μὴ παραδεξάμενον ἀλλ' ἐκλιπόντα τὴν
φυλακήν. ὃς δ' ἂν φυλακῆς αὐτῷ οὔσης μὴ παρῇ 29
εἰς τὸ τεταγμένον, ὁ λοχαγὸς αὐτοῦ παραχρῆμα τὴν
φυλακὴν ἀποδόσθω, ὁπόσον ἂν εὑρίσκῃ, καὶ κατα-
στησάτω ὅστις ὑπὲρ αὐτοῖ φυλάξει. ἔπειτα <ὁ> πρό-
ξενος αὐτοῦ ἀποδιδότω τῷ πριαμένῳ τὴν φυλακήν,
ὁ δὲ ταξίαρχος αὐτὸν τῇ ὑστεραίᾳ ζημιούτω τῇ νο-
μιζομένῃ ζημίᾳ.

Ἐπεξόδους δὲ ποιούμενον λαθραίους ἐν νυκτὶ 23
τοῖς προσκαθημένοις πολεμίοις τάδε προνοεῖν. πρῶ-
τον μὲν φυλάξαι ὅπως μή <τις> ἐξαυτομολήσῃ· ἔπειτα
φῶς ὑπαίθριον μηδὲν εἶναι, ἵνα μὴ ὁ ὑπὲρ τῆς πό-
λεως ἀὴρ πυρωδέστερος ὢν τοῦ ἄλλου ἐκφήνῃ τὸ
μέλλον. τούς τε τῶν κυνῶν ὑλαγμοὺς καὶ τῶν ἀλεκ- 2

τε *M* | περιοδείαις H: περιοδείας *M* (περιοδίαις T) | Post χρὴ in *M* est τῶν στρατηγῶν: expunxit H (χρὴ τὸν στρατηγὸν T) || 3. διδόναι adiecit H || 4. ἂν adiecit Meinekius || 5. ἀνακομισθῇ Meinekius: κομισθῇ *M* || 6. φύλαξι H: προφύλαξιν *M* || 7. δ' ὁ H: δὲ *M* || 8. πάλιν ἀποδιδόναι Sauppius: πάντ' ἀντιδιδόναι *M* (παραχρῆμα ἀποδιδόναι C, πάλιν ἀντιδιδόναι O, ἀντιδιδόναι H) || 9. ἵν' adiecit C || 10. ἐκλιπόντα C: ἐκλείποντα *M* || 13. ὁπόσον Hertlinus: πόσον δ' *M* || 14. ὁ ante πρόξενος addiderunt T | πρόξενος αὐτοῦ Sauppius: πρόξενος ἐξ αὐτοῦ *M* (πρόξενος ἐκ τῶν αὐτοῦ T) || 15. φυλακὴν *M* (κομιδὴν scribi uult H) || 18. λαθραίους (uel λαθραίας) H: λαθραίως *M* || 20. μή <τις> C: μὴ *M* || 21. μὴ ὁ T: μήθ' *M*

τρυόνων τὰς φωνὰς ἀφανίζειν τόνδε τὸν καιρόν,
ἐπικαύσαντά τι τοῦ σώματος· [καὶ γὰρ αἱ τούτων φωναὶ
3 ὄρθρου φθεγγόμεναι ἐκφαίνουσι τὸ μέλλον.] ἐποίησαν δέ τι-
νες καὶ τοιόνδε τεχνάσαντες. στασιασμοῦ προσποιη-
τοῦ μετὰ προφάσεως εὐλόγου γενομένου παρ' αὐτοῖς,
καιρὸν τηρήσαντες καὶ ἐπεξελθόντες ἐπέθεντο παρ'
4 ἐλπίδα τοῖς πολεμίοις καὶ κατώρθωσαν. ἤδη δέ τινες
τειχήρεις ὄντες καὶ ὧδε ⟨ἔλαθον ἐπεξ⟩ελθόντες. τὰς
μὲν πύλας ἀνέδειμαν ὁρατῶς τοῖς πολεμίοις· ᾗ δὲ
μάλιστα εὐεπιθέτους εἶχον τοὺς ἐναντίους, ταύτῃ κατ-
επέτασαν ἱστίον, καὶ ἀνῆραν διὰ χρόνου τινός, ὥστε
κατ' ἀρχὰς μὲν θαυμάσαι τοὺς πολεμίους, ὕστερον
5 δὲ καὶ πολλάκις γιγνομένου ἀμέλειαν εἶχον. οἱ δὲ
ἐν τῇ πόλει ἐν νυκτὶ διελόντες τοῦ τείχους ὅσον
ἤθελον, καὶ ἀντιδομὴν παρασκευασάμενοι κατεπέτασαν
τὸ ἱστίον, τηρήσαντες δὲ καιρὸν ⟨καὶ⟩ ἐπεξελθόντες
ἐπέθεντο παραδόξως τοῖς πολεμίοις· [ποιοῦντες δὲ ταῦτα
6 ἐφύλασσον μή τις αὐτομολήσῃ.] οὐ μὴν οὐδ' ἐν ταῖς νυ-
ξὶν ἀσκέπτως μετ' ὄχλου ἐκπορευτέον. οἷα καὶ ἐν
τοῖς ⟨τοιούτοις⟩ καιροῖς τῶν ἐπιβουλευόντων τινὲς τε-
χνάζουσιν, οἳ μὲν ἔσω τῆς πόλεως οἳ δὲ καὶ ἔξωθεν.

---

1. *φωνὰς M* (*ᾠδὰς* H) | Post *ἀφανίζειν* in *M* est *ἄφωνα ποιοῦντα*: expunxit H ‖ 2. *καὶ γὰρ* — 3. *τὸ μέλλον* inclusi suadente H in Herm. VII p. 242. Idem enim cum proponerem Prolegom. meor. pg. 26, fugiebat me in hanc suspicionem Hercherum ante me incidisse l. l. | *ἐποίησαν* H: *ἐποιήσαντο M* ‖ 5. *γενομένου* C: *γενομένης M* ‖ 8. *ἔλαθον ἐπεξελθόντες* T: *ἐλθόντες M* (*ἐπεξῆλθον* O) ‖ 10. *εὐεπιθέτους εἶχον τοὺς ἐναντίους* H: *εὐεπιθέτως εἶχεν τοῖς ἐναντίοις M* ‖ 11. *ἱστίον* H: *ἀγγεῖον M* (*ἀγ* ex *αν* terminatione praecedentis uocis exortum uidetur) *ἄρμενον* Hertlinus (*ἀκάτειον* Kirchhoffius) | *ἀνηραν M* ‖ 12. *κατ'* C: *καὶ M* ‖ 13. *γινομένου M* ‖ 16. *καὶ* post *καιρὸν* addidit H 17. *ποιοῦντες* — 18. *αὐτομολήσῃ* Sauppius inclusit coll. §. 23 18. Post *αὐτομολήσῃ* in *M* est *διὸ δεῖ μηδὲν τῶν τοιούτων παρορᾶν*: expunxit H ‖ 19. *ἐκπορευτέον* C: *ἐκπορευταῖον M*. Post hanc uocem lacunam esse putat H ‖ 20. *τοιούτοις* add. C

προσάγεσθαι βουλόμενοι τοιοῖσδε ἀπατήμασι], *πυρσεύσαντές τι ἢ ἐμπρήσαντες νεώριον ἢ γυμνάσιον ⟨ἢ⟩ ἱερὸν πάνδημον ἢ δι' ὅπερ ἂν ἔξοδος γένοιτο πλήθους ἀνθρώπων οὐ τῶν τυχόντων.* [πρᾶξις δὲ καὶ ἥδε ἐξοισθή- 7
σεται ἐξ ἀρχόντων ⟨γεγενημένη⟩. προητοίμασαν κατὰ τὴν χώραν θόρυβον γενέσθαι καὶ ἐκ τῶν ἀγρῶν εἰς τὴν πόλιν ἀγγελθῆναι κλωπῶν ἐπιβουλήν, δι' ὅπερ ἔμελλον οἱ πολῖται σπεύσειν εἰς βοήθειαν. γενομένου δὲ τούτου οἵ τε ἄρχοντες καὶ οἱ συν- 8
εθέλοντες τοὺς πολίτας παρεκάλουν εἰς βοήθειαν. ἐπεὶ δ' ἠθροίσθη τὸ πλῆθος τῶν πολιτῶν πρὸς τὰς πύλας σὺν ὅπλοις, τοιόνδε ἐτεχνάσαντο. προεῖπον οἱ ἄρχοντες τοῖς ἠθροισμένοις ὅτι τρία 9
μέρη αὐτοὺς γενομένους δεῖ ἐνεδρεῦσαι μικρὸν ἀπωτέρω τῆς πόλεως, παραγγείλαντες ἃ προσῆκε πρὸς τὰ μέλλοντα, τοῖς δὲ ἀκούουσιν ἦν ἀνύποπτα. καὶ τοὺς μὲν ἐξαγαγόντες ἐκάθισαν εἰς 10
χωρία ἐπιτήδεια ὡς ἐνεδρεύσοντας τοῖς ἐμβεβληκόσι πολεμίοις· αὐτοὶ δὲ λαβόντες σώματα αὐτοῖς συνίστορα τῆς πράξεως προεπορεύοντο ὡς κατασκεψόμενοί τε τὰ ἀγγελλόμενα καὶ προκινδυνεύσοντες τῶν ἄλλων, ἵνα δῆθεν προαγάγοιεν τοὺς πολεμίους εἰς τὰς ἐνέδρας ὡς ὑποφεύγοντες. πορευθέντες δὲ εἰς τόπον ὅπου 11

---

1. *προσάγεσθαι — ἀπατήμασι* inclusi H auctore ‖ 2. *ἢ* ante *ἱερὸν* addidit C ‖ 3. *διόπερ M* ‖ 4. Post *ἀνθρώπων* in *M* est *καί*: expunxit H | Post *τυχόντων* in *M* est *προνοοῦντα οὖν καὶ τὰ τοιαῦτα μὴ ἑτοίμως ἀποδέχεσθαι*: expunxit H | *πρᾶξις δὲ καὶ ἥδε ἐξοισθήσεται ἐξ ἀρχόντων ⟨γεγενημένη⟩* scripsi (cf. XI 2: *ὅσαι ἐξ ἀρχόντων γεγόνασι*): *πράξεις δὲ καὶ ωδε ἐξοισθήσεται ἐξαρχόντων M* (*πρᾶξις δὲ καὶ ὧδε ⟨γεγενημένη⟩ ἐξοισθήσεται ἐξ ἀρχόντων* C, *πρᾶξις δὲ καὶ ἥδ' ἐξοισθήσεται ἐξ ἀρχόντων* T). Ceterum inclusi totum hoc exemplum inde a *πρᾶξις* — pg. 50, 5: *ἐδέχοντο* (§ 7—11) ‖ 5. *προητοίμασαν* H: *προετοιμάσαντες M* (*προητοίμασαν ὡς* Hertlinus; an ⟨*ἐποίησαν ξένους*⟩ *προετοιμάσαντες*? ‖ 7. *διόπερ M* | *πολίται M* ‖ 8. *οἵ τε* T: *οἵ γε M* | *συνεθέλοντες* T: *συνελθόντες M* ‖ 9. *πολίτας* C: *πολεμίους M* | *ἐπεὶ δ'* T: *ἐπειδὴ M* ‖ 10. *σὺν ⟨τοῖς⟩ ὅπλοις* malit H ‖ 13. *προσῆκεν M* | *τὸ μέλλον* scripsit H ‖ 17. *κατασκεψόμενοί* C: *κατακοψόμενοί M* | *τὰ ἠγγελμένα* malit Kirchhoffius | *προκινδυνεύσοντες* Hertlinus: *προκινδυνεύοντες M* ‖ 18. *δῆθεν* C: *μηθὲν M*

ἣν αὐτοῖς ξενικὸν προητοιμασμένον κρυφαίως κομισθὲν κατὰ θάλατταν, ἀναλαβόντες ἔφθασαν καὶ ἔλαθον εἰσαγαγόντες εἰς τὴν πόλιν κατ' ἄλλας ὁδούς, ὡς τοὺς ἐπεξελθόντας πολίτας πάλιν ἀπαγαγόντες· τὴν δὲ πόλιν καταλαβόντες τοῖς ξένοις τῶν ἐν ταῖς ἐνέδραις ὄντων τοὺς μὲν ἐφυγάδευον τοὺς δὲ ἐδέχοντο.]

24 *Παραδιδόντα δὲ συνθήματα δεῖ προνοεῖν, ἐὰν*
τύχῃ τὸ στράτευμα μιγάδες ὄντες ἀπὸ πόλεων ἢ
ἐθνῶν, ὅπως μή, ἂν παρέχῃ τὸ ἓν εἶδος δύο ὀνό-
2 *ματα, ἀμφιβόλως παραδοθήσεται, οἷον τάδε, Διόσ-*
κοροι Τυνδαρίδαι, Ἄρης Ἐνυάλιος, Ἀθηνᾶ
Παλλάς, ξίφος ἐγχειρίδιον, λαμπὰς φῶς, καὶ
ἄλλα ὁμότροπα τούτοις, ἅπερ δυσμνημόνευτά ἐστι καὶ
βλάβην φέρει, ἐὰν κατὰ γλῶσσάν τις παραγγέλλῃ καὶ
3 *μὴ κοινότατα πᾶσιν. ἐν μιγάσιν οὖν ξένοις οὐ δεῖ*
τὰ τοιαῦτα παραγγέλλειν, οὐδὲ ἐν ἔθνεσι συμμάχοις.
οἷον Χαριδήμῳ Ὠρείτῃ περὶ τὴν Αἰολίδα συνέβη
4 *καταλαβόντι Ἴλιον τρόπῳ τοιῷδε. τῷ ἄρχοντι τοῦ*
Ἰλίου ἦν οἰκέτης ἐκπορευόμενος ἐπὶ λείαν ἀεί, καὶ
μάλιστα ἐν ταῖς νυξὶν ἐξεπορεύετο καὶ εἰσεπορεύετο
5 *εἰσάγων τὰ ἀγρευθέντα ἑκάστοτε. ἐν δὲ τῷ χρόνῳ*
τοῦτον καταμαθὼν ὁ Χαρίδημος ταῦτα πράσσοντα
οἰκειοῦται, καὶ εἰς λόγους κρυφαίους ἀφικόμενος δι-
ομολογεῖται, καὶ ἔπεισεν αὐτὸν ἐκπορευθῆναι ἐν ῥητῇ

---

1. *κρυφαίως κομισθὲν* C: *κρυφαι ὡς κονισθέντες M* ‖ 5. Post *ἐδέχοντο* in *M* est *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν καὶ μὴ ἀλογίστως νύκτωρ εἰς πολεμίους ἔξοδον πλήθους ποιεῖσθαι*: deleuit H ‖ 9. *Διόσκοροι* Meinekius: *διόσκουροι M* ‖ 10. Post *Τυνδαρίδαι* in *M* est *περὶ ἑνὸς εἴδεος δύο ὀνόματα οὐ τὰ αὐτὰ καὶ ἄλλοτε δὲ*: expunxit H | *ἀθηνὰ M* ‖ 12. Post *ἐστι* in *M* est *παρὰ τὰ νομιζόμενα ἑκάστῳ ἔθει* (*ἔθνει?*) *τῶν ἀνθρώπων*: expunxit H ‖ 13. *καὶ μὴ κοινότατα πᾶσιν* H coll. § 15: *ἢ κοινόν τι ἅπασιν* (*ἢ μὴ κοινόν τι ἅπ.* Meierus) ‖ 14. *μιγάσιν* T: *μιγάσι δ' M* ‖ 20. *εἰσάγων* C: *εἰς ἀγρὸν M* ‖ 21. *τοῦτον* Sauppius: *τούτῳ M*

νυκτὶ ὡς ἐπὶ λείαν· μεθ' [illegible] δὲ ἐκέλευσεν αὐτὸν ἐξελθεῖν [ἐν τῇ νυκτί], ἵνα αἱ πύλαι [illegible] ἀνοιχθεῖεν. γενόμενος δ' ἔξω καὶ διαλεχθεὶς τῷ Χαριδήμῳ [illegible] παρ' αὐτοῦ ξένους ὡς τριάκοντα τεθωρακισμένους καὶ ἔχοντας ἐγχειρίδια καὶ περικεφαλαίας [κρυφαίας]. 6
ἀπήγαγέ τε οὖν αὐτοὺς ἐν ἐσθῆτι φαύλῃ κρύψας τὰ ὅπλα, καὶ ὁμοιώσας αἰχμαλώτοις· ⟨καὶ⟩ μετ' αὐτῶν [γυναικῶν καὶ παιδαρίων, καὶ τούτων ὡς αἰχμαλώτων] εἰσεπορεύετο ἀνοιχθεισῶν αὐτῷ τῶν πυλῶν διὰ τὸν ἵππον. 7
ὅπου δὴ εὐθὺς [οἱ] εἰσελθόντες ⟨τοῦ⟩ ἔργου ἔσχοντο· τὸν δὲ πυλωρὸν ἀποκτείναντες [καὶ εἰς ἄλλας ξένας πράξεις ὁρμήσαντες] καὶ τῶν πυλῶν ἐγκρατεῖς ὄντες, ἐφ' ἃς εὐθύς, οὐ πόρρω ὄντος τοῦ Χαριδήμου, παρῆσαν τάξεις, [καὶ] κατέλαβον τὸ πόλισμα. 8
μετὰ δὲ ταῦτα καὶ αὐτὸς εἰσεπορεύθη μετὰ πάσης τῆς δυνάμεως. 9
ἅμα δὲ τούτοις καὶ τοιόνδ' ἔπραξε. τοῦ στρατεύματός τινι μέρει ἐνέδρας ἐποιήσατο, προνοήσας ὅτι παρέσοιτο βοήθεια ἐπὶ τὸ χωρίον, ὅπερ συνέβη· εὐθὺς γὰρ αἰσθόμενος Ἀθηνόδωρος Ἴμβριος, ὢν οὐ πόρρω μετὰ στρατεύματος, ἐπειρᾶτο βοηθεῖν ἐπὶ τὸ χωρίον. 10
ἔτυχε δὲ καὶ αὐτὸς ἀγχίνως μάλα ἀνθυποπτεύσας, καὶ οὐ τὰς 11

---

2. *ἐν τῇ νυκτὶ* inclusi Herchero et Sauppio auctoribus | Post *ἀνοιχθεῖεν* in *M* legitur *ἀλλὰ μὴ κατὰ τὴν διάλυσιν ἢ τὴν ἐκτομάδα πυλίδα ὥσπερ εἰώθει εἰσελθών*: expunxit H ‖ 4. *αὐτοῦ* C: *αὐτῶν M* ‖ 5. Post *ἐγχειρίδια* in *M* est *καὶ ὅπλα*: del. H | *κρυφαίας* C: *κορυφαίας M*; inclusi Sauppio auctore ‖ 6. *ἀπήγαγέ* T: *ὡς ἀπήγαγεν M* | Post *αὐτοὺς* in *M* est *ἐν τῇ νυκτὶ*: expunxit H | *κρύψας* scripsi: *καὶ ἔκρυψε M* (*καὶ ἔκρυψε τὰ ὅπλα* Herchero erant suspecta) ‖ 7. *⟨καὶ⟩ μετ' αὐτῶν* scripsi: *μετ' ἄλλων M* ‖ 8. *γυναικῶν καὶ παιδαρίων καὶ τούτων ὡς αἰχμαλώτων* inclusi ‖ 10. *οἱ* inclusi (*οἱ ξένοι* scribi uult H) | *τοῦ* ante *ἔργου* inseruit Sauppius | *ἔσχοντο* H: *εἴχοντο M* | *τὸν δὲ* scripsi: *τόν τε M* ‖ 11. *καὶ εἰς — ὁρμήσαντες* inclusi ‖ 12. *ἐγκρατεῖς ὄντες M*; an *κρατήσαντες*? ‖ 14. *καὶ* ante *κατέλαβον* ex dittographia natum inclusi ‖ 16. *ἔπραξεν M* ‖ 21. *βαγχίνως M* | *μάλα* H: *πάλιν M* (*πάνυ* Meinekius) | *ἀνθυποπτεύσας* C: *ἂν ὑποπτεύσας M*

ἐνεδρευομένας ὁδοὺς ἐπορεύθη πρὸς τὸ Ἴλιον, ἀλλὰ
ἄλλας πορευθεὶς ἔλαθέ τε ἐν τῇ νυκτὶ καὶ ἦλθε πρὸς
12 τὰς πύλας. καὶ ἔλαθόν τινες ⟨τῶν σὺν αὐτῷ⟩ εἰσελ-
θόντες εἰς τὴν πόλιν ἐν τῷ θορύβῳ, ὡς τοῦ Χαρι-
13 δήμου ὄντες στρατεύματος. ἔπειτα πρὸ τοῦ πλείους
εἰσελθεῖν ἐγνώσθησαν τῷ συνθήματι καὶ οἳ μὲν ἐξ-
έπεσον αὐτῶν, οἳ δὲ περὶ τὰς πύλας διεφθάρησαν·
τοῖς μὲν γὰρ ἦν τὸ σύνθημα Τυνδαρίδαι, τοῖς δὲ
14 Διόσκοροι. καὶ παρὰ τοῦτο ἐγένετο ⟨τὴν⟩ πόλιν μὴ
ἀντικαταληφθῆναι παραχρῆμα ὑπὸ τοῦ Ἀθηνοδώρου
ἐν τῇ αὐτῇ νυκτί. παραγγέλλειν οὖν χρὴ τὰ συν-
θήματα εὐμνημόνευτά τε καὶ ὡς μάλιστα ἀδελφὰ ταῖς
15 μελλούσαις πράξεσι γίγνεσθαι, οἷον τάδε. ἐπὶ μὲν
ἄγραν πορευόμενον Ἄρτεμιν Ἀγροτέραν, ἐπὶ δὲ κλο-
πήν τινα πράξεως Ἑρμῆν Δόλιον, ἐπὶ δὲ βιασμὸν
Ἡρακλέα, ἐν δὲ τοῖς φανεροῖς ἐγχειρήμασιν Ἥλιον
καὶ Σελήνην, καὶ ὡς μάλιστα ὁμότροπα τούτοις καὶ
16 κοινότατα πᾶσιν. Ἰφικράτης δὲ οὐδὲ ⟨τὸ⟩ αὐτὸ σύν-
θημα ἐκέλευε τὸν περίοδόν τε καὶ φύλακα ἔχειν,
ἀλλὰ ἕτερον ἑτέρῳ δεδόσθαι, ἵνα ὁ μὲν πρότερος
ἐρωτηθεὶς ἀποκρίνηται Ζεὺς Σωτήρ, ἐὰν τοῦτο ἔχων
τύχῃ, ὁ δ' ἀντερωτηθεὶς Ποσειδῶν· οὕτω γὰρ ἂν
ἥκιστα σφάλλοιντο ὑπὸ τῶν πολεμίων καὶ ἐξαυτομο-

---

3. ἔλαθόν τινες ⟨τῶν σὺν αὐτῷ⟩ εἰσελθόντες H: ἔλαθόν τινες συνελθόντες *M* (συνεισελθόντες T) ‖ 5. πλείους H: πλείονος *M* (πλείονας C) ‖ 8. τοῖς δὲ C: τοῦ δὲ *M* ‖ 9. Διόσκοροι C: διοσκουροι *M* | ⟨τὴν⟩ πόλιν H: πάλιν *M* (πόλιν T) ‖ 12. ὡς μάλιστα T: μάλιστα ὡς *M* ‖ 13. γίνεσθαι *M* ‖ 14. πορευόμενον H: πορευόμενος *M* | κλοπήν τινα πράξεως scripsi: κλοπήν τινα πράξεων *M* (κλοπὴν πράξεως H) ‖ 15. βιασμὸν C: βιασμῶν *M* ‖ 16. ἐν δὲ τοῖς H: τοῖς δὲ *M* ‖ 18. ⟨τὸ⟩ αὐτὸ C: αὐτὸ *M* ‖ 19. τὸν περίοδον C: τὴν περίοδον *M* ‖ 20. ὁ μὲν πρότερος scripsi: ὁ μὲν τὸ πρῶτον *M* (ὁ μὲν πρῶτος Hertlinus) ‖ 22. ἀντερωτηθεὶς C: ἂν ἐρωτηθεὶς *M* ‖ 23. καὶ ante σφάλλοιντο inseri uult H

λοῖτο τὸ σύνθημα. πλάνης δὲ γενομένης τοῖς φύ- 17
λαξιν ἀπ' ἀλλήλων συριγμῷ χρῆσθαι πρὸς αὐτούς,
τοῦτον δὲ προσυγκεῖσθαι· πλὴν γὰρ τῷ εἰδότι ἄγνω-
στος τοῖς ἄλλοις ἔσται [ἐάν τε Ἕλληνες ἐάν τε βάρβαροι 18
ὦσιν. προενθυμεῖν δὲ τῶν κυνῶν μὴ διὰ τὸν συριγμὸν ἀσύμφορον
ἐξ αὐτῶν ᾖ] ἐχρήσαντο δὲ αὐτῷ καὶ οἱ ἐν Θήβαις τὴν
Καδμείαν καταλαβόντες· ὅτε γὰρ ἐσκεδάσθησαν νυκτὸς
καὶ ἠγνόησαν ἑαυτούς, πρὸς συριγμὸν συνελέγοντο.
τὰ δὲ συνθήματα ἐρωτᾶσθαι κοινῶς τοῖς τε περιο- 19
δεύουσι καὶ προφύλαξιν· οὐδὲν γὰρ προσήκει τὸν
ἕτερον ἐρωτᾶν. ὡς γὰρ περίοδος καὶ πολέμιος ἂν
ἐρωτῴη.

25 Ἔνιοι δὲ παρασυνθήμασι χρῶνται τῶν τε πα-
νείων ἕνεκα καὶ πρὸς τὸ γνωρίζειν μᾶλλον τοὺς φί-
λους. εἶναι δὲ τὰ παρασυνθήματα ὡς ἰδιαίτατα καὶ 2
δυσγνωστότατα τοῖς πολεμίοις· εἴη δ' ἂν τοιάδε. ἐν
μὲν ταῖς σκοτειναῖς νυξὶ τό τε σύνθημα ἐρωτῆσαι
καὶ φωνῆσαί τι ἄλλο ἢ ψόφον ἐμφανίσαι, τὸν δὲ
ἐρωτώμενον τό τε σύνθημα ἀποκρίνασθαι καὶ ἄλλο

---

3. τοῦτον H: τοῦτο *M* | ἄγνωστος H: ἄγνωστον *M* ‖ 4. ἐάν τε — 5. ὦσιν inclusi; item quae sequuntur προενθυμεῖν — 6. αὐτῶν ᾖ, in his quidem Herchero obsecutus ‖ 6. καὶ οἱ ἐν Θήβαις τὴν Καδμείαν καταλαβόντες· ὅτε γὰρ ἐσκεδάσθησαν H: καὶ ἐν θήβαις ὅτε τὴν καδμεῖαν καταλαβόντες ἐσκεδάσθησαν *M* (καὶ ἐν Θήβαις οἱ τὴν Καδμείαν καταλαβόντες· ὅτε ἐσκεδάσθησαν T, καὶ ἐν Θήβαις, ὅτε τὴν Καδμείαν καταλαβόντες ἐσκεδάσθησαν — in proximis πρὸς συριγμὸν ⟨δὲ⟩ συνελέγοντο Meinekius) ‖ 8. ἑαυτούς C: ἑαυτοῖς *M* ‖ 9. Pro κοινῶς malim κοινὸν ἔστω ‖ 11. ὡς γὰρ C: ὁ γὰρ *M* ‖ 11. ἂν ἐρωτῴη C: ἀνερωτῶν *M* ‖ 13. παρασυνθήμασι T: παρασυνθήματι *M* ‖ 14. ἕνεκα H: ἕνεκεν *M* ‖ 15. εἶναι δὲ τὰ παρασυνθήματα H: εἶναι δὲ καὶ παρὰ συνθήματα *M* (εἶναι δὲ δεῖ παρασ. C, εἶναι δὲ δεῖ τὰ παρασ. T) ‖ 16. Post εἴη δ' ἂν in *M* est τὰ παρασυνθήματα: expunxit H ‖ 17. ἐρωτῆσαι καὶ φωνῆσαι H: ἐρωτᾶν καὶ φωνεῖν *M* ‖ 18. ἄλλο Hertlinus: μᾶλλον *M* | ἢ ψόφον H: καὶ ψόφον *M* ‖ 19. ἀποκρίνασθαι H: ἀποκρίνεσθαι *M* | ἄλλο ⟨τι⟩ H: ἄλλω *M* (ἄλλο C)

⟨τι⟩ προσυγκείμενον φωνῆσαι ἢ ψόφον ἐμφανίσαι· ἐν δὲ τοῖς φαεινοῖς χρόνοις τὸν μὲν ἐρωτῶντα τὸ σύνθημα τὸν πῖλον ἀφελέσθαι ἢ ἐν τῇ χειρὶ ἔχοντα ἐπι-
3 θέσθαι, ἔτι δὲ καὶ ἐπαγαγέσθαι τὸν πῖλον ἐπὶ τὸ
4 πρόσωπον καὶ ἀπαγαγέσθαι ἀπὸ τοῦ προσώπου, ἔτι δὲ καὶ τὸ δόρυ καταπῆξαι προσιόντα ἢ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν ἢ ἔχειν ἐν τῇ χειρὶ ἄραντα, τὸν δὲ ἐρωτώμενον τό τε σύνθημα ἀποκρίνασθαι καὶ τοιοῦτόν τι προσυγκείμενον ποιῆσαι.

26 Περιοδεύειν ⟨δὲ⟩ ἐν τοῖς κινδύνοις πρῶτον τῶν ἐν τῇ ἀγορᾷ ἠθροισμένων λόχων δύο ὑπὸ τὸ τεῖχος ἐναλλὰξ ἀλλήλοις, διεσκευασμένους τοῖς ὑπάρχουσιν ὅπλοις καὶ * * παρασυνθήμασιν, ὥστε ἀκριβῶς ἐκ
2 πλείονος διαγνῶναι ἑαυτούς. τοὺς δὲ τὴν πρώτην φυλακὴν περιοδεύοντας ἀδείπνους χρὴ περιοδεύειν· τυγχάνουσι γὰρ οἱ τὴν πρώτην προφυλάσσοντες ἀπὸ δείπνου ὄντες ῥαθυμοτέρως τε καὶ ἀκολαστοτέρως
3 διακείμενοι. περιοδεύειν δὲ ἄνευ λαμπτῆρος, ἂν μὴ λίαν χειμὼν ᾖ καὶ σκότος· εἰ δὲ μὴ [οὕτω], ὁ λαμπτὴρ φεγγέτω εἰς ὕψος μὲν μηδέν (κεκαλύφθω γάρ τινι), ἐπὶ δὲ τὴν γῆν καὶ τὰ πρὸ τῶν ποδῶν μόνον φεγ-

1. Pro ἐν δὲ τοῖς φαεινοῖς χρόνοις legendum esse ἐν δὲ τοῖς φαεινοτέροις suspicatur H ‖ 4. ἔτι H: ἔστιν M ‖ 7. χεῖρα λαβεῖν H: παραλαβεῖν M (μεταβαλεῖν Hauptius) | ἢ ἔχειν ἐν τῇ χειρὶ ἄραντα expunctum ab Herchero recte defenditur a Sauppio. Sequitur in M ἢ ἀνελέσθαι: deleuit H ‖ 9. τοιοῦτόν τι Hertlinus: τούτων τι M (ἄλλο τι H) ‖ 10. δὲ post περιοδεύειν inseruerunt T | Inter πρῶτον et τῶν in M est δὲ: deleuit H ‖ 12. Pro ὑπάρχουσιν malim ἐπαρκοῦσιν ‖ 13. Lacunam significaui, quam sic fere expleuerim ⟨τοῖς συνθήμασι καὶ⟩ παρασυνθήμασιν | παρασυνθήμασιν C: παρασύνθημα M, ⟨τοῖς⟩ παρασυνθήμασιν H | ὥστε Hauptius: ὡς M ‖ 16. ἀπὸ δείπνου ὄντες C: οτιοδειπνονοντοσ M ‖ 19. εἰ δὲ μὴ scripsi: εἰ δὲ μὴ οὕτω M (εἰ δὲ μή, οὕτως T, εἰ δὲ εἴη σκότος H, εἰ δὲ εἴη οὕτω Sauppius) 21. τὰ ante πρὸ eici uult H | τῶν ποδῶν C: τῶν διπων M

γέτω. ἐν ἱπποτροφούσῃ δὲ πόλει καὶ ἱππασίμῳ χει- 4
μῶνος ἱππεῦσι περιοδεύειν· ἐν γὰρ τοῖς ψύχεσι καὶ
πηλοῖς καὶ μήκεσι τῶν νυκτῶν θᾶσσον ἀνύοιτ' ἂν ἡ
περιοδεία. εἶναι δὲ ἅμα τούτοις καὶ ἐπὶ τοῦ τείχους 5
περιοδείας, ὥστε τινὰς μὲν τὰ ἔξω τοῦ τείχους ἐπι-
σκοπεῖσθαι, τινὰς δὲ τὰ ἔσω. [ἔχειν δὲ καὶ περιοδεύοντας 6
λίθους ἐν ταῖς σκοτειναῖς νυξί, καὶ βάλλειν ἄλλην εἰς τὸ ἔξω μέρος
τοῦ τείχους. οἳ δὲ οὐκ ἐπαινοῦσι τοῦτο διὰ τὰ προγεγραμμένα.]
ἐν ὑποψίᾳ δ' ὄντων ἀλλήλοις χρὴ τὰς περιοδείας εἶναι 7
κάτω τοῦ τείχους, καὶ μὴ ἀναβαίνειν τοὺς περιόδους
πλὴν τῶν φυλάκων. καὶ ἐὰν ⟨τὸ⟩ στράτευμα κεκακο-
παθήκῃ μάχῃ λειφθέν, ἢ διὰ τὸ πλῆθος ἀποβαλεῖν
ἢ ⟨ἐκ⟩ τραυμάτων ἢ συμμάχων ἀποστάσει ἢ δι' ἄλλο
τι σύμπτωμα ἀθυμῇ καὶ τεταπεινωμένον ᾖ, ἐπικίν-
δυνά τε ᾖ ⟨τῶν⟩ πολεμίων ἐγγὺς ὄντων, χρὴ τὰ προ-
γεγραμμένα κατὰ τὰς φυλακὰς πράσσειν καὶ τὰς πε-
ριοδείας. ἐν ⟨δὲ⟩ τοῖς τοιούτοις καιροῖς πυκνά τε χρὴ 8
περιοδεύειν, καὶ οὐ δεῖ προθυμεῖσθαι ἐν ταῖς περιο-
δείαις εὑρίσκειν τινὰς τῶν προφυλασσόντων ἀμελέ-
στέρως διακειμένους διὰ ὕπνον ἢ κάματον· οὐ γὰρ
συμφέρει οὕτω διακείμενον τὸ στράτευμα ἔτι ἀθυμό-
τερον καθιστάναι, ἀλλὰ μᾶλλον πρὸς θεραπείαν τε

1. *καὶ ἱππασίμῳ* H: *καὶ ἐν ἱππασίμῳ M* ‖ 3. *πηλοῖς* C: *δηλοις M* (*πήλοις* cod. C) ‖ 4. *εἶναι δὲ* — 5. *περιοδείας* H: *ἐὰν δὲ — περιοδεύωσι M* (*ἔνιοι δὲ — περιοδεύουσιν* C) ‖ 5. *τὰ ἔξω* H: *εἰς τὰ ἔξω M* ‖ 6. *ἔχειν* — 8. *προγεγραμμένα* inclusi; hausta sunt ex XXII 12 ‖ 9. *ἐν ὑποψίᾳ δ' ὄντων ἀλλήλοις χρὴ τὰς* T: *ἐν ὑποψίᾳ ὄντων ἀλλήλοις χρὴ δὲ τὰς M* ‖ 10. *τοὺς* C: *τὰς M* ‖ 11. *τὸ* ante *στράτευμα* addidit H | *κεκακοπαθήκῃ* T: *κεκακοπάθηκεν M* ‖ 12. *λειφθὲν* C: *ληφθὲν M* ‖ 13. *ἐκ* ante *τραυμάτων* addidit C ‖ 14. *ἀθυμῇ* C: *ἀθυμεῖ M* ‖ 15. *τε ᾖ* C: *τε ἢ M* | *τῶν* ante *πολεμίων* addidit H ‖ 16. *τὰς περιοδείας* scripsi cf. XXII 26: *τὰς περιόδους M* (*τοὺς περιόδους* T) ‖ 17. *ἐν ⟨δὲ⟩ τοῖς* T: *ἐν τοῖς M* | *πυκνά* Hertlinus: *πυκνάς M* | 22. Post *καθιστάναι* in *M* est *εἰκὸς δὲ ὅταν εὑρεθῇ αἰσχρόν τι ποιῶν ἀθυμεῖν*: deleuit H (defendit Sauppius)

9 καὶ ἀνάληψιν αὐτῶν τραπέσθαι. [καὶ περιόδους ἐν τοῖς
τοιούτοις καιροῖς ἐκ πλείονος χωρίου καταδήλους εἶναι προσιόν-
τας τοῖς φύλαξι φωνοῦντάς τι πόρρωθεν, ὅπως ἂν ἐγερθῇ ἐὰν
καθεύδῃ ὁ προφύλαξ, καὶ παρασκευάσηται ἀποκρίνεσθαι τὸ ἐρω-
10 τώμενον.] ἄριστον δὲ αὐτὸν τὸν στρατηγὸν ἐν τοῖς
τοιούτοις καιροῖς ἐπιμελῶς ἑκάστοτε περιοδεύειν μετὰ
ἀπολέκτων ἀνδρῶν. [ὑπεναντίως δὲ τούτοις διακειμένου τοῦ
11 στρατεύματος ἐπισπερχεστέρως τοὺς φύλακας ἐξετάζειν.] ἐφο-
δεύειν τε τὸν στρατηγὸν μηδέποτε τὴν αὐτὴν ὥραν
ἀλλ' ἀεὶ διαλλάσσοντα, ἵνα μὴ προειδότες σαφῶς ἐκ
πολλοῦ χρόνου τὴν ἄφιξιν τοῦ στρατηγοῦ οἱ στρα-
12 τιῶται ταύτην μάλιστα τὴν ὥραν φυλάσσωσιν. ἀπο-
δέχονται δέ τινες καὶ τόδε ἐπαγγελλομένων τινῶν
καὶ κελευόντων. τὸν πολίταρχον, ἐὰν μὴ θέλῃ πε-
ριοδεύειν διὰ φόβον τινὰ ἢ ἀρρωστίαν, θέλῃ δὲ εἰ-
δέναι τὸν μὴ φυλάσσοντα καθ' ἑκάστην φυλακήν,
13 τάδε ποιεῖν χρή. λαμπτῆρα εἶναι προσυγκείμενον
πᾶσι τοῖς ἐπὶ τῷ τείχει φύλαξι, πρὸς ὃν πάντες ἀνταί-
ροῦσιν οἱ προφύλακες· αἱρέσθω δὲ ἐκ τόπου ὅθεν
14 πάντες ὄψονται οἱ ἐπὶ τῷ τείχει φύλακες. ἐὰν δὲ
μὴ ὑπάρχῃ τοιοῦτος τόπος, παρασκευασθήτω ἔκ τινων
ὕψος ὡς μέγιστον. ἔπειτα ἀπὸ τούτου αἱρέσθω λαμ-

1. καὶ περιόδους — 4. τὸ ἐρωτώμενον (§ 9) inclusi | τοὺς ante περιόδους adiecit C ‖ 2. χωρίου deleuit H ‖ 4. ἀποκρίνεσθαι M (ἀποκρίνασθαι H) ‖ 6. ἑκάστοτε H: ἕκαστον M | μετὰ ἀπολέκτων ἀνδρῶν H: μετὰ τῶν αὐτῶν ἀποδεκτων ἀνδρῶν M (μετὰ τῶν αὐτῶν ἀπολέκτων ἀνδρῶν C: μετὰ τῶν αὐτῷ ἀπολέκτων ἀνδ. T) ‖ 7. ὑπεναντίως — 8. ἐξετάζειν inclusi | ὑπεναντίως C: ὑπεναντίοις M | τοῦ cod. Cas.: deest in M ‖ 10. ἀεὶ διαλλάσσοντα Hauptius: ἰδίᾳ λαμβάνοντα M | προειδότες T: προιδόντες M ‖ 15. Pro φόβον scribi uult νόσον H ‖ 17. λαμπτῆρα H: λαμπτῆρας M ‖ 18. πρὸς ὃν H: καὶ πρὸς ὃν M (λαμπτῆρας — καὶ ἕνα πρὸς ὃν T) | ἀνταροῦσιν Meinekius: ἀνταίρουσιν M ‖ 19. αἱρέσθω Hertlinus: ἀειρέσθω M ‖ 20. οἱ ἐπὶ τῷ τείχει φύλακες H: οἱ ἐπὶ τοῦ τείχους φύλακες M ‖ 21. τοιοῦτος Hertlinus: ὁ τοιοῦτος M

πτήρ, καὶ πρὸς τοῦτον ἀνταίρεσθαι τοὺς ἄλλους καθ' ἕνα ἕκαστον ἀφ' ἑκάστου φυλακείου. ἔπειτα ἀριθμεῖσθαι, καὶ οὕτως εἰδέναι εἰ πάντες ἦραν οἱ προφύλακες ἢ ἐξέλιπέ τις τὴν φυλακήν.

Τοὺς δὲ περὶ πόλιν ἢ στρατόπεδον ἐξαίφνης θο- 27
ρύβους καὶ φόβους γενομένους νυκτὸς ἢ μεθ' ἡμέραν,
ἅπερ ὑπό τινων καλεῖται πάνεια (ἔστι δὲ τὸ ὄνομα
Πελοποννήσιον καὶ μάλιστα Ἀρκαδικόν), ταῦτ' οὖν
τινες κελεύουσι καταπαύειν θέλοντας αὐτὰ * * προ- 2
συγκεῖσθαι τοῖς ἐν τῇ πόλει σημεῖον, ὃ ἰδόντες γνώ-
σονται ὅτι ἐστὶ πάνειον· ἔστω δὲ πυρσός τις προ-
συγκείμενος ἐπὶ χωρίου εὐκατόπτου πᾶσιν εἰς δύνα-
μιν τοῖς ἐν τῇ πόλει. ἄριστον δὲ παρηγγέλθαι, καθ' 3
οὓς ἂν τῶν στρατιωτῶν γένηται ⟨ὁ⟩ φόβος, κατὰ χώραν
τε ἠρεμεῖν καὶ ἀναβοᾶν παιᾶνα, [ἢ λέγειν ὅτι εἴη πά-
νειον, καὶ τὸν ἀκούοντα ἀεὶ τῷ πλησίον παραγγέλλειν]. καθ' 4
οὓς ἂν ⟨οὖν⟩ τοῦ στρατεύματος μὴ ἀντιπαιανίζωσιν,
εἰδέναι κατὰ τούτους τὸν φόβον ὄντα. ἐὰν δέ τι ὁ
στρατηγὸς φοβερὸν αἴσθηται, τῇ σάλπιγγι σημαίνειν·
οὕτω δ' ἔσται γνωστὸν ὅτι ἐστί τι πολέμιον. μάχης

4. *ἐξέλιπέ τις τὴν φυλακήν* H in Herm. V p. 284 coll. Polyaen. I 40: *ἐκλείπει τις τῶν φυλάκων M* ‖ 5. *στρατόπεδον* H: *στρατόπεδα M* ‖ 8. *ταῦτ' οὖν τινες κελεύουσι καταπαύειν θέλοντας αὐτὰ * ** Sauppius, ratus excidisse *τοιάδε ποιεῖν* uel simile quid: *ταῦτ' οὖν τινες κελεύουσι καταπάνειν* (*καταπαύειν* cod. Cas.) *θέλοντες αὐτά M* (*τοιόνδε τινὲς κελεύουσι καταπαύειν θέλοντες αὐτά* H) ‖ 10. *σημεῖον ὃ ἰδόντες γνώσονται ὅτι* H: *σημεῖα δ' ἰδόντες γνώσονται γνώσονται δὲ ὅτι M* (*σημεῖα δι' ὧν γνώσονται ὅτι* C, *σημεῖα ἃ ἰδόντες γνώσονται ὅτι* T) ‖ 11. *ἐστιν M* | *ἔστω δὲ πυρσός τις προσυγκείμενος ἐπὶ χωρίου* H: *ἔστω δὲ αἰσθήσονται πυρός τι προσυγκείμενον ἐπιχώρου M* (*ἔστω δὲ ὃ αἰσθήσονται πυρός τι* etc. T) ‖ 12. *εὐκατόπτου* T: *ἐκκατόπτου M* ‖ 13. *παρηγγέλθαι* Hertlinus: *προπαρηγγέλθαι M* ‖ 14. *ὁ* addidit H ‖ 15. *ἢ λέγειν* — 16. *παραγγέλλειν* inclusi | Pro *εἴη* scripsit H *ἐστὶ* ‖ 16. *τῷ* cod. Cas.: *τὸν M* ‖ 17. *ἂν ⟨οὖν⟩* Meierus: *ἂν M* | *ἀντιπαιανίζωσιν* Meierus: *ἀντιπαιανίζουσιν M* ‖ 20. *οὕτω δ' ἔσται γνωστὸν* H: *τοῦτο δ' ἔστω γνωστὸν M* | *ἔστι τι πολέμιον* H: *εἴη τὸ πολέμιον M*

δὲ γενομένης καὶ νικηθέντων ὡς τὰ πολλὰ γίγνονται
φόβοι, ἐνίοτε μὲν καὶ ἡμέρας, νυκτὸς δὲ καὶ πάνυ.
5 ὡς οὖν ἧσσόν τι τοιοῦτο γένηται, χρὴ εἰς τὴν νύκτα
παρηγγέλθαι τοῖς στρατιώταις πᾶσι παρὰ τὰ ὅπλα
6 εἶναι ὡς μάλιστα, ὡς ἐσόμενόν τι περὶ αὐτούς. προ-
ειδότων οὖν εἰκός ἐστιν, ἐάν τι γένηται, μὴ ἀπροσ-
δοκήτοις προσπεσεῖν, μηδὲ ὑπὸ φόβων ἐξαπιναίων
7 ταράσσεσθαι καὶ ἀπόλλυσθαι. Εὐδαμίδας δέ, ὁ Λα-
κώνων ἁρμοστὴς ἐπὶ Θρᾴκης, ἐπεὶ αὐτῷ πυκνὰ ἐγί-
γνοντο ἐν τῷ στρατεύματι τὰς νύκτας φόβοι, καὶ οὐκ
ἐδύνατο ἄλλῳ τρόπῳ παῦσαι, τοιόνδε παρήγγειλεν
8 εἰς ⟨τὴν⟩ νύκτα. ὅταν τις θόρυβος γίγνηται, ἀνακαθίζειν
πάντας εὐθὺς παρὰ τὰ ὅπλα ἐν τῇ εὐνῇ, ἀνίστασθαι
δὲ μηδένα ὀρθόν· ἂν δέ τις ἴδῃ τινὰ ὀρθόν, ὥσπερ
9 πολεμίῳ τῷ ἀναστάντι χρῆσθαι. πρὸς δὲ τούτοις, ὅπως
ἀληθῶς τὸ παράγγελμα μετὰ φόβου ᾖ, γενομένου τινὸς
θορύβου ἐπλήγη τις τῶν σπουδαιοτέρων ἀνδρῶν οὐχὶ
θανατηφόρως, τῶν δὲ φαύλων τινὲς ὥστε καὶ ἀποθανεῖν.
10 συμβάντος δὲ τούτου ὑπήκουσάν τε οἱ ἄνθρωποι, καὶ
εὐλαβούμενοι ἐπαύσαντο τῶν τε θορύβων καὶ τοῦ
περιδεῶς ἐξανίστασθαι ἐκ τῶν κοιτῶν. ἐπαύθη δὲ

1. *γίνονται M* ‖ 2. Ante *νυκτὸς* in *M* est *καὶ*: deleuit Meinekius ‖ 3. *ὡς οὖν ἧσσόν τι τοιοῦτο γένηται, χρὴ* H: *ὥστε οὖν ἧσσόν τις τοιοῦτον γενέσθαι χρὴ M* ‖ 4. *παρὰ* T: *κατὰ M* ‖ 5. *προειδότων* H: *προειδότες M* ‖ 6. *γένηται* C: *γίνηται M* ‖ 8. *Εὐδαμίδας* (cf. Xen. Hell. V 2, 24. Diod. XV 21) Arn. Schaeferus Philol. XXXI 185: *Εὐφράτας M* ‖ 9. *πυκνὰ M*: *πυκνοὶ* malit H *ἐγίνοντο M* ‖ 11. *ἐδύνατο* H: *ἠδύναντο M* (*ἠδύνατο* Meierus) 12. *τὴν* ante *νύκτα* inseruit H | *γίνηται M* ‖ 13. *πάντας* H: *αὐτοὺς M* | *παρὰ τὰ ὅπλα* H: *πρὸς τὰ ὅπλα M* ‖ 14. Post *τινὰ ὀρθὸν* in *M* est *παρήγγειλεν ἐν πᾶσιν*: expunxit H ‖ 15. *ἀναστάντι* H: *ἐπαναστάντι M* | Post *χρῆσθαι* in *M* est *διὰ γὰρ τὸν φόβον τοῦ παραγγελθέντος οὐδένα ἂν ᾤετο ἀμνημονήσειν*: deleuit H ‖ 16. *ἀληθῶς* H: *ἀληθὲς M* | *μετὰ φόβου ᾖ, γενομένου* T: *μετὰ φόβου ἡγεμόνος M* ‖ 18. *θανατηφόρως* cod. Cas.: *θανατηφόρον M* *τινὲς* C: *τινὰ M* ‖ 20. *εὐλαβούμενοι* cod. C: *εὐλαβουμένου M*

καὶ τοιῷδε τρόπῳ. στρατοπέδῳ θορυβουμένῳ νυκτὸς 11
κηρύξας σιγὴν ὁ κῆρυξ ἀνήγγειλε τὸν μηνύσαντα τὸν
ἀφέντα τὸν ἵππον, ⟨ὃν⟩ διώκοντας θορυβηθῆναι ** χρὴ 12
δ', ἵνα μή τι τοιοῦτον ἐν ταῖς νυξὶ πάσχῃ τὸ στρά-
τευμα, καθ' ἑκάστην φυλακὴν καθεστάναι ⟨ἀφ'⟩ ἑκά-
στου λόχου ἢ τάξεως ἐπὶ τοῖς κέρασι καὶ ⟨ἐν⟩ τοῖς
μέσοις ἄνδρα, ὃς προσέξει τὸν νοῦν, ὅπως ἐάν τινα
αἴσθηται ἐκ τοῦ ὕπνου ἢ ἄλλως ἀρχόμενον θορυβεῖν,
εὐθὺς παρὼν καθέξει καὶ κωλύσει αὐτόν. τοῦ δὲ 13
ἄλλου πλήθους ἀπὸ συσσιτίου ἑκάστου ἄνδρα παρα-
φυλάσσειν, ὅπως, ἐάν τις φόβος γένηται, οὗτοι εἰδότες
τοὺς ματαίους φόβους καταπαύσωσι τοὺς παρ' αὑτῷ
ἕκαστος. αὐτὸν δὲ θορυβεῖν νυκτὸς τὸ τῶν ἐναντίων 14
στράτευμα δαμάλεις τὰς ἀγελαίας μετὰ κωδώνων ἀφ-
ιέντα εἰς τὸ στρατόπεδον καὶ ἄλλα ὑποζύγια, οἶνον
ποτίσαντα. [γενομένης δὲ ἡμέρας τοὺς φύλακας μὴ ἀφ- 15
ιέναι ἐκ τῶν φυλακείων πρὶν ἂν τὰ ἔξω προερευνηθέντα ἐμφα-

---

2. σιγὴν C: σιγῇ M ‖ 3. ἀφέντα τὸν ἵππον C: ἀφεθέντα ἵππον M | ⟨ὃν⟩διώκοντας Sauppius: διώκειν M (δι' ὃν καὶ C) | Post θορυβηθῆναι asteriscos fecerunt T. Lacunam ex Xen. An. II 20 expleuit Sauppius sic: τάλαντον ἀργυρίου λήψεσθαι ‖ 4. ἵνα μή τι H: ἄν τι M ‖ 5. ⟨ἀφ'⟩ ἑκάστου H: ἑκάστου M ‖ 6. ⟨ἐν⟩ τοῖς μέσοις H: τοῖς μέσοις M ‖ 7. ἄνδρα ὃς προσέξει τὸν νοῦν, ὅπως ἐάν τινα αἴσθηται scripsi: ἂν ἄρα σοι προσέξωσιν ὅπως ἐάν τινα αἰσθάνωνται M (ἄνδρας οἳ προσέξουσιν, ὅπως, ἐάν τινα αἰσθάνωνται cum Haasio T — in proximis εὐθύ⟨τις⟩ παρὼν καθέξει T, ἄνδρα ὡς οἷόν τε προσεκτικὸν ὅς, ἐάν τινα αἴσθηται etc. H ‖ 8. ἄλλως T: ἄλλω M | ἀρχόμενον Hertlinus: ἐρχόμενον M ‖ 9. εὐθὺς H: εὐθὺ M | αὐτόν Meinekius: αὐτίκα M ‖ 11. οὗτοι H: οὗτοι δὲ M ‖ 12. παρ' αὑτῷ T: παρ' αὐτῷ M ‖ 13. αὐτὸν δὲ θορυβεῖν cf. XXXV M: αὐτὸς δὲ θορυβήσεις H, qui postea ἀφιεὶς et ποτίσας | νυκτὸς Kirchhoffius: νοστος M ‖ 14. ἀφιέντα Sauppius: ἀφιέντες M ‖ 16. ποτίσαντα T: ποτίσας M | γενομένης δὲ ἡμέρας — pg. 60, 3. διατελῶσιν inclusi, quae huc non pertinere etiam Sauppius uidit. γενομένης δὲ ἡμέρας τοὺς φύλακας μὴ ἀφιέναι H: γενομένης δὲ ἡμέρας χρὴ τοὺς φύλακας εὐθὺ ἀφιέναι M (χρὴ τοὺς φύλακας οὐκ εὐθὺ ἀφιέναι C, χρὴ μὴ τοὺς φύλακας εὐθὺ ἀφιέναι T) ‖ 17. πρὶν ἂν Meinekius:

νισθῇ καθαρὰ ὄντα πολεμίων· καὶ ἀπιέναι τοὺς ἀπὸ τῶν φυλακείων μὴ ἅμα πάντας ἀλλὰ κατὰ μέρη, ὅπως ἀεί τινες ἐπὶ τοῖς φυλακείοις διατελῶσιν.]

28 *Προνοεῖσθαι δὲ καὶ τάδε ἐν φόβῳ οὔσης ⟨τῆς⟩
πόλεως. πύλας τὰς μὲν ἄλλας κεκλεῖσθαι, μίαν δὲ
ἀνεῷχθαι ᾗ ἂν δυσπροσοδώτατον ᾖ τῆς πόλεως, καὶ
ἐπὶ πλεῖστον ἀπ' αὐτῆς μέλλωσιν ὁρᾶσθαι οἱ πρόσ-
2 *ιόντες. καὶ ἐν ταύτῃ ἐκτομάδα ⟨εἶναι⟩, ἵνα σώματα*
ἀνθρώπων δι' αὐτῆς ἐξίῃ καὶ εἰσίῃ καθ' ἕν· οὕτω
γὰρ ἂν ἥκιστά τις λανθάνοι αὐτομολῶν ἢ κατάσκοπος
3 *εἰσιών, ἐάνπερ γε ᾖ ὁ πυλωρὸς φρόνιμος. ⟨πᾶσαν⟩*
δὲ ἀνοίγεσθαι ὑποζυγίων ἕνεκα καὶ ἁμαξῶν καὶ ⟨ἄλ-
λων⟩ ἀγωγίμων ἐπισφαλές. καὶ ἐάν τι δέῃ εἰσενέγ-
κασθαι σίτου ἢ ἐλαίου ἢ οἴνου ἢ τῶν ὁμοτρόπων
τούτοις ἁμάξαις ἢ σωμάτων πλήθει, ταῦτα χρὴ κατὰ
*τὰς ἐγγυτάτω πύλας εἰσκομίζειν, **† καὶ ἐὰν τάχιστα*
4 *καὶ ῥᾷστα εἰσκομισθείη. τὸ δ' ὅλον μὴ ἀνοίγεσθαι*
πρῴ τὰς πύλας ἀπροσκέπτως ἀλλ' ὀψιαίτερον, ἔξω τε

πρίν ἤ ‖ 1. *καθαρὰ ὄντα* Hertlinus: *καὶ καθαρὰ εἶναι M* | Post *καὶ* in *M* est *οὕτω*: expunxit H | *φυλακείων* C: *φυλάκων M* ‖ 2. *ἅμα πάντας* Meinekius: *ἅπαντας M* ‖ 4. *τῆς* ante *πόλεως* addidi ‖ 7. *αὐτῆς* Hertlinus: *αὐτῶν M* | *μέλλωσιν* Meierus: *μέλλουσιν M* ‖ 8. *καὶ ἐν ταύτῃ ἐκτομάδα ⟨εἶναι⟩ ἵνα* H: *καὶ ἐν ταύτῃ ἐκτομάδα ἵνα M* (*καὶ ⟨εἶναι⟩ ἐν ταύτῃ ἐκτομάδα ἵνα* T) Post *σώματα* in *M* est *μὲν*: expunxit H ‖ 9. *δι' αὐτῆς* Iul. African. XLIX et ex eo H: *κατὰ τὴν ἐκτομάδα πυλίδα M* | *καθ' ἓν* H: *καθ' ἕνα M* (*ἓν καθ' ἓν* Iul. Afr.) ‖ 10. *λανθάνοι* Meierus, *λανθάνῃ M* ‖ 11. *φρόνιμος* H coll. I 4, III 4, V 1, XV 3: *νοηρος M* (*νοήμων* C, *νοερὸς* T) | *πᾶσαν δὲ* H: *δὲ M* (*πᾶν δὲ* Iul. Afric.) ‖ 12. *ἕνεκα* H: *ἕνεκεν M* | *ἄλλων ἀγωγίμων* Iul. Afric.: *ἀγωγίμων M* ‖ 13. *ἐπισφαλὲς* C: *ἐπισφα M* ‖ 14. Post *ἢ οἴνου* in *M* est *ἐν τάχει*: expunxit H ‖ 15. *πλήθει* Iul. Afr.: *πάθη M* | *ταῦτα* C: *ταῦτα δὲ M* ‖ 16. *ἐγγυτάτω* H: *ἐγγυτάτας M* | *εἰσκομίζειν* H: *κοιμίζειν M* | Post *εἰσκομίζειν* asteriscos fecit H: ex Iulii Africani uerbis *προεξιόντος στρατεύματος* lacunam esse explendam statuens hoc fere modo: *προεξιόντος μέρους τῶν πολιτῶν* | *καὶ ἐὰν M* uerba corrupta (*ἵνα ὡς* T, *καὶ οὕτως ἂν* H) ‖ 18. *πρῴ* Meinekius: *πρωὶ M*

μηδένα ἀφίεσθαι πρὶν ἂν ἐξερευνηθῇ τὰ περὶ τὴν
πόλιν, ἔτι τε μηδὲ πλοῖα κατ' αὐτὰς ὁρμίζεσθαι ἀλλ'
ἀπωτέρω, ὡς ἤδη γε καὶ ἡμέρας πολλαὶ πράξεις
ἀνοιχθεισῶν ἀμφοτέρων πυλῶν γεγόνασιν ἀπὸ τεχνα-
σμάτων καὶ προφάσεων τοιῶνδε [ἐφ' ἑνὸς ἔργου πολλὰ
παραπλησίως τούτῳ πραχθέντα]. *Πύθων μὲν ὁ Κλαζομέ-* 5
νιος, καὶ τῶν ἐν τῇ πόλει τινῶν συνεθελόντων, τη-
ρήσας ἐπιμελῶς τὸ ἡσυχαίτατον τῆς ἡμέρας, ἁμά-
ξαις ἐκ παρασκευῆς πίθους εἰσαγούσαις κατέλαβε
Κλαζομενὰς ⟨μενουσῶν⟩ τῶν ἁμαξῶν ἐν ταῖς πύλαις,
καθ' ἃς ξένοι προϋπῆρχον κρυφαίως οὐ πόρρω τῆς
πόλεως [τοὺς μὲν τῶν πολιτῶν λαθόντες, τοὺς δὲ φθάσαντες,
τινὰς δὲ τῶν ἔσω συνεργοὺς ἔχοντες κατέσχον τὴν πόλιν].
Ἰφιάδης δὲ ⟨ὁ⟩ Ἀβυδηνός, [κατὰ Ἑλλήσποντον] *καταλαμ-* 6
βάνων Πάριον ἄλλα τε περὶ τὴν ἀνάβασιν νυκτὸς
ἐπὶ τὸ τεῖχος λάθρᾳ παρεσκευάσατο, καὶ ἁμάξας πλη-
ρώσας φρυγάνων καὶ βάτων παρέπεμψε πρὸς τὸ τεῖχος,
ἤδη τῶν πυλῶν κεκλειμένων, ὡς τῶν Παριανῶν οὔσας·
[ἔτι ἐγγὺς ἐλθοῦσαι πρὸς τὰς πύλας ηὐλίζοντο, ὡς φοβούμεναι

---

1. *πρὶν ἂν* Iul. Afr.: *πρὶν ἢ M* | *ἐξερευνηθῇ* O: *ἐξερευνήσῃ M* (*ἐξερευνήσῃς* T) ‖ 2. *μηδὲ* Iul. Afr.: *μήτε M* | *κατ' αὐτὰς* Iul. Afr.: *κατὰ ταύτας M* ‖ 3. *ἡμέρας* Iac. Gronouius: *ἡμέραι M* ‖ 4. *ἀπὸ τεχνασμάτων* Meinekius: *ἐπιτεχνασμάτων M* (*ἐπὶ τεχν.* Co. O) ‖ 5. *ἐφ' ἑνὸς* — 6. *πραχθέντα* inclusi (*δηλώσω* excidisse ante *ἐφ' ἑνὸς* putauit C, ibidem *ἃ* add. T, ut lacuna esset post *πραχθέντα*) ‖ 6. In *M* ante *πύθων* paucarum litterarum spatium relictum est ‖ 8. *ἐπιμελῶς* H: *τελέως M* | *ἡσυχαίτατον* H: *ἡσυχότατον M* (*ἡσυχώτατον* T) ‖ 10. *⟨μενουσῶν⟩ τῶν ἁμαξῶν ἐν ταῖς πύλαις* scripsi: *ἐν ταῖς πύλαις τῶν ἁμαξῶν M* (*⟨μενουσῶν⟩ ἐν ταῖς πύλαις τῶν ἁμαξῶν* C) ‖ 11. *ξένοι προϋπῆρχον* scripsi (coll. XXIV 8: *ἐφ ἃς — παρῆσαν*): *ξένων προϋπαρχόντων M* (*ξένοι προϋπάρχοντες* malit H) ‖ 12. *τοὺς μὲν* — 13. *τὴν πόλιν* inclusi ‖ 14. *δὲ* T: *τε M* | *ὁ* addidit H | *κατὰ Ἑλλήσποντον* inclusi H suadente ‖ 16. *ἐπὶ τὸ τεῖχος* H: *ἐπὶ τοῦ τείχους M* ‖ 18. *κεκλειμένων* H: *κεκλεισμένων M* | *οὔσας* Hertlinus: *οὔσας τὰς ἁμάξας M* ‖ 19. *ἔτι ἐγγὺς* — pg. 62, 1. *πολεμίους* inclusi (pro *ἔτι* coniecerunt C: *αὗται*, T: *αἳ ἔτι*, Meinekius *εἶτα*. — Herchero *ὡς φοβούμεναι πολεμίους* absurda uisa

7 πολεμίους.] ἃς ἔδει ἐν καιρῷ τινι ὑφαφθῆναι, ἵνα αἱ
πύλαι ἐμπρησθῶσι καὶ πρὸς τὸ σβεννύειν τῶν Πα-
ριανῶν ὁρμησάντων αὐτὸς κατὰ ἄλλον τόπον εἰσέλθῃ.
29 Περὶ δὲ τῶν εἰσκομιζομένων εἰς τὴν πόλιν ἀγ-
2 γείων τε καὶ φορημάτων νῦν δηλωθήσεται. ἅπερ
εὐλαβεῖσθαι δεῖ καὶ μὴ ἀφροντίστως αὐτῶν ἔχειν,
καὶ μάλιστα τὸν πυλωρὸν ἔν τισι καιροῖς, ὅταν ἔξω-
3 θέν τι ἢ ἔσωθεν φοβερὸν ᾖ. ἐξοίσω δὲ παραδείγματος
ἕνεκα ἐπὶ πρᾶξιν εἰσηγμένα. κατελήφθη γὰρ πόλις
ἔσωθέν τινων συνεθελόντων, ἐν ἑορτῇ πανδήμῳ τρόπῳ
4 τοιῷδε. πρῶτον μὲν τοῖς προενδημήσασι ξένοις καὶ
τῶν πολιτῶν τοῖς ἀνόπλοις τε καὶ συνεργοῖς εἰς τὸ
μέλλον ἐσομένοις εἰσεκομίσθησαν θώρακες λινοῖ καὶ
σπολάδες καὶ περικεφαλαῖαι [ὅπλα] κνημῖδες μάχαιραι
τόξα τοξεύματα ἐν κιβωτοῖς ὡς φορταγωγοῖς κατε-
σκευασμέναις, ὡς ἱματίων ἐνόντων καὶ ἄλλων ἀγω-
5 γίμων, ἅσπερ οἱ ἐλλιμενισταὶ ἀνοίξαντες καὶ ἰδόντες

---

sunt). Ad ἃς ἔδει cf. XXXI 2: παρ' ὃν ἔδει ‖ 3. Post εἰσέλθῃ in *M* est δοκεῖ δέ μοι συναγαγόντα δηλωτέον ἵνα δὴ φυλάσσησθε καὶ ἐν οἷς καιροῖς ἕκαστα ἵνα τις μηδὲν εὐήθως ἀποδέχηται: deleuit H ‖ 5. Post φορημάτων in *M* est ενοισ ἀντικρυφαιονενίοισ ἤδη πόλισ καὶ ἡ ἀκρόπολισ κατελήφθη, ex quibus Turicenses haec eruerunt: ἐν οἷς ἄν τι κρυφαῖον ἐνῇ. ὡ ἐνίοις ἤδη πόλις καὶ ἀκρόπολις κατελήφθη: expunxit H ‖ 8. Post ᾖ in *M* est: ἔστιν δέ οἱ προσεκτέον εἰσκομιζομένοις: expunxit H | δὲ C: δὲ καὶ *M* ‖ 9. ἕνεκα H: ἕνεκεν *M* | ἐπὶ πρᾶξιν εἰσηγμένα scripsi conf. § 11: ἐπὶ πράξει γεγενημένα *M* (τὰ ἐπὶ τοιαύτῃ πράξει γεγενημένα T, ἐπὶ Θρᾳκὶ γεγενημένα· κατελήφθη γὰρ Ἀμφίπολις Meinekius Brasidam spectari censens) 10. συνεθελόντων T: συνθελόντων *M* ‖ 11. Post ξένοις in *M* est ἐπὶ τὸ μέλλον: expunxit H ‖ 12. τῶν πολιτῶν cod. Cas.: πολιτῶν *M* | Post συνεργοῖς uocem εἰς τὸ μέλλον inseruit H, Iulium Africanum L secutus qui ἐπὶ τὸ μέλλον post ξένοις (11) omissum hoc loco exhibet ‖ 14. σπολάδες H: στολίδια *M* | περικεφαλαῖαι T: περικεφαλαῖα *M* | ὅπλα inclusi suadente H; idem in proximis malit καὶ κνημῖδες καὶ μάχαιραι καὶ τόξα καὶ τοξεύματα ‖ 15. κατεσκευασμέναις H: κατεσκευασμένα *M* ‖ 17. ἅσπερ H: ἅπερ *M* | ἰδόντες ἱμάτια μόνον scripsi: ἰδόντες ὡς ἱμάτια μό-

μάτια μόνον κατεσημήναντο, μέχρι τιμήσαιντο οἱ
ἰσαγαγόντες. καὶ ταῦτα μὲν ἐτέθη ἐγγὺς τῆς ἀγορᾶς, 6
ὅπου ἔδει· ἐν δὲ ταρσοῖς καὶ ῥιψὶ καὶ ἱστίοις ἡμι-
φάντοις δοράτια καὶ ἀκόντια ἐνειλημένα εἰσηνέχθη,
καὶ ἐτέθη ὅπου ἕκαστα συνέφερεν ἀνυπόπτως· ἐν δ'
ἄγγεσιν ἀχύρων καὶ ἐρίων πέλται καὶ μικρὰ ἀσπίδια
ἐν τοῖς ἐρίοις καὶ ἀχύροις κεκρυμμένα, καὶ ἄλλα
εὐογκότερα ἐν σαργάναις ἀσταφίδος καὶ σύκων πλή-
ρεσιν, ἐγχειρίδια δὲ ἐν ἀμφορεῦσι πυρῶν καὶ ἰσχά-
δων καὶ ἐλαῶν. [εἰσηνέχθη δὲ ἐγχειρίδια καὶ ἐν σικυοῖς πέ- 7
ποσι γυμνά, ἀπεωσμένα κατὰ τοὺς πυθμένας εἰς τὸ σπέρμα τῶν
σικυῶν.] *ὁ δὲ τῆς ἐπιβουλῆς ἡγεμὼν εἰσηνέχθη ἐν*
φρυγάνων φορήματι. νυκτὸς δὲ γενομένης ἀθροισθέν- 8
των τῶν ἐπιθησομένων καὶ τηρησάντων τὸν καιρόν,
ἐν ᾧ μάλιστα οἰνωμένοι ἦσαν οἱ ἄλλοι, πρῶτον μὲν
τὸ φόρημα ἐλύθη, καὶ ἐξ αὐτοῦ ὁ ἡγεμὼν ἕτοιμος
† *ἦν· ἔπειτα ἄλλοι μὲν αὐτῶν τοὺς ταρσοὺς ἐξείλισσον,*

νον M (*ὡς ἱμάτια μόνον* deleuit H) ‖ 1. *τιμήσαιντο* H: *τιμήσονται M* ‖ 3. *ῥιψὶ* H (cf. XXXVII 9): *ῥιποῖς M* (*ῥίποις* T) | *ἱστίοις* T: *ἱστοῖς M* ‖ 7. *ἀχύροις* C: *ἀχύρες M* ‖ 10. *ἐλαῶν* Meinekius: *ἐλαιῶν M* | *εἰσηνέχθη* — 12. *σικυῶν* inclusi ‖ 11. *ἀπεωσμένα* C: *ἀπεω ὠ ενα M* (*ἐωσμένα* H) ‖ 12. *ὁ δὲ τῆς ἐπιβουλῆς ἡγεμὼν* H ex Iul. Afric.: *ὁ δ' ἐπιβουλεύων τε καὶ ἡγεμὼν M* ‖ 12. Ante *εἰσηνέχθη* in *M* est *ἔξωθεν*: expunxit Th. Mommsenus ‖ 13. *νυκτὸς δὲ γενομένης ἀθροισθέντων τῶν ἐπιθησομένων καὶ τηρησάντων τὸν καιρόν* scripsi: *νυκτὸς δὲ γενομένης καὶ ἀθροισθέντων τῶν ἐπιθησομένων ἕκαστος ὃν ἔδει τηρήσαντες καιρὸν M* (*νυκτ. γιν. καὶ ἀθρ. τ. ἐ. ἑκάστου ὃν ἔδει τηρήσαντος τὸν καιρὸν* T, *ἑκάστου τηρήσαντος τὸν καιρὸν* omisso *ὃν ἔδει* H; — cf. *καιρὸν τηρήσαντες* XXIII 3 et 5) ‖ 15. Post *οἱ ἄλλοι* in *M* est: *κατὰ τὴν πόλιν οἱ δὲ ἐν ἑορτῇ*: expunxit H ‖ 16. *καὶ ἐξ αὐτοῦ ὁ ἡγεμὼν ἕτοιμος ἦν M* uerba corrupta, *ἀναφανεὶς* excidisse putat Meinekius, *ἐξ αὐτῆς* pro *ἐξ αὐτοῦ* coniecit M. Schmidt ut esset *αὐτίκα*; ego coniecerim *ᾔει* (*ᾔειν*) uel *ἦλθεν* pro corrupto *ἦν* ‖ 17. *ἐξειλίσσον* Meinekius: *ἐξέλισσον M* | Post *ἐξειλίσσον* in *M* legitur *πρὸς τὰς λήψεις τῶν δοράτων καὶ ἀκοντίων*: deleuit H

ἕτεροι δὲ τὰ ἄγγη τῶν ἀχύρων καὶ ἐρίων ⟨ἐξεκέ-
νουν⟩, οἳ δὲ τὰς σαργάνας ἀνέτεμνον, ἄλλοι δὲ τὰς
κιβωτοὺς ἀνοίγοντες τὰ ὅπλα ἐξῄρουν, οἳ δὲ τοὺς
ἀμφορέας συνέτριβον, ἵνα ταχεῖα ἡ λῆψις τῶν ἐγχει-
9 ριδίων γένοιτο. [ἅμα δὲ ταῦτα καὶ οὐ πόρρω ὄντα ἀλλήλων
ἐπορσύνετο ἀπὸ σημείου τοῦ ἐν τῇ πόλει ταῖς ἔξω φάλαγξι γε-
10 νομένου.] ὁπλισθέντες δ' ἕκαστοι τοῖς προσήκουσιν
ὅπλοις οἳ μέν τινες αὐτῶν ἐπὶ πύργους ὥρμησαν
καὶ πύλας καθ' ἃς καὶ ⟨τοὺς⟩ ἄλλους προσεδέχοντο,
οἳ δὲ ἐπὶ τὰ ἀρχεῖα καὶ τὰς ⟨τῶν⟩ ἐναντίων οἰκίας,
11 οἱ δὲ ἄλλοι ἄλλων τόπων εἴχοντο. εἰς δὲ ὁμοίαν
πρᾶξιν τῇ εἰρημένῃ δεόμενοί τινες ἀσπίδων ἐπεὶ
οὐδενὶ ἄλλῳ τρόπῳ ἐδύναντο ἑτοιμάσασθαι οὐδὲ εἰσ-
αγαγέσθαι, πλῆθος οἰσυίων καὶ ἐργάτας ἅμα τούτων
12 εἰσηγάγοντο. καὶ ἐν μὲν τῷ φανερῷ ἄλλα ἀγγεῖα
ἔπλεκον, ἐν δὲ ταῖς νυξὶν ἀσπίδας, αἷς ὄχανα προσ-
ετίθεσαν σκύτινα καὶ ξύλινα. ἀλλὰ μὴν οὐδὲ τῶν
κατὰ θάλατταν προσορμιζομένων πλοίων νυκτὸς καὶ
ἡμέρας οὔτε μεγάλων οὔτε μικρῶν ἀδιασκέπτως ἔχειν.

---

1. ἕτεροι Meinekius: ἕτερος *M* | ἐξεκένουν inseruit H (ἀνέλυον uel κατήγνουν Meinekius) ‖ 2. ἀνέτεμνον H: ἀνέτεμον *M* ‖ 5. ἅμα δὲ ταῦτα — 6. γενομένου inclusi a barbaro homine scripta, qui tamen in extr. uerbis scripsisse uidetur ταῖς ἔξω φάλαγξι γενομένου: καὶ ὡς φάλαγξι γινόμενον *M* (ἅμα δὲ καὶ ταῦτα οὐ πόρρω ὄντα ἀλλήλων ἐπορσύνετο ἀπὸ σημείου του ἐν τῇ πόλει, καὶ ἡ ἔξω φάλαγξ ⟨ξυνεῖδε τὸ⟩ γινόμενον T) 7. ὁπλισθέντες C: ὁπλισθέντας *M* ‖ 8. Post ὥρμησαν in *M* est καταλαβεῖν: expunxit H ‖ 9. τοὺς ἄλλους Iul. Afric.: ἄλλους *M* 10. τὰς ⟨τῶν⟩ ἐναντίων οἰκίας T: τὰς ἐναντίας οἰκίας *M* (τὰς ἐναντίων οἰκίας C) ‖ 11. εἰς δὲ ὁμοίαν πρᾶξιν τῇ εἰρημένῃ H: εἰς δὲ ὁμοίας πράξεις τῶν εἰρημένων *M* ‖ 14. πλῆθος οἰσυίων Sauppius: ὅπλα, οισοιὼν *M* (ὅπλα, οἰσύας C) | τούτων Hertlinus et Bursianus: οὕτως *M* (τούτῳ Sauppius) ‖ 16. ἐν δὲ ταῖς νυξὶν ἀσπίδας Hauptius: ἐν δὲ ταῖς νυξὶν ὅπλα περικεφαλαίας καὶ ἀσπίδας ἔπλεκον *M* | προσετίθεσαν Meinekius: περιετίθεσαν *M* ‖ 17. σκύτινα C: συκινα *M*

ἀλλὰ ἐμβαίνοντας τοὺς λιμενοφύλακάς τε καὶ ἀπο-
στολέας ἰδεῖν αὐτοὺς τὰ ἀγώγιμα, ἐνθυμουμένους ὅτι
καὶ Σικυώνιοι ἀμελήσαντες τῶν τοιούτων μεγάλα
ἐσφάλησαν.

Προνοεῖν δὲ καὶ τὰ ἐπὶ πράσει εἰσαγόμενα καὶ 30
εἰς τὴν ἀγορὰν ἐκτιθέμενα ὅπλα τά τε ἐπὶ τῶν κα-
πηλείων καὶ παντοπωλείων, ὅπως μηδενὶ ἕτοιμα ᾖ
τῶν βουλομένων νεωτερίζειν· εὔηθες γὰρ τῶν μὲν 2
ἀφικνουμένων ἀνδρῶν παραιρεῖσθαι τὰ ὅπλα, ἐν δὲ
τῇ ἀγορᾷ καὶ ταῖς συνοικίαις ὑπάρχειν σωράκους τε
ἀσπιδίων καὶ ἐγχειριδίων κιβώτια * *

Ἐπιστολῶν δὲ κρυφαίων παντοῖαι μέν εἰσι πέμ- 31
ψεις, αἳ δὲ λανθάνουσαι μάλιστα τοιαίδε ἂν εἶεν.
εἰς φορτία ἢ ἄλλα σκεύη ἐνεβλήθη βιβλίον ἢ ἄλλο 2
τι γράμμα τὸ τυχὸν καὶ μεγέθει καὶ παλαιότητι. ἐν
τούτῳ δὲ ἐγέγραπτο ἡ ἐπιστολὴ ἐπιστιζομένων γραμ-
μάτων <τοῦ πρώτου στίχου> ἢ δευτέρου ἢ τρίτου,
ἐπιστιγμαῖς δὲ ἐλαχίσταις καὶ ἀδηλοτάταις. εἶτα

---

2. *ἰδεῖν* Iul. Afr. XLIX: *εἰδέναι M* (*δεῖ ἰδεῖν* T) | *αὐτοὺς* Iul. Afr.: *αὐτοῖς M* ‖ 7. Post *παντοπωλείων* in *M* est *ἀθροισθέντων πλῆθός τι γένοιτο*: deleuit H (*ὧν ἀθροισθ.* etc. C, *μὴ ἀθρ.* etc. Haasius) | *μηθενὶ M* ‖ 10. *συνοικίαις* H: *συνοικίας ἀθρόα M* | *σωράκους* C: *συρακους M* ‖ 11. Post *κιβώτια* legitur in *M*: *διὸ δεῖ τὰ εἰσαφικνούμενά τε καὶ ἠθροισμένα μὴ ἐκφέρεσθαί τε εἰς τὴν ἀγορὰν καὶ νυκτερεύειν ὅπου ἂν τύχῃ ἀλλὰ πλὴν δείγματος τὸ ἄλλο πλῆθος ἐκτίθοιτό τις εἶναι δημοσίᾳ κρίνειν*: deleuit H, qui putat haec effinxisse interpolatorem ex ueris Aeneae uerbis. Asteriscos igitur posuit ‖ 12. *ἐπιστολῶν δὲ κρυφαίων παντοῖαι μέν εἰσι πέμψεις* expunctis ceteris H: *περὶ δὲ ἐπιστῶν κρυφαίων παντοῖαι μέν εἰσιν αἱ πέμψεις, προσυγκεῖσθαι δὲ τῷ πέμψαντι καὶ δεχομένῳ ἰδίᾳ M* ‖ 13. *λανθάνουσαι μάλιστα M* (*μάλ. λανθάνουσαι* H) | Post *εἶεν* in *M* est *ἐπέμφθη ἐπιστολὴ ὧδε*: expunxit H ‖ 14. *βιβλίον ἢ ἄλλο τι γράμμα* Meinekius: *βυβλίον ἢ ἄλλο τι δράμα M* (*δρᾶμα ἢ ἄλλο τι βιβλίον* Meierus) ‖ 16. *ἐγέγραπτο* Hertlinus: *γέγραπται M* ‖ 17. *τοῦ πρώτου στίχου* inserui ‖ 18. Post *ἀδηλοτάταις* in *M* est *πλὴν τῷ πεμπομένῳ*: expunxit H

ἀφικομένου τοῦ βιβλίου παρ' ὃν ἔδει, ἐξεγράφετο καὶ
τὰ ἐπισεσημασμένα γράμματα τιθεὶς ἐφεξῆς τὰ ἐκ
τοῦ πρώτου στίχου καὶ δευτέρου καὶ τὰ ἄλλα ὡσαύ-
8 τως, ἐγνώριζε τὰ ἐπισταλέντα. ὀλίγα δ' ἄν τις θέ-
λων ἐπιστεῖλαι καὶ τόδε ποιήσειε παρόμοιον τούτῳ.
ἐπιστολὴν γράψαντα περί τινων φανερῶς ἐν πλείοσιν
ἐν ταύτῃ τῇ ἐπιστολῇ τὸ αὐτὸ ποιεῖν ἐπισημαινόμε-
νον γράμματα, δι' ὧν ἐμφανῆ ἔσται ἅπερ ἂν βούλῃ.
4 τὴν δὲ ἐπισημασίαν εἶναι ὡς ἀδηλοτάτην. * * πεμ-
πέσθω ἀνὴρ ἀγγελίαν φέρων τινὰ ἢ καὶ ἐπιστολὴν
περὶ ἄλλων φανερῶς. τοῦ δὲ μέλλοντος πορεύεσθαι
κρύφα αὐτοῦ εἰς τὸ τῶν ὑποδημάτων πέλμα ἐντε-
θήτω βιβλίον καὶ ἐγκαταρραπτέσθω, πρὸς δὲ τοὺς
πηλοὺς καὶ τὰ ὕδατα εἰς κασσιτέρου ἐλασμὸν λεπτὸν
γραφέσθω· ἀφικομένου δὲ παρ' ὃν δεῖ, καὶ ἀναπαυο-
μένου ἐν τῇ νυκτί, ἀναλυέτω τὰς ῥαφὰς τῶν ὑπο-
δημάτων, καὶ ἐξελὼν καὶ ἀναγνοὺς ⟨καὶ⟩ ἄλλα γράψας
⟨καὶ⟩ λάθρᾳ ἔτι καθεύδοντος ἐγκαταρράψας ἀποστελλέτω
5 τὸν ἄνδρα, ἀντεπιστείλας φανερῶς. οὕτως οὖν οὔτε

---

1. βυβλίου *M* | παρὸν *M* | ἔδει Hertlinus: δεῖ *M* ‖ 3. ὡς αὕτως *M* ‖ 5. τόδε H: ὧδε *M* | ποιήσειε H: ποιῆσαι *M* ‖ 6. γράψαντα T: γράψας *M* ‖ 8. γράμματα δι' ὧν Kirchhoffius: γράμματα δὲ ὅτε *M* | ἐμφανῆ ἔσται ἅπερ ἂν βούλῃ scripsi: ἐμφανῆ ὥσπερ ἐν βούλλῃ *M* (ἐμφανιεῖς ἅπερ ἂν βούλῃ Kirchhoffius) ‖ 9. ἀδηλοτάτην Hertlinus: ἀδηλωτάτην *M* | Post ἀδηλωτάτην legitur in *M* ἐπιστιγμαῖς διὰ πολλοῦ ἢ γραμμαῖς παραμήκεσιν ἃ τοῖς μὲν ἄλλοις μηδεμίαν ὑπόνοιαν ἕξει τῷ δὲ πεμπομένῳ γνωστὴ ἔσται ἡ ἐπιστολή: deleuit H | Asteriscos posuit H ‖ 11. φανερῶς T: φανερῶν *M* | τοῦ δὲ μέλλοντος *M*: μέλλοντος δὲ H in minore editione ‖ 12. κρύφα αὐτοῦ H: κρυφαίως αὐτοῦ *M* ‖ 13. Post ἐντεθήτω in *M* est εἰς τὸ μεταξὺ: expunxit H | βυβλίον *M* | ἐγκαταρραπτέσθω H: καταρραπτέσθω *M* ‖ 14. εἰς κασσιτέρου ἐλασμὸν λεπτὸν H: εἰς κασσίτερον ἠλασμένον λεπτὸν *M* (ἐληλασμένον Meinekius) ‖ 15. Post γραφέσθω in *M* est πρὸς τὸ μὴ ἀφανίζεσθαι ὑπὸ τῶν ὑδάτων τὰ γράμματα: expunxit H | παρὸν *M* ‖ 17. ⟨καὶ⟩ ἄλλα γράψας ⟨καὶ⟩ T: ἄλλα γράψας *M* ‖ 18. Post καθεύδοντος in *M* est καὶ: deleuerunt T ‖ 19. ἀντεπιστείλας

ἄλλος οὔτε ὁ φέρων εἰδήσει· χρὴ δὲ τὰς ῥαφὰς τῶν
ὑποδημάτων ὡς ἀδηλοτάτας ποιεῖν. εἰς Ἔφεσον δ' 6
εἰσεκομίσθη γράμματα τρόπῳ τοιῷδε. ἄνθρωπος ἐπέμ-
φθη ἐπιστολὴν ἔχων ⟨ἐν⟩ φύλλοις γεγραμμένην, τὰ δὲ
φύλλα ⟨ὡς⟩ ἐφ' ἕλκει καταδεδεμένα ἦν ἐπὶ κνήμην.
εἰσενεχθείη δ' ἂν γραφὴ καὶ ἐν τοῖς τῶν γυναικῶν 7
ὠσὶν ἔχουσιν ἀντ' ἐνωτίων ἐλασμοὺς λεπτοὺς μολιβδί-
νους. ἐκομίσθη δὲ ἐπιστολὴ περὶ προδοσίας εἰς στρα- 8
τόπεδον ἀντικαθήμενον ὑπὸ τοῦ προδιδόντος ὧδε.
τῶν ἐξιόντων ἱππέων ἐκ τῆς πόλεως εἰς προνομὴν
ἑνὶ ἐγκατερράφη ὑπο τὰ πτερύγια τοῦ θώρακος βι-
βλίον· τούτῳ ἐντέταλτο, ἐάν τις ἐπιφάνεια τῶν πο-
λεμίων γένηται, πεσεῖν ἀπὸ τοῦ ἵππου ὡς ἄκοντα
καὶ ζωγρηθῆναι, παραγενόμενον δ' ἐν τῷ στρατο-
πέδῳ ἀποδοῦναι τὸ βιβλίον ᾧ ἔδει. ὑπηρέτησε δ' 9
ἀδελφὸς ἀδελφῷ. ἄλλος δὲ ἱππέα ἐκπέμπων εἰς
τὴν ἡνίαν τοῦ χαλινοῦ βιβλίον ἐνέρραψεν. κομίζεται

T: *ἀποστείλας M* (*ἀνταποστείλας* Iul. Afr. LII). Sequitur in *M* *καὶ δούς τε* (*τι*) *φέρειν*: deleuit H (defendit Sauppius) ‖ 4. *ἐν φύλλοις* Hertlinus et H coll. § 2, 14, 33; *φύλλοις M* (*φύλλοις ἐγγεγρ.* Meinekius) ‖ 5. *ὡς* ante *ἐφ' ἕλκει* addidit H ‖ 7. *ἔχουσιν* T: *ἐχούσαις M* | *ἐλασμοὺς λεπτοὺς μολιβδίνους* H: *ἐνειλημένοις λεπτοῖς μολιβδίνοις M* (*ἐχουσῶν — ἐν εἰλυμένοις λ. μ.* C, *ἐλασμοὺς ἐνειλημένους λεπτοὺς μολιβδίνους* T) ‖ 9. Post *ἀντικαθήμενον* in *M* est *πολέμιον*: expunxit H ‖ 10. Post *εἰς προνομὴν* in *M* est *τῶν πολεμίων*: expunxit H ‖ 12. *τούτῳ* (uel *τούτῳ δ'*) scripsi: *ἐν ᾧ M* (*ᾧ* C) ‖ 14. *παραγενόμενον δ'* scripsi: *καὶ γενομένου δ' M* (*παραγενομένου δ'* C) ‖ 15. *ἀποδοῦναι* scripsi: *ἀποδοθῆναι M* | *βυβλίον M* | *ᾧ* C: *ὡς M* | *ἔδει* Hertlinus: *δεῖ M* | *ὑπηρέτησε δὲ ἀδελφὸς ἀδελφῷ* H: *ὑπηρέτησεν δὲ ἱππεὺς ἀδελφὸς ἀδελφὸν M* (*ὑπηρέτησε δὲ ἱππεὺς ἀδελφὸς ἀδελφῷ* Kirchhoffius. Fort. *ὑπηρέτησε δ' ⟨ὁ⟩ ἱππεὺς ἀδελφὸς ⟨ὢν⟩ ἀδελφῷ*) ‖ 17. *βυβλίον M* | *ἐνέρραψεν* C: *ἐνέγραψεν M*. Sequuntur in *M* haec: *ἐγένετο δὲ περὶ ἐπιστολὴν τοιόνδε. πόλεως γὰρ πολιορκουμένης ἐπεὶ παρῆλθεν ἔσω τῆς πόλεως ὁ κομίζων τὰς ἐπιστολὰς τῷ μὲν προδιδόντι καὶ προσέφερεν οὐκ ἀποδίδωσιν πρὸς δὲ τὸν ἄρχοντα τῆς πόλεως ἦλθεν μηνύων καὶ τὰς ἐπιστολὰς ἐδίδου ὁ δ' ἀκούσας ἐκέλευεν ταύτας μὲν*

10 δὲ καὶ ὧδε. κύστιν ἰσομεγέθη ληκύθῳ φυσήσαντα
καὶ ἀποδήσαντα σφόδρα ξηρᾶναι, ἔπειτα εἰς αὐτὴν
γράψαι ὅ τι ἂν βούλῃ μέλανι κατακόλλῳ. ξηραν-
11 θέντων δὲ τῶν γραμμάτων ἐξελεῖν τὴν πνοὴν τῆς
κύστιδος καὶ συμπιέσαντα εἰς τὴν λήκυθον ἐνθεῖναι·
τὸ δὲ στόμα τῆς κύστιδος ὑπερεχέτω τοῦ στόματος
12 τῆς ληκύθου. ἔπειτα φυσήσαντα τὴν κύστιν, ἵνα
διευρυνθῇ ὡς μάλιστα, ⟨καὶ⟩ ἐλαίου ἐμπλήσαντα
περιτεμεῖν τῆς κύστιδος τὸ ὑπερέχον τῆς ληκύθου καὶ
προσαρμόσαι τῷ στόματι ὡς ἀδηλότατα, καὶ βύσαντα
τὴν λήκυθον κομίζειν φανερῶς. διαφανές τε οὖν τὸ
ἔλαιον ἔσται ἐν τῇ ληκύθῳ, καὶ οὐδὲν ἄλλο φανεῖται
13 ἐνόν. ὅταν δὲ ἔλθῃ παρ' ὃν δεῖ, ἐξεράσας τὸ ἔλαιον
ἀναγνώσεται, ⟨καὶ⟩ φυσήσας τὴν κύστιν καὶ ἐκσπογγί-

τὰς ἐπιστολὰς οἷς ἔφερεν ἀποδοῦναι τὰ (τὰς C) δὲ παρ' ἐκείνων εἰ ἀληθές τι μηνύει παρ' αὐτὸν ἐνεγκεῖν καὶ ὁ μηνύων ταῦτ' ἔπραξεν. ὁ δὲ ἄρχων λαβὼν τὰς ἐπιστολὰς καὶ ἀνακαλεσάμενος τοὺς ἀνθρώπους τὰ σημεῖά τε ἐδείκνυεν τῶν δακτυλίων ἅπερ ὡμολόγουν αὐτὸν (αὐτῶν T) εἶναι καὶ λύων τὰ βιβλία ἐδήλου τὸ πρᾶγμα. τεχνικῶς δὲ δοκεῖ φωράσαι ὅτι τὰς πεμπομένας παρὰ τοῦ ἀνθρώπου ὅτι καὶ ἔλαβεν (οὐ κατέλαβε T) ἦν γὰρ αὐτοῖς ἀρνηθῆναι καὶ φάσκειν ἐπιβουλεύεσθαι ὑπό τινος τὰς δ' ἀνταποστελλομένας λαβὼν ἂν ἀντιλεπτως (ἀναντιλέκτως cod. C) ἤλεγξεν: expunxit H | Post κομίζεται δὲ existimat ἐπιστολὴ uocem excidisse H | In proximis cum Turicensibus ubique obliquam orationem restitui, et Aeneae consuetudinem et codicum plura testimonia secutus (Hercherus rectam fecerat) ‖ 1. Post ληκύθῳ in *M* est: ὁπόση ἀντιβούλει πρὸς τὸ πλῆθος τῶν γραφησομένων: expunxit H | φυσήσαντα καὶ ἀποδήσαντα T: φυσήσας καὶ ἀποδήσας *M* ‖ 2. ξηρᾶναι *M*: ξηρανεῖς H | εἰς αὐτὴν H: ἐπ' αὐτῆς *M* ‖ 3. γράψαι *M*: γράψεις H | βούλῃ Meierus: βούλει *M* ‖ 4. ἐξελεῖν T: ἔξελε *M* 5. συμπιέσαντα T: συμπιέσαντας *M* (συμπιέσας C) | ἐνθεῖναι *M*: ἔνθες H ‖ 7. στόματος T: πώματος *M* | φυσήσαντα T: φυσήσας *M* | Post τὴν κύστιν in *M* est ἐν τῇ ληκύθῳ ἐνοῦσαν: deleuit H ‖ 8. διευρυνθῇ Gronouius: διερυνθῇ *M* | καὶ ante ἐλαίου addiderunt T | ἐμπλήσαντα περιτεμεῖν *M*: ἐμπλήσας περιτεμεῖς H ‖ 10. προσαρμόσαι *M*: προσαρμόσεις H | βύσαντα *M*: βύσας H ‖ 11. κομίζειν *M*: κομιεῖς H ‖ 14. καὶ ante φυσήσας addidit H

σας καὶ κατὰ ταὐτὰ εἰς αὐτὴν γράψας ἀνταποστελ-
λέτω. ἤδη δέ τις ἐν δέλτου ξύλῳ γράψας κηρὸν ἐπέ- 14
τηξε, καὶ ἄλλα εἰς τὸν κηρὸν ἐνέγραψεν. εἶτα ὅτε
ἦλθε παρ᾽ ὃν ἔδει, ἐκκνήσας τὸν κηρὸν καὶ ἀναγνοὺς
ὁμοτρόπως ἀντεπέστειλεν. γράφοιτο δ᾽ ἂν καὶ εἰς 15
πινάκιον ἡρωϊκὸν ἅπερ ἂν βούλῃ. ἔπειτα καταλευ-
κῶσαι καὶ ξηράναντα γράψαι ἱππέα φωσφόρον ἢ ὅ
τι ἂν βούλῃ, μάλιστα μὲν λευκὸν [καὶ τὸν ἵππον λευ-
κόν]· *εἰ δὲ μή, καὶ ἄλλῳ χρώματι, πλὴν μέλανος.*
ἔπειτα δοῦναί τινι ἀναθεῖναι ἐγγὺς τῆς πόλεως εἰς
ἱερὸν ὃ ἂν τύχῃς συνταξάμενος. ὃν δὲ δεῖ ἀναγνῶ- 16
ναι τὰ γεγραμμένα, χρὴ ἐλθόντα εἰς τὸ ἱερὸν καὶ
γνόντα τὸ πινάκιον συσσήμῳ τινὶ προσυγκειμένῳ,

---

1. *εἰς αὐτὴν* H: *εἰς τὴν αὐτὴν M* | *ἀνταποστελλέτω* scripsi: *ἀποστελλέτω M* ‖ 2. *τις* C: *τινες M* | *ἐν δέλτου ξύλῳ* H ex Herod. VII 239: *ἐν δέλτῳ ἐνξύλῳ M* (*ἐν ξύλῳ* solum Sauppius) | *ἐπέτηξε* C: *ἐπέθηκε M* ‖ 3. *ὅτε ἦλθε* Iul. Afr. LIII: *ὅταν ἔλθῃ M* ‖ 4. *παρὸν M* | *ἔδει* Meierus: *δεῖ M* | *ἐκκνήσας* T: *ἐκκνίσας M* ‖ 5. *ὁμοτρόπως ἀντεπέστειλεν* H: *γράψας πάλιν ὡσαύτως ἀπέστειλεν M, ὁμοιοτρόπως ἀνταπέστειλεν* Iul. Afr. | Post *ἀπέστειλεν* in *M* est *λέγεται δὲ καὶ εἰς πυξίον γράψαντα μέλανι ὡς βελτίστῳ ἐὰν ξηρανθῆναι ἔπειτα λευκώσαντα ἀφανίζειν τὰ γράμματα· ὅταν οὖν ἀφίκηται παρὰ τὸν πεμπόμενον, λαβόντα εἰς ὕδωρ θεῖναι τὸ πυξίον. φανεῖται οὖν ἐν τῷ ὕδατι ἀκριβῶς πάντα τὰ γεγραμμένα*: deleuit H | *γράφοιτο M*: *γράφοις* H ‖ 6. *πινάκιον ἡρωϊκὸν M.* Pro *ἡρωικὸν* alii alia coniecerunt: *γραφικὸν* C, *ζωγραφικὸν* Meierus, *ἱερατικὸν* T, *κεραμικὸν* Benndorfius, *ἀκήρωτον* H. Conieci ego: *εἰκονικόν*, quod per itacismum facile in *ἡρωικὸν* poterat abire: *πίνακες εἰκονικοὶ* picturae, quae in templis conlocantur, adpellatae sunt in inscriptione Rangabé antiquit. II 777 — *ναῷ εἰκονικῶν πινάκων* — *στῆσαι αὐτοὺς εἰς τὴν στοάν, καὶ ἀφελεῖν ὅσα ἀνάξια τοῦ ἱεροῦ, καὶ εἰς τὸν λοιπὸν χρόνον μετατιθέναι μηθὲν ἐν τῷ ναῷ.* Sed fortasse nil mutandum | *βούλῃ* Meierus: *βούλει M* ‖ 8. *βούλῃ* Meierus: *βούλει M* | *μάλιστα μὲν* Sauppius: *ἱματισμὸν M* | *καὶ τὸν ἵππον λευκὸν* inclusi: orta esse uidetur haec interpolatio postquam *μάλιστα μὲν* in *ἱματισμὸν* abierat. (Sauppius totum locum sic scripsit: *μάλιστα μὲν γλαυκὸν ἢ καὶ ὑπόλευκον*) ‖ 10. *εἰς ἱερὸν ὃ ἂν τύχῃς συνταξάμενος* H: *εἰς ὃ ἐὰν τύχῃ ἱερὸν ὡς εὐξόμενος M* (*εἰς ὃ ἂν τύχῃ ἱερόν, ὡς εὐξάμενον* Meierus) ‖ 11. *ὃν* Meinekius: *ὅσον M*

ἀπενέγκαντα εἰς οἶκον θεῖναι εἰς ἔλαιον. πάντα οὖν
17 τὰ γεγραμμένα φανεῖται. ⟨ἡ⟩ πασῶν δὲ ἀδηλοτάτη ⟨μὲν⟩
πέμψις πραγματωδεστάτη δὲ νῦν μοι ἐμφανισθήσεται·
ἔστι δὲ τοιάδε. ⟨εἰς⟩ ἀστράγαλον εὐμεγέθη τρυπῆσαι
⟨τρυπήματα⟩ εἴκοσι καὶ τέτταρα, ἓξ εἰς ἑκάστην πλευ-
ρὰν τοῦ ἀστραγάλου· ἔστω δὲ τὰ τρυπήματα τοῦ
ἀστραγάλου ⟨τὰ στοιχεῖα. διαμνημονεύειν⟩ δὲ ἀφ' ἧς
ἂν πλευρᾶς ἄρξηται τὸ ἄλφα, καὶ τὰ ἐχόμενα ἅπερ ἐν
ἑκάστῃ γέγραπται. μετὰ δὲ ταῦτα, ὅταν τινὰ θέλῃς
ἐν αὐτοῖς τίθεσθαι λόγον, λίνον διείρειν. ⟨οἷον⟩ ἐὰν
θέλῃς *AINEIAN* δηλοῦν τῇ διέρσει τοῦ λίνου, ἀρξά-
μενος ἐκ τῆς πλευρᾶς τοῦ ἀστραγάλου ἐν ᾗ τὸ ἄλφα
ἐστί, παρελθὼν τὰ ἐχόμενα τούτου γράμματα, ὅταν
ἔλθῃς εἰς ⟨τὴν⟩ πλευρὰν οὗ τὸ ἰῶτά ἐστι, δίειρον
πάλιν, παρεὶς δὲ τούτου τὰ ἐχόμενα, ὅπου συμβαίνει
τὸ ν̄ εἶναι, ⟨δίειρον⟩ καὶ πάλιν παρεὶς τὰ ἐχόμενα
τούτου, ὅπου ⟨τὸ⟩ ει̅ ἐστί, δίειρον τὸ λίνον, καὶ οὕτω
τὰ ἐπίλοιπα τοῦ λόγου *IAN* γράφων ἔνειρον εἰς τὰ

2. ⟨ἡ⟩ πασῶν δὲ ἀδηλοτάτη ⟨μὲν⟩ πέμψις πραγματωδεστάτη δὲ Sauppius: πασῶν δὲ ἀδηλοτάτη πέμψις πραγματωδεστάτη δὲ *M* (πέμψις δὲ πασῶν μὲν ἀδηλοτάτη πρ. δὲ H) ‖ 3. νῦν μοι ἐμφανισθήσεται H: νῦν μοι διὰ γραμμάτων ἐμφανισθήσεται *M* (διὰ γραμμάτων νῦν μοι ἐμφανισθήσεται Co. O) ‖ 4. εἰς addid. T ‖ 5. τρυπήματα inseruit H ex Iulio Afr. LII ‖ 7. τὰ στοιχεῖα διαμνημόνευε δὲ ex Iul. Africano inseruerunt T, de suo τὰ addentes: *M* pro his solum δ̅ habet. Ceterum etiam in hoc exemplo olim fuisse orationem obliquam puto, quare διαμνημονεύειν scripsi ‖ 8. ἄρξηται ex Iul. Afr. T: ἄρξῃ *M* (ἄρχηται malit H) ‖ 10. λίνον T: λίνω *M* | διείρειν C: διαιρεῖν *M*: δίειρον H | οἷον inseruerunt T ‖ 11. θέλῃς *AINEIAN* H: ελήδινηαλὶ *M* (θέλῃς Co. O; *AINEIAΣ* Haasius) | τῇ T: ἐν τῇ *M* | διέρσει C: διαιρέσει *M* ‖ 13. ἐστίν *M* | τούτου γράμματα H: τούτων παραγράμματα *M* (τοῦ ἰῶτα γράμματα Iul. Afr.) ‖ 14. ἔλθῃς Iul. Afr.: ἔλθῃ *M* | τὴν addidit H | οὗ τὸ ἰῶτα Iul. Afr.: ὀντο τω τα *M* | διεῖρον *M* ‖ 16. τὸ ν̄ εἶναι Co. O: τονεῖναι *M* | δίειρον post εἶναι inseruit ex Iul. Africano C ‖ 17. τὸ ante ει addiderunt T | ει̅ ἐστι Haasius: ἔνεστιν *M* | διεῖρον *M* ‖ 18. τὰ ἐπίλοιπα τοῦ λόγου *IAN* γράφων scripsi: τὰ ἐπίλοιπα τοῦ λόγου ἀντιγράφων *M*

τρυπήματα, † ὥσπερ αρτίαιμὲθα ὄνομα. ἔσται οὖν 19 περὶ τὸν ἀστράγαλον ἀγαθὶς λίνου πεποιημένη, δεήσει δὲ ⟨τὸν⟩ ἀναγιγνώσκοντα ἀναγράφεσθαι εἰς δέλτον τὰ δηλούμενα γράμματα ἐκ τῶν τρυπημάτων. ἀνάπαλιν δὲ γίγνεται ἡ ἐξαίρεσις τῇ ἐνέρσει. διαφέρει δὲ οὐδὲν τὰ γράμματα ἀνάπαλιν γραφῆναι εἰς ⟨τὴν⟩ δέλτον· οὐδὲν γὰρ ἧττον ἀναγνωσθήσεται. καταμαθεῖν δὲ πλεῖον ἔργον ἐστὶ τὰ γεγραμμένα ἢ τὸ ἔργον αὐτὸ γενέσθαι. εὐχερέστερον δ' ἂν τούτου γίγνοιτο ⟨τόδε⟩. 20 ξύλου ὡς σπιθαμιαίου τρυπηθέντος ὅσα γε τὰ στοιχεῖα τῶν γραμμάτων, ἔπειτα ὡσαύτως ἐνείρειν τὸ λίνον εἰς τὰ τρυπήματα. ὅταν δ' εἰς τὸ αὐτὸ τρύπημα συμβῇ δὶς ἐνείρεσθαι, ὥστε τὸ αὐτὸ γράμμα δὶς ἐφεξῆς γράφεσθαι, προπεριελίξαντα τὸ λίνον περὶ τὸ ξύλον ἐνείρειν. γίγνοιτο δ' ἂν καὶ ὧδε. ἀντὶ τοῦ ἀστραγάλου καὶ ξύλου ποιήσαντα κύκλον ξύλινον λεᾶναι, 21 καὶ τρυπῆσαι ἐφεξῆς κύκλῳ τὰ στοιχεῖα τῶν γραμμάτων τὰ τέτταρα καὶ εἴκοσι, ὑποψίας δ' ἕνεκα καὶ

(ἀεὶ γράφων T, τὰ ἐπίλοιπα τοῦ λόγου παντὸς γράφων Sauppius) ‖ 1. ὥσπερ αρτίαιμὲθα ὄνομα *M* uerba nondum sanata (ὥσπερ ἄρτι ἐπιθέμεθα ὄνομα T, ὥσπερ ὃ ἄρτι ἐθέμεθα ὄνομα Sauppius, ἕως ἂν περάνῃς τὸ ὄνομα H). Fortasse legendum: ὥστε περᾶναι ὃ ἐθέμεθα ὄνομα quamquam post ἐπίλοιπα superflua uidentur) ‖ 2. πεποιημένη H: πεμπομένη *M* | δεήσει Hertlinus: δεήσεται *M* ‖ 3. τὸν ex Iulio Afr. inseruerunt T | ἀναγινώσκοντα *M* ‖ 5. γίνεται *M* | ἐξαίρεσις C: ἐξίεσις *M* (ἔξεσις Schneiderus, ἐξείλησις Haasius, ἐξέλιξις H) | ἐνέρσει C: ἐνέρξει *M* ‖ 6. τὴν ante δέλτον add. H ‖ 7. ἀναγνωσθήσεται H: γνωσθήσεται *M* ‖ 8. πλεῖον O: πλεῖστον *M* ‖ 9. εὐχερέστερον H: εὐπρεπέστερον *M* | τούτου scripsi: τοῦτο *M* (ταύτῃ H) | τόδε addidi ‖ 10. σπιθαμιαίου cod. Cas.: σπιθαμαίου *M* | γε C: τε *M* ‖ 12. ὅταν δ' H: ὅπου δ' ἂν *M* ‖ 13. ὥστε H: ὥσπερ *M* ‖ 15. ἐνείρειν *M*: ἐνεῖραι uult H | γίνοιτο *M* ‖ 16. ποιήσαντα Hertlinus: ποιήσας *M* (ποιῆσαι addito καὶ post ξύλινον H) ‖ 17. τρυπῆσαι H: τρῆσαι *M* ‖ 18. τὰ τέτταρα cod. Cas.: τέτταρα *M* | ἕνεκα H: ἕνεκεν *M*

ἄλλα ἐν μέσῳ τοῦ κύκλου τρυπῆσαι, ἔπειτα οὕτω εἰς
22 *τὰ στοιχεῖα ἐφεξῆς ὄντα τὸ λίνον ἐνεῖραι. ὅταν δὲ*
δὶς τὸ αὐτὸ γράμμα συμβῇ γράφεσθαι, εἴς τι τῶν
ἐν μέσῳ τρυπημάτων προενείραντα εἰς τὸ αὐτὸ γράμμα
23 *ἐνεῖραι·* [γράμμα δὲ λέγω τὸ τρύπημα]. *ἤδη δέ τινες*
εἰς βιβλίον γράψαντες ὡς λεπτότατον μακροὺς στίχους
καὶ λεπτὰ γράμματα, ἵν' ὡς εὐογκοτάτη γένηται ἡ
ἐπιστολή, εἶτα ἐπὶ ᾤας χιτωνίσκου ἐπιθέντες καὶ ἐπι-
πτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν ἀνύποπτον ἐποίη-
σαν τὴν κομιδὴν τῆς ἐπιστολῆς [καὶ ἐνδεδυκότος τινὸς
24 τὸν χιτωνίσκον καὶ οὕτω φερομένου]. [μαρτύριον δὲ ὅτι τὰ
εἰσπεμπόμενα μετὰ ἐπιβουλῆς χαλεπὸν φυλάξαι. οἱ γοῦν περὶ
Ἴλιον ἄνθρωποι ἐκ τοσούτου χρόνου καὶ οὕτω διατεταμένοι οὔπω
δύνανται φυλάξαι μὴ εἰσελθεῖν αὐτοῖς τὰς Λοκρίδας, ἀλλ' οἱ
Λοκροὶ προσέχοντες τῷ λαθεῖν, λανθάνουσιν ἀν' ἔτη πολλὰ εἰσ-

---

2. *ἐνεῖραι* H: *ἐνείρειν M* ‖ 3. *συμβῇ* H: *συμβαίνει M* (*συμβαίνῃ* Meierus) | *γράφεσθαι* H: *γράφειν M* | *εἴς τι* Hertlinus: *ἐκ M* ‖ 4. *προενείραντα* H: *προενείροντα M* ‖ 5. *γράμμα — τρύπημα* inclusi: *γράμμα δὲ* H: *γράμματα δὲ M* ‖ 6. *εἰς* Iul. Afr. LIII: *εἰς τὸ M* ‖ 7. *γένηται* Iul. Afric.: *γίνηται M* ‖ 8. *εἶτα ἐπὶ ᾤας χιτωνίσκου ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν ἀνύποπτον ἐποίησαν τὴν κομιδὴν τῆς ἐπιστολῆς* H partim ex Hauptii coniectura partim ex Iul. Afric.: *εἶτα ἐπὶ τῷ ωμῳ τοῦ χιτῶνος ὑποθέντες καὶ ἀποπτύξαντες τοῦ χιτωνίσκου ἐπὶ τῷ ὤμῳ ἀνύποπτος δὴ δοκεῖ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς M* (*εἰς τὸν ἐπὶ τοῦ ὤμου τοῦ χιτωνίσκου ὑποθέντες καὶ ἀποπτύξαντες ἀνύποπτον ἐποίουν τὴν κομιδὴν τῆς ἐπιστολῆς* Iul. Afr., *εἶτα ἐπὶ τῇ ᾤᾳ τοῦ χιτῶνος ἐπιθέντες καὶ ἐπιπτύξαντες τοῦ χιτωνίσκου τὴν ᾤαν, ἀνύποπτος δὴ δοκεῖ εἶναι ἡ κομιδὴ τῆς ἐπιστολῆς* Hauptius) ‖ 10. *καὶ ἐνδεδυκότος τινὸς τὸν χιτωνίσκον καὶ οὕτω φερομένου* inclusi auctore H ‖ 11. *μαρτύριον* — 15. *εἰσάγοντες* item inclusi eodem auctore H, qui huc quidem hoc exemplum non pertinere perspexit ‖ 13. Inter *Ἴλιον* et *ἄνθρωποι* in *M* est spatium quattuor litterarum | *ἄνθρωποι ἐκ* cod. Cas.: *ἄνθρωποι καὶ ἐκ M* | *διατεταμένοι* Hertlinus: *διατεταγμένοι M* 14. Post *Λοκρίδας* in *M* est *καίτοι τοσοῦτόν ἐστιν αὐτοῖς ἡ σπουδὴ καὶ ἡ φυλακή*: expunxit H | *οἱ Λοκροὶ* Sauppius: *ὀλίγοι M* ‖ 15. *ἀν' ἔτη* Hertlinus: *ανέτεα M* | Post *εἰσάγοντες* in *M* est *σώματα*: expunxit Sauppius

ἄγοντες [σώματα]]. *παρὰ δὲ τοῖς παλαιτέροις καὶ τοιόνδε* 25
ποτὲ ἐτεχνάσθη. Ποτίδαιαν γὰρ θέλων προδοῦναι
Τιμόξενος Ἀρταβάζῳ προσυνέθεντο ἀλλήλοις ὃ *μὲν*
τῆς πόλεώς τι χωρίον ὃ *δὲ τοῦ στρατοπέδου.* [εἰς ὅπερ 26
ἐτόξευον ὅ τι ἄν τι ἤθελον ἀλλήλοις ἐμφανίσαι] † *αξετο*
δὲ τοῦ τοξεύματος περὶ τὰς γλυφίδας ἑλίξαντες τὸ
σφετέρᾳ προθυμίᾳ φιλοκινδυνότερον ἐπὶ τὰς πράξεις
ἁμιλλῶνται· 25. καὶ καθάπερ οἱ πενέστεροι τῶν εὐ-
πορωτέρων ταλαιπωρότερον ἐπὶ τὴν τοῦ βίου κτῆσιν
ὥρμηνται τὸ ἐλλεῖπον ἀναπληρῶσαι τῆς τύχης σπεύ- 22
δοντες, οὕτως, οἷς μὴ πάρεστι κληρονομουμένη πα-

τέρων ἀποχρήσασθαι δόξῃ, τὴν ἀρετὴν ἰδιόκτητον οἰκειώσασθαι προαιροῦνται.

ΚΕΦΑΛΑΙΟΝ Β.

[ΠΕΡΙ ΑΓΑΘΟΥ ΣΤΡΑΤΗΓΟΥ ΔΙΑΙΡΕΣΙΣ.]

1. Ζηλούσθω μὲν δὴ ἡμῖν ὁ στρατηγὸς ὁ ἀγαθὸς
εὐγενὴς καὶ πλούσιος, μὴ ἀποδοκιμαζέσθω δὲ πένης
μετ' ἀρετῆς, εἰ καὶ μὴ ἀπὸ λαμπρῶν. 2. αἱρεθεὶς δ'
ὁ στρατηγὸς ἔστω χρηστός, εὐπροσήγορος, ἕτοιμος,
ἀτάραχος, μὴ οὕτως ἐπιεικὴς ὥστε καταφρονεῖσθαι,
μήτε φοβερὸς ὥστε μισεῖσθαι, ἵνα μήτε ταῖς χάρισιν
ἐκλύσῃ τὸ στρατόπεδον μήτε τοῖς φόβοις ἀλλοτρι-
ώσῃ. 3. λοχαγοὺς δὲ καθιστάτω καὶ ταξιάρχους καὶ
χιλιάρχους, καὶ εἴ τινων ἄλλων ἡγεμόνων προσδεῖν
αὐτῷ δόξαι, τοὺς εὐνουστάτους τῇ πατρίδι, πιστο-
τάτους, εὐρωστοτάτους, ἔνθεν δ' οὐδὲν ἂν κωλύοι
καὶ τοὺς εὐπορωτάτους καὶ τοὺς εὐγενεστάτους·
4. οὐ γάρ, ὡς ὀλίγους αἱρουμένους στρατηγοὺς ἐκ
23 τρόπου δοκιμάσαι ῥᾷον, κἂν ἀπῇ ὁ τῶν χρημάτων
μετ' εὐγενείας ὄγκος, οὕτως που καὶ λοχαγῶν καὶ
ταξιαρχῶν πλῆθος. 5. ὅθεν τὸ μὲν εὐγενὲς ἐπὶ τού-
των προκριτέον εἰς πρόχειρον ἐν ὀξεῖ καιρῷ δοκιμα-
σίαν, τὸ δ' ἐν εὐπορίᾳ, ἐπειδὴ ἀναλῶσαί τε καὶ δοῦ-
ναι στρατιώταις οἱ ἐκ περιουσίας δυνατοί, χορηγία
δ' ἀπὸ τῶν ἡγουμένων ὀλίγη πρὸς τοὺς ὑποταττομέ-
νους εὐνούστερα παρασκευάζει τὰ πλήθη· καὶ ἀσφα-
24 λεῖς αἱ μειζόνων πίστεις πραγμάτων τοῖς περὶ πλειό-
νων κινδυνεύουσιν, εἰ μὴ πάνυ τὸ πιστόν, ὡς ἂν εἰ
στρατηγοῖ τις, ἐκ τοῦ τρόπου παρέχοιτο.

ΚΕΦΑΛΑΙΟΝ Γ.

[ΠΕΡΙ ΤΟΥ ΕΧΕΙΝ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΒΟΥΛΕΥΤΑΣ.]

1. *Αἱρείσθω δ᾽ ἤτοι συνέδρους, οἳ μεθέξουσιν αὐτῷ πάσης βουλῆς καὶ κοινωνήσουσι γνώμης αὐτοῦ οἱ τούτου ἕνεκα ἀκολουθήσοντες, ἢ ἐξ αὐτῶν τῶν ἡγεμόνων τοὺς ἐντιμοτάτους μεταπεμπόμενος συνεδρευέτω, ὡς, ἅ γέ τις ἂν ἐννοήσῃ μὲν μόνος, ὡς τὰ αὑτοῦ* 25
οὐ βεβαίως οἰκειοῦται. 2. γνώμη γὰρ ἡ μὲν ἀνεπικούρητος μονουμένη παπταίνει περὶ τὴν ἰδίαν εὕρεσιν, ἡ δ᾽ ὑπὸ τῶν πέλας ἐπιμαρτυρηθεῖσα πιστοῦται τὸ μὴ σφαλερόν. 3. οὐ μὴν ἀλλὰ μήθ᾽ οὕτως ἄστατος ἔστω τὴν διάνοιαν, ὡς αὐτὸν αὑτῷ πάμπαν ἀπιστεῖν, μήθ᾽ οὕτως αὐθάδης, ὡς μή τι καὶ παρ᾽ ἄλλῳ τοῦ παρ᾽ αὑτῷ κρεῖττον οἴεσθαι νοηθῆναι· ἀνάγκη γὰρ τὸν τοιοῦτον ἢ πᾶσι προσέχοντα καὶ μηδὲν αὑτῷ πολλὰ καὶ ἀσύμφορα πράττειν, ἢ μηδ᾽ ὀλίγ᾽ ἄλλων ἀκούοντα, πάντα δ᾽ αὑτοῦ, πολλὰ καὶ δεινὰ διαμαρτάνειν.

ΚΕΦΑΛΑΙΟΝ Δ.

[ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΙ ΤΗΝ ΑΡΧΗΝ ΤΟΥ ΠΟΛΕΜΟΥ ΕΞ ΕΥΛΟΓΟΥ ΑΙΤΙΑΣ ΕΠΑΓΕΙΝ.]

1. *Τὰς δ᾽ ἀρχὰς τοῦ πολέμου μάλιστά φημι χρῆναι φρονίμως συνίστασθαι καὶ μετὰ τοῦ δικαίου πᾶσι φανερὸν γίγνεσθαι πολεμοῦντα· τότε γὰρ καὶ θεοὶ* 26
συναγωνισταὶ τοῖς στρατεύουσιν εὐμενεῖς καθίστανται, καὶ ἄνθρωποι προθυμότερον ἀντιτάττονται τοῖς ἐναντίοις· 2. εἰδότες γάρ, ὡς οὐκ ἄρχουσιν ἀλλ᾽ ἀμύνονται, τὰς ψυχὰς ἀσυνειδήτους κακῶν ἔχοντες

ἐντελῆ τὴν ἀνδρείαν εἰσφέρονται, ὡς, ὅσοι γε νομί-
ζουσι νεμεσήσειν τὸ θεῖον ἐπὶ τῷ παρὰ τὸ δίκαιον ἐκ-
φέρειν πόλεμον, αὐτῇ τῇ οἰήσει, κἂν μή τι δεινὸν
ἀπὸ τῶν πολεμίων ἀπαντήσειν μέλλῃ, προκατορρω-
δοῦσιν. 3. διὰ τοῦτο δεῖ τὸν στρατηγόν, ὧν τε
βούλεται τυχεῖν καὶ ὧν μὴ παραχωρῆσαι, λόγῳ καὶ
27 πρεσβείαις προκαλεῖσθαι πρῶτον, ἵν' ἐν τῷ μὴ συγ-
καταβαίνειν τοῖς ἀξιουμένοις τοὺς ἐναντίους ἀνάγκῃ
δοκῇ, καὶ μὴ προαιρέσει τὴν δύναμιν ἐξάγειν πολε-
μήσουσαν, ἐπιμαρτυράμενος τὸ θεῖον, ὡς οὔτε κατα-
φρονῶν, ὧν συμβαίνει τοὺς πολεμοῦντας πάσχειν,
ἀνεμεσήτως ἔπεισιν, οὔτ' ἐκ παντὸς τρόπου τὰ δεινὰ
28 δρᾶσαι προῃρημένος τοὺς πολεμίους. 4. εἰδέναι δὲ
χρή, καθότι οὐ μόνον οἰκίας καὶ τείχους ἑδραιότερον
ὑφίστασθαι δεῖ τὸν θεμέλιον, ὡς ἀσθενοῦς γε ὄντος
συγκαταρρυησομένων καὶ τῶν ἐποικοδομουμένων,
ἀλλὰ καὶ πολέμου τὰς ἀρχὰς δεῖ κατασκευασάμενον
ἰσχυρῶς καὶ κρηπῖδα περιθέμενον ἀσφαλείας, οὕ-
τως ἐξάγειν τὰς δυνάμεις· ὧν γὰρ ἀσθενῆ τὰ πρά-
γματά ἐστιν, ἐπειδὰν οὗτοι μέγα βάρος ἀναλάβωσι
πολέμου, ταχὺ θλίβονται καὶ ὑστεροῦσιν. 5. ὅθεν,
ὥσπερ ἀγαθὸν κυβερνήτην ἐκ λιμένος ἐξαρτυσάμενον
τὸ σκάφος καὶ τὰ παρ' αὐτῷ ἅπαντα ποιήσαντα,
29 τότ' ἐπιτρέπειν χρὴ τῇ τύχῃ, ὡς αἴσχιστόν γε καὶ
σφαλερὸν ὑποδείξαντα πολέμου κίνησιν, ὥστε καὶ διὰ
θαλάττης ἤδη καὶ διὰ γῆς ἄγειν τὸ στράτευμα, κἄπειτα
πρύμναν κρούσασθαι· 6. τῆς μὲν γὰρ ἀνοίας καὶ προ-
πετείας ἕκαστος κατεγέλασεν, τῆς δ' ἀσθενείας κατ-
εφρόνησεν, οἱ δ' ἐχθροί, οἵτινές ποτ' ἂν ὦσιν, κἂν
μὴ πάθωσιν, ὡς οὐχὶ μὴ βουληθέντας ἀλλ' οὐ δυ-
νηθέντας διαθεῖναί τι δικαίως ἐμίσησαν.

ΚΕΦΑΛΑΙΟΝ Ε.

[ΠΕΡΙ ΤΟΥ ΕΞΙΛΕΟΥΣΘΑΙ ΠΡΩΤΟΝ ΥΠΕΡ ΤΩΝ ΑΜΑΡΤΙΩΝ ΤΟ ΘΕΙΟΝ Ο ΣΤΡΑΤΗΓΟΣ ΕΞΑΓΩΝ ΕΙΣ ΠΟΛΕΜΟΝ.]

Ἐξαγέτω δὲ τὰς δυνάμεις ὁ στρατηγὸς καθαρὰς
ἢ οἷς νόμοι ἱεροί ἢ οἷς μάντεις ὑφηγοῦνται καθαρ- 30
σίοις, πᾶσαν, εἴ τις ἢ δημοσίᾳ κηλὶς ἢ ἰδίου μολύσματος ἑκάστῳ σύνεστιν, ἀποδιοπομπούμενος.

ΚΕΦΑΛΑΙΟΝ ς.

[ΠΕΡΙ ΤΟΥ ΑΓΕΙΝ ΕΝ ΤΑΞΕΙ ΤΟ ΣΤΡΑΤΟΠΕΔΟΝ.]

1. Ἀγέτω δὲ τὸ στράτευμα πᾶν ἐν τάξει, κἂν
μήπω μέλλῃ συμβάλλειν, ἀλλὰ διὰ μακρᾶς ὁδοῦ πε-
ραιοῦσθαι καὶ πολλῶν ἡμερῶν ἀνύειν πορείαν, καὶ 31
ἐν τῇ φιλίᾳ καὶ ἐν τῇ πολεμίᾳ· διὰ μὲν τῆς φιλίας, ἵν' ἐθίζηται τὰ στρατεύματα μένειν ἐν τάξει καὶ συμφυλάττειν τοὺς ἰδίους λόχους καὶ ἕπεσθαι τοῖς ἡγεμόσιν, διὰ δὲ τῆς πολεμίας πρὸς τὰς ἐξαίφνης ἐπιβουλὰς γιγνομένας, ἵνα μὴ ἐν ὀξεῖ καιρῷ θορυβούμενοι καὶ ἐπαναθέοντες καὶ ἄλλοι πρὸς ἄλλους φερόμενοι μηδὲν μὲν ἀνύσωσι φθασθέντες, πολλὰ δὲ καὶ δεινὰ πάθωσιν, ἀλλ' ἅμα καὶ εἰς πορείαν ὦσιν ἐπιδέξιοι καὶ
εἰς μάχην εὐτρεπεῖς, ἔχοντες καὶ τὸ σύνθημα καὶ ἀλ- 32
λήλους ἐν τάξει βλέποντες. 2. συστέλλειν δὲ πειράσθω τὴν πορείαν τοῦ στρατεύματος, ὡς ἔνι μάλιστα, πρὸς ὀλίγον, καὶ διὰ τοιούτων, ἂν δυνατὸν ᾖ, χωρίων ἀγέτω τὰς τάξεις, δι' ὧν οὐκ ἂν ἐκθλιβόμεναι στεναὶ καὶ οὐκ ἔχουσαι πλάτος ἐκ πλευρᾶς ἐπὶ μήκιστον ἐκταθεῖεν· 3. καὶ γὰρ εὐπαθέστεραι γίγνονται πρὸς

τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας αἱ τοιαῦται καὶ ἥκιστα δραστήριοι· ἄν τε γάρ σφισι κατὰ μέτωπον ὑπαντήσωσιν οἱ πολέμιοι πλατύτεροι τεταγμένοι, ῥᾳδίως αὐτοὺς τρέπονται, καθάπερ οἱ τοὺς ἐπὶ κέρως ὄντας ἐν ταῖς μάχαις κυκλούμενοι, ἄν τε κατὰ μέσην τὴν δύναμιν ἐκ πλευρᾶς ἐπιβάλωσιν, ταχὺ διέσπασαν αὐτῶν τὴν πορείαν καὶ διέκοψαν — ἐπιστρεψάντων γὰρ αὐτῶν εἰς φάλαγγα πρὸς ἄμυναν ἀσθενὴς ἡ μάχη
33 γίγνεται καὶ οὐκ ἔχουσα βάθος —, ἐάν τε τοῖς κατόπιν, ἡ κατὰ νώτου μάχη δεινὴ καὶ προφανῆ τὸν ὄλεθρον ἔχουσα, κἂν ἐπιστρέψαι δὲ τολμήσωσιν εἰς μέτωπον, ἡ αὐτὴ γίγνεται μάχη τοῖς ἐν τῇ πρωτοπορείᾳ τεταγμένοις· ταχὺ γὰρ αὐτοὺς περιστήσονται. 4. συμβαίνει δὲ καὶ τὰς παραβοηθείας δυσχερεῖς καὶ ἀπράκτους γίγνεσθαι· τῶν γὰρ ἀπὸ τῆς οὐραγίας τοῖς εἰς τὴν πρωτοπορείαν βουλομένων βοηθεῖν ἢ τῶν πρώτων τοῖς κατόπιν βραδεῖα ἡ ἄφιξις καὶ οὐ κατὰ καιρὸν γίγνεται, διὰ πολλῶν, ὧν ὑστεροῦσιν ἢ προηγοῦνται, σταδίων ἰέναι προθυμουμένων.

5. ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος ἡ μὴ πάνυ παραμήκης εἰς πάντα καιρὸν εὐμεταχείριστός ἐστι καὶ ἀσφαλής. ἔστι δ' ὅτε καὶ συνέβη τι τοιοῦτον ἐκ τῶν ἐκτεινομένων στρατευμάτων, ὥστε Πανικὰ καὶ πτοίας ἀμφιδόξους ἐμπίπτειν· ἐνίοτε γὰρ οἱ πρῶτοι καταβεβηκότες ἐξ ὀρεινῶν εἰς ψιλὰ καὶ ἐπίπεδα χωρία θεασάμενοι τοὺς κατόπιν ἐπικαταβαίνοντας ἔδοξαν εἶναι πολεμίων ἔφοδον, ὥστε μελλῆσαι προσβάλλειν ὡς ἐχθροῖς, τινὰς δὲ καὶ εἰς χεῖρας ἐλθεῖν ἤδη.

34 6. λαμβανέτω δὲ τὴν θεραπείαν καὶ τὰ ὑποζύγια καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει καὶ μὴ χωρίς· ἂν δὲ μὴ τὰ κατόπιν ἀσφαλῆ πάνυ καὶ εἰρηναῖα

νομίζῃ, καὶ τὴν οὐραγίαν ἐκ τῶν ἐρρωμενεστάτων καὶ ἀνδρειοτάτων συνιστάσθω, μηθὲν διαφέρειν αὐτὴν οἰόμενος πρὸς τὰ συμβαίνοντα τῆς πρωτοπορείας.

7. προπεμπέτω δ' ἱππεῖς τοὺς διερευνησομένους τὰς ὁδούς, καὶ μάλισθ', ὅτ' ἂν ὑλώδεις καὶ περικεκλασμένας λόφοις ἐρημίας διεξίῃ· πολλάκις γὰρ ἐνέδραι πολεμίων ὑποκαθέζονται, καὶ λαθοῦσαι μὲν
ἔστιν ὅτε τὰ ὅλα συνέτριψαν τῶν ἐναντίων πράγματα, 35
μὴ λαθοῦσαι δὲ διὰ μικρᾶς φροντίδος φρόνησιν μεγάλην ἐμαρτύρησαν τῷ τῶν πολεμίων στρατηγῷ. 8. τὴν μὲν γὰρ πεδιάδα καὶ ψιλὴν ἡ πάντων ὄψις ἱκανὴ προερευνήσασθαι· καὶ γὰρ κονιορτὸς ἀναφερόμενος μεθ' ἡμέραν ἐμήνυσε τὴν τῶν πολεμίων ἔφοδον, καὶ πυρὰ καιόμενα νύκτωρ ἐπύρσευσαν τὴν ἐγγὺς στρατοπεδείαν.

9. ἀγέτω δὲ τὰς δυνάμεις, μὴ μέλλων μὲν ἐκτάξειν εἰς μάχην, ἐὰν ἐπείγηταί τι φθάνειν συντο-
μώτερον, εἰ ἀσφαλὲς εἶναι νομίζοι, καὶ νύκτωρ· 36
μέλλων δὲ κρίνειν ἅμα τῷ σύνοπτον γενέσθαι τοῖς πολεμίοις εὐθὺς τὰ πράγματα διὰ μάχης σχολῇ προΐτω καὶ μὴ πολλὴν ἀνυέτω· πολλάκις γὰρ πρὸ τῶν κινδύνων ὁ κόπος ἐδαπάνησε τὴν ἀκμὴν τῶν σωμάτων.

10. διοδεύων δὲ συμμαχίδα γῆν παραγγελλέτω 37
τοῖς στρατεύμασιν ἀπέχεσθαι τῆς χώρας, καὶ μήτ' ἄγειν τι μήτε φθείρειν· ἀφειδὲς γὰρ πλῆθος ἅπαν ἐν ὅπλοις, ὅτ' ἂν ἔχῃ τὴν τοῦ δύνασθαί τι ποιεῖν ἐξουσίαν, καὶ ἡ ἐγγὺς ὄψις ἀγαθῶν δελεάζει τοὺς ἀλογίστους ἐπὶ πλεονεξίαν· μικραὶ δὲ προφάσεις ἢ ἀπηλλοτρίωσαν συμμάχους ἢ καὶ παντελῶς ἐξεπολέμωσαν.

11. τὴν δὲ τῶν πολεμίων φθειρέτω καὶ καιέτω καὶ τεμνέσθω· ζημία γὰρ χρημάτων καὶ καρπῶν ἔνδεια μειοῖ πόλεμον, ὡς περιουσία τρέφει. προανατεινέσθω μέντοι πρῶτον, ὃ μέλλει ποιεῖν· πολλάκις γὰρ ἡ τοῦ μέλλοντος ἔσεσθαι δεινοῦ προσδοκία συνηνάγκασε, πρὶν ἢ παθεῖν, ὑποσχέσθαι τι τοὺς κινδυνεύοντας ὧν πρότερον οὐκ ἐβουλήθησαν ποιεῖν· ἐπειδὰν δ' ἅπαξ πάθωσιν, ὡς οὐδὲν ἔτι χεῖρον ὀψόμενοι τῶν λοιπῶν καταφρονοῦσιν. 12. εἰ δὲ πολὺν ἐν τῇ πολεμίᾳ μέλλει καταστρατοπεδεύειν χρόνον, τοσαῦτα καὶ τοιαῦτα φθειρέτω τῆς χώρας ὧν αὐτὸς οὐχ ἕξει χρείαν, ἅττα δ' ἀναγκαῖα φυλαχθέντα τοῖς φιλίοις ἔσται, τούτων φειδέσθω.

38 13. τῶν δὲ δυνάμεων ἐκπεπληρωμένων μήτ' ἐπὶ τῆς ἰδιοκτήτου μήτ' ἐπὶ τῆς ὑπηκόου μήτ' ἐπὶ τῆς συμμαχίδος καθεζόμενος ἐγχρονιζέτω χώρας· τοὺς γὰρ ἰδίους ἀναλώσει καρποὺς καὶ ζημιώσει πλέον τοὺς φίλους ἢ τοὺς πολεμίους· μεταγέτω δ' ὡς θᾶττον, ἐὰν ἀκίνδυνα ᾖ τὰ οἴκοι, τὰς δυνάμεις· ἐκ γὰρ τῆς πολεμίας, εἰ μὲν εἴη δαψιλὴς καὶ εὐδαίμων, τρο-
39 φὴν ἕξει καὶ ἄφθονον, εἰ δὲ μή, τήν γε φιλίαν οὐ λυμανεῖται, πολλὰ δ' ὅμως καὶ ἀπὸ λυπρᾶς τῆς ἀλλοτρίας ἕξει πλεονεκτήματα.

14. φροντιζέτω δὲ περί τε ἀγορᾶς καὶ τῆς τῶν ἐμπόρων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν παραπομπῆς, ἵν' ἀκινδύνου τῆς παρουσίας σφίσιν οὔσης ἀόκνως παρακομίζωσι τὸν εἰς τὰ ἐπιτήδεια φόρτον.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

[ΠΕΡΙ ΤΟΥ ΟΤΑΝ ΔΙΑ ΣΤΕΝΩΝ ΜΕΛΛΗΙ ΤΟ ΣΤΡΑΤΟΠΕΔΟΝ ΑΓΕΙΝ.]

1. Ἐπειδὰν δ' ἤτοι διὰ στενῶν μέλλῃ ποιεῖσθαι τὴν
πάροδον ἢ δι' ὀρεινῆς καὶ δυσβάτου χώρας ἄγειν τὸν
στρατόν, ἀναγκαῖον προεκπέμποντά τι μέρος τῆς δυ- 40
νάμεως προκαταλαμβάνεσθαι τάς τε ὑπερβολὰς καὶ
τὰς τῶν στενῶν παρόδους, μὴ φθάσαντες οἱ πολέμιοι
καὶ καταστάντες ἐπὶ τῶν ἄκρων κωλύσωσι τὴν διεκ-
βολὴν ποιεῖσθαι. 2. τὸ δ' αὐτὸ πεφροντίσθω, κἂν αὐ-
τὸς δεδίῃ πολεμίων εἰσβολήν· οὐ γὰρ δὴ δρᾶσαι μὲν
χρήσιμον, φυλάξασθαι δὲ παθεῖν οὐκ ἀναγκαῖον,
οὐδὲ φθάσαι μὲν αὐτοὺς εἰσβάλλοντας εἰς τὴν πολε-
μίαν ἐπεῖγον, ἀποκλεῖσαι δὲ τοὺς ἐναντίους ἐπὶ σφᾶς
ἰόντας οὐ προνοητέον.

ΚΕΦΑΛΑΙΟΝ Η.

[ΠΕΡΙ ΤΟΥ ΠΟΙΕΙΝ ΧΑΡΑΚΑ.]

1. Ἐν δὲ δὴ τῇ τῶν ἐχθρῶν καταστρατοπεδεύων
χάρακα περιβαλέσθω καὶ τάφρον, κἂν ἐφ' ἡμέραν
μέλλῃ τὴν παρεμβολὴν θήσειν· ἀμετανόητος γὰρ ἡ 41
τοιαύτη καὶ ἀσφαλὴς στρατοπεδεία διὰ τὰς αἰφνιδί-
ους καὶ ἀπρολήπτους ἐπιβουλάς. καθιστάτω δὲ φυ-
λακάς, κἂν μακρὰν εἶναι νομίζῃ τοὺς πολεμίους, ὡς
ἐγγὺς ὄντων. 2. ὅποι δ' ἂν μέλλῃ πολυχρόνιον τίθεσθαι
τὴν παρεμβολὴν οὐκ ἀντεπιόντων τῶν πολεμίων, ἐπὶ
τῷ φθείρειν τὴν χώραν ποιούμενος τὴν μονὴν ἢ καὶ
καιροῖς ἐφεδρεύων βελτίοσιν, ἐκλεγέσθω χωρία μὴ
ἑλώδη μηδὲ νοτερά· τὰ γὰρ τοιαῦτα ταῖς ἀναφοραῖς

42 καὶ ταῖς ἀπὸ τῶν τόπων δυσωδίαις νόσους καὶ λοι-
μοὺς ἐμβάλλει στρατεύμασι, καὶ πολλῶν μὲν ἐκά-
κωσε τὰς εὐεξίας, πολλοὺς δ' ἀπώλεσεν, ὥστε μὴ
μόνον ὀλίγον, ἀλλὰ καὶ ἀσθενὲς ἀπολείπεσθαι στρά-
τευμα.

ΚΕΦΑΛΑΙΟΝ Θ.

[ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΧΩΣ ΥΠΑΛΛΑΣΣΕΙΝ ΤΑ ΑΠΛΗΚΤΑ.]

1. *Χρήσιμον δέ που καὶ σωτήριον στρατοπέδῳ μηδ'
ἐπὶ τῆς αὐτῆς μένειν παρεμβολῆς, ἐὰν μὴ χειμαδεύῃ
καὶ τοῖς σκηνώμασι διὰ τὴν ὥραν τοῦ καιροῦ πεπολι-
σμένη τυγχάνῃ· αἱ γὰρ τῶν ἀναγκαίων ἐκκρίσεις ἐπὶ
τῶν αὐτῶν γιγνόμεναι χωρίων ἀτμοὺς διεφθορότας
ἀναπέμπουσαι συμμεταβάλλουσι καὶ τὴν τοῦ περιέχον-
43 τος ἀέρος χύσιν.* 2. *Ἐν δὲ ταῖς χειμασίαις γυμναζέτω
τὰ στρατόπεδα καὶ πολεμικὰ καὶ σύντροφα ποιείσθω
τοῖς δεινοῖς, μήτ' ἀργεῖν ἐῶν μήτε ῥαθυμεῖν· ἡ μὲν
γὰρ ἀργία τὰ σώματα μαλθακὰ καὶ ἀσθενῆ κατεσκεύ-
ασεν, ἡ δὲ ῥαθυμία τὰς ψυχὰς ἀνάνδρους καὶ δειλὰς
ἐποίησεν· αἱ γὰρ ἡδοναὶ δελεάζουσαι τῷ καθ' ἡμέ-
ραν συνήθει τὰς ἐπιθυμίας διαφθείρουσι καὶ τὸν εὐ-
τολμότατον.* 3. *ὅθεν οὐ μακρὰν ἀπάγειν τοὺς ἄνδρας
τῶν πόνων· ἐπειδὰν γὰρ μετὰ χρόνον ἀναγκάζωνται
πρὸς τὰ πολεμικὰ χωρεῖν, οὔθ' ἡδέως ἐξίασιν οὔτ'
ἐπὶ πολὺ μένουσιν, ἀλλ' ἐκδεδιῃτημένοι ταχὺ μὲν
44 ὀρρωδοῦσι, πρὶν ἢ καὶ πειρᾶσαι τὰ δεινά, ταχὺ δὲ
καὶ πειράσαντες ἀποχωροῦσιν, οὔτ' ἐλπίζειν οὔτε
φέρειν τοὺς κινδύνους δυνάμενοι.*

ΚΕΦΑΛΑΙΟΝ Ι.

α'.

[ΠΕΡΙ ΤΟΥ ΔΕΙΝ ΓΥΜΝΑΖΕΙΝ ΤΟΝ ΣΤΡΑΤΟΝ, ΑΔΕΙΑΣ ΟΥΣΗΣ.]

1. *Διόπερ ἀγαθοῦ στρατηγοῦ καὶ τὰ χρήσιμα τότε ατασκευάζειν, ὅτ' οὐκ ἐπείγουσιν αἱ τῶν ἐκ παρατά-εως ἀγώνων ἀνάγκαι, καὶ τὰ ἄχρηστα διὰ τὴν τῶν ωμάτων ἄσκησιν ἐπιτάττειν. ἱκανὴ γὰρ στρατοπέδοις νεσις, κἂν σφόδρα ταλαίπωροι ὦσιν, ἡ μὴ διὰ τῶν εινῶν εἰς τὸ ἀληθινὸν ἀγώνισμα πεῖρα. γυμναζέτω ὲ τοιοῖσδέ τισι τρόποις.*

2. *ἐκταττέτω πρῶτον ἀναδοὺς τὰ ὅπλα πᾶσιν, ἵν'* 45
ν μελέτῃ σφίσιν ᾖ τὸ μένειν ἐν τάξει, καὶ ταῖς ὄψεσι αὶ τοῖς ὀνόμασι συνήθεις ἀλλήλοις γιγνόμενοι, τίς πὸ τίνα καὶ ποῦ καὶ μετὰ πόσους, ὑπ' ὀξὺ παράγ-ελμα πάντες ὦσιν ἐν τάξει· καὶ τάς τε ἐκτάσεις καὶ υστολὰς καὶ ἐγκλίσεις ἐπὶ λαιὰ καὶ δεξιά, καὶ λόχων εταγωγὰς καὶ διαστήματα καὶ πυκνώσεις, καὶ τὰς ι' ἀλλήλων ἀντεξόδους καὶ εἰσόδους, καὶ τὰς κατὰ όχους διαιρέσεις, καὶ τὰς κατατάξεις καὶ τὴν ἐπὶ άλαγγα ἐκτείνουσαν καὶ τὴν ἐπὶ βάθος ὑποστέλλου-αν, καὶ τὴν ἀμφιπρόσωπον μάχην, ὅτ' ἂν οἱ κατ' ὐρὰν ἐπιστρέψαντες πρὸς τοὺς κυκλουμένους μά-ωνται, καὶ τὰς ἀνακλήσεις ἐκδιδασκέτω.

3. *καθάπερ γὰρ ἐπὶ τῶν μουσικῶν ὀργάνων οἱ μὲν*
ρχὴν ἔχοντες τοῦ μανθάνειν ἐπιτιθέντες τοὺς δα- 46
τύλους ἐπί τε τὰ τρήματα τῶν αὐλῶν καὶ διαστή-ατα τῶν χορδῶν πολλάκις ἄλλον ἔθεσαν ἐπ' ἄλλην αὶ οὐ κατὰ τὴν ἁρμονικὴν διάστασιν, εἶτα μόλις πεκτείναντες βραδὺ μὲν αἴρουσι τοὺς δακτύλους, ραδὺ δὲ τιθέασιν, οἱ δ' ἐν μελέτῃ τῆς μουσικῆς

ἀνεπιτηδεύτως ἤδη ἐρρυθμισμένῃ τῇ χειρὶ δι' ὀξύτη-
τος μεταφέρουσιν, ὅπῃ τε βούλονται παραθλίψαι τῆς
ἀναπνοῆς καὶ ἀνοῖξαι καὶ παραψῆλαι χορδῆς· τοῦτον
δήπου τὸν τρόπον οἱ μὲν ἀσυνήθεις καὶ ἀνάσκητοι τῆς
τάξεως διὰ ταράχου πολλοῦ μόλις ἀλλήλων διαμαρ-
τάνοντες ἐγκατατάσσονται πολὺν ἀναλίσκοντες χρό-
νον, οἱ δὲ συγκεκροτημένοι διὰ τάχους, ὡς εἰπεῖν
αὐτόματοι, φέρονται πρὸς τὴν τάξιν ἐναρμόνιόν τινα
καὶ καλὴν ἐκπληροῦντες ὄψιν.

4. εἶτα διελὼν τὰ στρατεύματα πρὸς ἀλλήλους
ἀσιδήρῳ μάχῃ συναγέτω νάρθηκας ἢ στύρακας ἀκον-
τίων ἀναδιδούς, εἰ δέ τινα καὶ βεβωλασμένα πεδία
εἴη, βώλους τε κελεύων αἴροντας βάλλειν· ὄντων δὲ
καὶ ἱμάντων ταυρείων χρήσθων ἐπὶ τὴν μάχην· δεί-
47 ξας δ' αὐτοῖς καὶ λόφους ἢ βουνοὺς ἢ ὀρθίους τόπους
κελευέτω σὺν δρόμῳ καταλαμβάνεσθαι· ποτὲ δὲ καὶ
ἐπιστήσας ἐπ' αὐτῶν τινας τῶν στρατιωτῶν καὶ ἀνα-
δοὺς ἃ μικρῷ πρόσθεν ἔφην ὅπλα, τούτους ἐκβα-
λοῦντας ἑτέρους ἐκπεμπέτω· καὶ ἤτοι τοὺς μείναντας
ἐπαινείτω καὶ μὴ ἐκπεσόντας ἢ τοὺς ἐκβαλόντας. 5. ἐκ
γὰρ τῆς τοιαύτης ἀσκήσεως καὶ γυμνασίας ὑγιαίνει
μὲν τὸ στράτευμα, πᾶν δ' ὅ τι οὖν ἥδιον ἐσθίει καὶ
πίνει, κἂν λιτὸν ᾖ, πολυτελέστερον οὐθὲν ἐπιζητοῦν·
ὁ γὰρ ἀπὸ τῶν πόνων λιμὸς καὶ τὸ δίψος ἱκανὸν ὄψον
ἐστὶν καὶ γλυκὺ κρᾶμα, καὶ στερρότερά τε τὰ σώματά
48 σφισι γίγνεται καὶ ἄκμητα, καὶ συνεθίζεται τοῖς μέλ-
λουσι δεινοῖς, ἱδρῶτι καὶ πνεύματι καὶ ἄσθματι καὶ
θάλπεσιν ἀσκιάστοις καὶ κρυμοῖς ὑπαίθροις ἐγγυμνα-
ζόμενα.

6. παραπλησίως δὲ γυμναζέτω καὶ τὸ ἱππικὸν
ἁμίλλας ποιούμενος καὶ διώγματα καὶ συμπλοκὰς καὶ
ἀκροβολισμοὺς ἐν τοῖς ἐπιπέδοις καὶ περὶ αὐτὰς τὰς

ῥίζας τῶν λόφων, ἐφ᾽ ὅσον δυνατόν ἐστι καὶ τῶν τραχέων ἐκφαίνειν· οὐ γὰρ οἷόν τε βιάζεσθαι πρὸς ἀνάντη καὶ κατὰ κρανοῦς ἐπάξεσθαι. 49

β'.

[ΠΕΡΙ ΠΡΟΝΟΜΩΝ.]

7. Σωφρονείτω δὲ περὶ τὰς προνομὰς καὶ μὴ ἐφιέτω ταῖς δυνάμεσιν, ἐπειδὰν εἰς εὐδαίμονα πολεμίων εἰσβάλῃ χώραν, ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας· αἱ γὰρ μέγισται συμφοραὶ κἂν τοῖς τοιοῖσδε γίγνονται· πολλάκις γὰρ ἀτάκτοις καὶ σποράσι περὶ τὴν λείαν σεσοβημένοις ἐπιπεσόντες οἱ πολέμιοι καὶ διὰ τὸ ἀσύντακτον τοῦ πλήθους καὶ διὰ τὸ βαρεῖς εἶναι τοὺς ἀποχωροῦντας ταῖς ὠφελείαις οὔτε τοῖς ὅπλοις χρῆσθαι δυναμένους οὔτ᾽ ἀλλήλοις ἐπικουρῆσαι πολλοὺς διέφθειραν. 8. εἰ δέ τινες δίχα τοῦ τὸν στρατηγὸν κελεῦσαι προνομεύοιεν, οὗτοι κολαζέσθων. αὐτός γε μὴν ὅτ᾽ ἂν ἐπὶ τὴν λείαν ἐκπέμπῃ, τοῖς ψιλοῖς καὶ ἀνόπλοις συντασσέτω μαχίμους ἱππεῖς καὶ πεζούς, οἳ περὶ μὲν τὴν λείαν οὐκ ἀσχολήσονται, μένοντες δ᾽ ἐν τάξει παραφυλάξουσι τοὺς προνομεύοντας, ἵν᾽ ᾖ σφισιν ἀσφαλὴς ἡ ἀποχώρησις. 50

γ'.

[ΠΕΡΙ ΚΑΤΑΣΚΟΠΩΝ.]

9. Εἰ δὲ συλλάβοι ποτὲ κατασκόπους, μὴ μιᾷ κεχρήσθω γνώμῃ· ἀλλ᾽, ἐὰν μὲν ἀσθενέστερα τὰ ἴδια ἤπερ τὰ παρὰ τῶν πολεμίων εἶναι νομίζῃ, κτεινάτω τούτους, ἂν δὲ καὶ ὁπλισμῷ καλῷ κεχρημένος ᾖ καὶ παρασκευαῖς ἐντελέσι καὶ δυνάμει πολλῇ καὶ εὐεξίᾳ

σωμάτων καὶ πειθηνίῳ στρατεύματι καὶ ἡγεμόσιν ἀρίστοις καὶ ἐμπειρίᾳ μεμελετημένῃ, παραλαβὼν τοὺς κατασκόπους καὶ ἐν κόσμῳ τὴν στρατιὰν ἐπιδειξάμενος οὐκ ἂν ἁμάρτοι ποτὲ καὶ ἀθώους ἀποπέμψας. τὰ μὲν γὰρ πλεονεκτήματα τῶν ἀντιπολέμων ἀγγελλόμενα φοβεῖσθαι συνηνάγκασεν, τὰ δ' ἐλαττώματα θαρρεῖν παρεστήσατο.

δ'.

[ΠΕΡΙ ΝΥΚΤΟΦΥΛΑΚΩΝ.]

10. *Φύλακας δὲ κατατασσέτω καὶ πλείους, ἵν' ἐν μέρει διελόμενοι τὴν τῆς νυκτὸς ὥραν οἱ μὲν ὑπνοῦν οἱ δὲ γρηγορεῖν αἱρῶνται· οὔτε γὰρ ἀναγκαστέον οὔθ' ὑπισχνουμένοις πιστευτέον ὅλην ἀγρυπνήσειν νύκτα τοὺς αὐτούς· εἰκὸς γάρ ποτε καὶ παρὰ γνώμην ἐνδιδόντων τῶν μελῶν αὐτόματον ὕπνον ἐπελθεῖν.* 11. *ὀρθοὶ*
51 *δ' ἑστῶτες φυλαττόντων· αἱ γὰρ καθέδραι καὶ ἀναπτώσεις συνεκλύουσαι τὰ σώματα μαραίνουσιν εἰς ὕπνον, ἡ δ' ἀνάστασις καὶ ὁ τόνος τῶν σκελῶν ἐγρήγορσιν ἐντίθησι τῇ διανοίᾳ.* 12. *καιόντων δ' οἱ φύλακες πυρὰ πορρωτέρω τῆς στρατοπεδείας· οὕτως γὰρ τοὺς μὲν προσιόντας διὰ τοῦ φωτὸς ἐκ πολλοῦ συνόψονται, τοῖς δ' ἐκ τοῦ φωτὸς ἐν σκότῳ τυγχάνοντες οὐκ ἀθρήσονται, μέχρις ἂν εἰς χεῖρας ἔλθωσιν.*

ε'.

[ΠΕΡΙ ΛΑΘΡΑΙΑΣ ΑΝΑΧΩΡΗΣΕΩΣ ΤΟΥ ΣΤΡΑΤΕΥΜΑΤΟΣ.]

13. *Εἰ δὲ βούλοιτό ποτε νύκτωρ ἀναστῆσαι τὸ στράτευμα λανθάνων τοὺς πολεμίους, ἢ τόπους προκα-*
52 *ταλαβέσθαι προαιρούμενος ἢ τοὺς ὄντας φεύγων ἢ*

μηδέπω βουλόμενος εἰς ἀνάγκην ἐλθεῖν τοῦ μάχεσθαι, πυρὰ πολλὰ καύσας ἀναχωρείτω· βλέποντες μὲν γὰρ οἱ πολέμιοι τὰ φῶτα δοκοῦσι κατὰ χώραν αὐτὸν μένειν, ἀφωτίστου δὲ μεταξὺ γενομένης τῆς παρεμβολῆς ὑπόνοιαν ἀναλαβόντες, ὡς φεύγουσιν, ἐνέδρας τε προεκπέμπουσι καὶ διώκουσιν.

ς'.

[ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ ΚΟΙΝΟΛΟΓΟΥΜΕΝΩΝ ΤΟΙΣ ΤΩΝ ΕΝΑΝΤΙΩΝ ΣΤΡΑΤΗΓΟΙΣ.]

14. *Ἐὰν δ' ἐπὶ τῶν αὐτῶν μένων εἰς ὄψιν ἔρχηταί ποτε τῷ τῶν πολεμίων στρατηγῷ, κοινολογησόμενος, ὡς αὐτὸς εἰπεῖν ἢ ἀκοῦσαί τι βουλόμενος, ἐκλεξάμενος τοὺς κρατίστους καὶ ἀξιοπρεπεστάτους τῶν νέων, εὐρώστους καλοὺς μεγάλους ὅπλοις διαπρεπέσι κοσμήσας ἔχων περὶ αὐτόν, ἀπαντάτω· πολλάκις γὰρ τοι-* 53
όνδε τὸ πᾶν ἀπὸ μέρους ὀφθέντος ἠλπίσθη, καὶ οὐκ ἐξ ὧν ἤκουσεν ὁ στρατηγὸς ἐπείσθη, τί δεῖ ποιεῖν, ἀλλ' ἐξ ὧν εἶδεν, ἐφοβήθη.

ζ'.

[ΠΕΡΙ ΑΥΤΟΜΟΛΩΝ.]

15. *Τῶν δ' αὐτομόλων εἴ τινες ἢ καιρὸν ἀφικνοῦνται μηνύσοντες ἢ ὥραν ἐπιθέσεως, ἢ ὁδὸν ἐπαγγέλλονται καθηγήσασθαι καὶ διὰ σκοπῶν ἀοράτων τοῖς πολεμίοις ἄξειν, δήσας αὐτοὺς ἀγέτω, τοῦτο ποιῶν σφισι φανερόν, ὡς, ἐὰν μὲν ἀληθεύσωσι καὶ ἐπὶ σωτηρίᾳ καὶ νίκῃ πάντα ποιήσωσι τοῦ στρατεύματος, λύσει τέ σφας καὶ δωρεὰς δώσει καταξίους, ἐὰν δ' ἐξαπατή-* 54
σωσι καὶ ψεύσωνται τοῖς σφετέροις ἐγχειρίσαι βουλόμενοι τὸ στράτευμα, παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν

ὄντες ἐν δεσμοῖς ὑπὸ τῶν κινδυνευόντων κατασφαγήσονται· πίστις γὰρ αὐτομόλου τι μηνύοντος αὕτη βεβαιοτάτη, τὸ μὴ αὐτὸν εἶναι τῆς αὐτοῦ ψυχῆς κύριον, ἀλλὰ τοὺς ὁδηγουμένους.

η'.

[ΠΕΡΙ ΤΟΥ ΟΡΑΝ ΚΑΙ ΤΗΝ ΤΩΝ ΠΟΛΕΜΙΩΝ ΠΑΡΕΜΒΟΛΗΝ.]

16. Ὁράτω δὲ καὶ τὴν τῶν πολεμίων παρεμβολὴν ἐμπείρως· μήτε γάρ, ἐὰν ἐν ἐπιπέδῳ καὶ κατὰ κύκλον ἴδῃ κείμενον βραχὺν τὴν περίμετρον καὶ συνεσταλμένον χάρακα, δοκείτω τοὺς πολεμίους ὀλίγους εἶναι — πᾶς γὰρ κύκλος ἐλάττω τὴν τοῦ σχήματος ὄψιν ἔχει τῆς ἐξ ἀναλόγου στερεομετρουμένης θεωρίας, καὶ πλείους δύναται δέξασθαι τὸ ἐν αὐτῷ περιγραφόμενον εὖρος, ἢ ἰδὼν ἄν τις ὄψει τεκμήραιτο —, μήτε, ἂν αἱ πλευραὶ τοῦ χάρακος ἐπὶ μῆκος ἐκτείνωσι καὶ κατά τι μέρος στεναὶ τυγχάνωσιν ἢ σκολιαὶ καὶ πολυγώνιοι καὶ ὀξυγώνιοι, πολὺ πλῆθος ἐλπιζέτω· τῆς μὲν γὰρ στρατοπεδείας ἡ ὄψις μεγάλη φαίνεται, τοὺς δ' ἐν αὐτῇ περιειλημμένους ἄνδρας οὐ πάντως πλείονας ἔχει τῶν ἐν κύκλῳ περιγραφομένων. 17. οἱ δ' ἐπὶ τῶν ὀρῶν καὶ λόφων χάρακες, ἐὰν μὴ συμφυεῖς ὦσι πάντῃ, μείζους μὲν ὁρῶνται τῶν ἐν τοῖς ἐπιπέδοις, ἐλάττους δὲ ἢ κατὰ τὴν ὄψιν ἄνδρας περιέχουσιν· πολλὰ γὰρ ἀνθρώπων ἐντὸς ἀπολείπεται γυμνὰ μέρη· τῶν γὰρ τοιούτων τόπων ἀνάγκη πολλὰ μὲν εἶναι βάραθρα, πολλὰ δὲ κρημνώδη καὶ τραχέα καὶ ἀκατασκήνωτα, τοῦ δὲ χάρακος πρὸ τῶν ἀνθρώπων τιθεμένου, τούτου τὸ μῆκος εὐλόγως ἐπεκτείνεται. 18. μήτ' οὖν, ἐπειδὰν ἴδῃ βραχὺν καὶ συνεσταλμένον, κατα-

φρονείτω συλλογιζόμενος καὶ τὸν τόπον καὶ τὸ σχῆμα, 55
μήτ᾽, ἂν καὶ παραμήκη, καταπληττέσθω.

19. ταῦτα μέντοι γιγνώσκων εὐκαίρῳ ποτὲ στρατηγίᾳ χρησάσθω, καὶ καταστρατοπεδεύσας ἐν ὀλίγῳ κατὰ τὸ προειρημένον σχῆμα, καί, εἰ δέοι, καὶ συνθλίψας τὸ στράτευμα μὴ προαγέτω μήτε δεικνύτω τοῖς ἀντεστρατοπεδευκόσι, καὶ δὴ προκαλουμένοις εἰς μάχην μὴ ἐξαγέτω· δοκείτω δὲ καὶ δεδιέναι. 20. πολλάκις γὰρ οἱ πολέμιοι καταφρονήσαντες ὡς ὀλίγων ὄντων τῶν ἐναντίων, ὄψει καὶ οὐκ ἐμπειρίᾳ στρατηγικῇ τὰ πράγματα κρίνοντες, ῥαθυμότερον ἀνεστράφησαν ἀφυλάκτως καὶ ἀτάκτως τῆς ἰδίας προϊόντες παρεμβολῆς, ὡς οὐ τολμησόντων σφίσι τῶν πολεμίων ἐπεξελεύσεσθαι, ἢ καὶ τῷ χάρακι περιστάντες πολιορκοῦσιν ἀπροσδόκητοι τοῦ μέλλοντος ἐκχυθήσεσθαι πλήθους· ἡ δ᾽ ἀνελπιστία τῶν δεινῶν ἀμελεστέρους ἐποίησε τοὺς στρατιώτας. ἔνθα δεῖ τὸν καιρὸν ἁρπάσαντα κατὰ πολλὰς ἐκδραμόντα τοῦ χάρακος πυλίδας ἐν τάξει τῶν ὑποκειμένων ἀνδρείως ἔχεσθαι πραγμάτων. 21. ὁ δ᾽ εἰδὼς οὕτω στρατηγεῖν εἴσεται, κἂν ὑπὸ τῶν πολεμίων ἐν τοῖς αὐτοῖς καταστρατηγῆται, καὶ δρᾶσαί τι φρόνιμος ἔσται καὶ φυλάξασθαι προμηθής· ἐξ ὧν γὰρ αὐτὸς εἴσεται, τί δεῖ ποιεῖν, ἐκ τούτων ἑτέρου ποιοῦντος γνώσεται, τί χρὴ μὴ παθεῖν· αἱ γὰρ ἴδιαι πρὸς τὸ λυπεῖν ἐμπειρίαι καὶ τὰς τῶν πέλας ἐπινοίας τεκμαίρονται.

θ'.

[ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ.]

22. *Προάγειν δ᾽ εἰ δέοι νύκτωρ ἢ μεθ᾽ ἡμέραν ἐπί τι τῶν ἀπορρήτων, ἢ φρούριον ἢ πόλιν ἢ ἄκρα ἢ πα-* 56

ρόδους καταληψόμενον ἤ τι τῶν ἄλλων δράσοντα, ἃ
διὰ τάχους λαθόντα τοὺς πολεμίους, ἄλλως δ᾽ οὐκ
ἔστι πρᾶξαι, μηδενὶ προλεγέτω, μήτ᾽ ἐπὶ τί μήτε τί
ποιήσων ἄγει τὴν στρατιάν, εἰ μή τισι τῶν ἡγεμόνων
ἀναγκαῖον εἶναι νομίζοι προειπεῖν. 23. γενόμενος δ᾽ ἐπ᾽
αὐτῶν τῶν τόπων ἐγγὺς ὄντος τοῦ παρ᾽ ὃν δρᾶσαί τι
δεῖ καιροῦ διδότω τὸ παράγγελμα καὶ τί δεῖ πράτ-
τειν σημαινέτω· ταχὺ δὲ τοῦτο ἔστω καὶ δι᾽ ὀλίγης
ὥρας· ἅμα γὰρ οἱ ἡγεμόνες ἀκούουσι καὶ οἱ ὑποτετα-
γμένοι τούτοις ἴσασιν. 24. ἄφρων δὲ καὶ ἀτελής, ὅστις
ἂν πρὸ τοῦ δέοντος εἰς τὸ πλῆθος ἀνακοινώσηται τὴν
57 πρᾶξιν· οἱ γὰρ πονηροὶ μάλιστα περὶ τοὺς τοιούτους
αὐτομολοῦσι καιρούς, παρ᾽ οὓς ἐροῦντές τι καὶ μηνύ-
σοντες οἴονται τιμῆς καὶ δωρεᾶς τεύξεσθαι παρὰ τῶν
πολεμίων· οὐκ ἔστιν δ᾽ ἀφ᾽ οὗ στρατεύματος οὐκ ἀπο-
διδράσκουσι πρὸς ἀλλήλους δοῦλοί τε καὶ ἐλεύθεροι
κατὰ πολλὰς προφάσεις, ἃς ἀνάγκη παρέχεσθαι
πόλεμον.

ι΄.

[ΠΕΡΙ ΤΗΣ ΠΡΟ ΜΑΧΗΣ ΕΠΙΣΚΕΨΕΩΣ ΤΩΝ ΙΕΡΩΝ.]

25. *Μήτε* δ᾽ εἰς πορείαν ἐξαγέτω τὸ στράτευμα μήτε
πρὸς μάχην ταττέτω, μὴ πρότερον θυσάμενος· ἀλλ᾽ ἀκο-
λουθούντων αὐτῷ θύται καὶ μάντεις. ἄριστον μὲν γὰρ
καὶ αὐτὸν ἐμπείρως ἐπισκέπτεσθαι δύνασθαι τὰ ἱερά·
ῥᾷστόν γε μὴν ἐν τάχει μαθεῖν ἐστιν καὶ αὐτὸν αὐτῷ
σύμβουλον ἀγαθὸν γενέσθαι. 26. γενομένων δὴ καλῶν
τῶν ἱερῶν ἀρχέσθω πάσης πράξεως καὶ καλείτω τοὺς
ἡγεμόνας πάντας ἐπὶ τὴν ὄψιν τῶν ἱερῶν, ἵνα θεασά-
58 μενοι τοῖς ὑποταττομένοις θαρρεῖν λέγοιεν ἀπαγγέλ-
λοντες, ὡς οἱ θεοὶ κελεύουσι μάχεσθαι· πάνυ γὰρ

ἀναθαρροῦσιν αἱ δυνάμεις, ὅτ' ἂν μετὰ τῆς τῶν θεῶν
γνώμης ἐξιέναι νομίζωσιν ἐπὶ τοὺς κινδύνους· αὐτοὶ
γὰρ ὀπιπεύονται κατ' ἰδίαν ἕκαστος καὶ σημεῖα καὶ
φωνὰς παρατηροῦσιν, ἡ δ' ὑπὲρ πάντων καλλιέρησις
καὶ τοὺς ἰδίᾳ δυσθυμοῦντας ἀνέρρωσεν. 27. ἐὰν δ' ἐπὶ
τοὐναντίον τὰ ἱερὰ γένηται, μένειν ἐπὶ τῶν αὐτῶν,
κἂν σφόδρα τι ἐπείγῃ, πᾶν ὑπομένειν τὸ δύσχρη-
στον — οὐθὲν γὰρ δύναται παθεῖν χεῖρον, ὧν προ-
μηνύει τὸ δαιμόνιον —, ὡς, ἂν γέ τι κρεῖττον ἔσεσθαι
μέλλῃ τῶν παρόντων, ἀνάγκη καλλιερεῖν, θύεσθαι
δὲ τῆς αὐτῆς ἡμέρας πολλάκις· ὥρα γὰρ μία καὶ ἀκα- 59
ρὴς χρόνος ἢ φθάσαντας ἐλύπησεν ἢ ὑστερήσαντας.
28. καί μοι δοκεῖ τὰς κατ' οὐρανὸν ἀστέρων κινήσεις
καὶ ἀνατολὰς καὶ δύσεις καὶ σχημάτων ἐγκλίσεις τρι-
γώνων καὶ τετραγώνων καὶ διαμέτρων ἡ θυτικὴ διὰ
σπλάγχνων ἀλλοιομόρφῳ θεωρίᾳ προσημαίνειν, ὧν
αἱ παρὰ μικρὸν διαφοραὶ καὶ δυνάμεις καὶ ἀποθειώ-
σεις ἐν ἡμέρᾳ μιᾷ μᾶλλον δ' ὥρᾳ καὶ βασιλεῖς ἐποί-
ησαν καὶ αἰχμαλώτους.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

α΄.

[ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΙ ΤΩΝ ΠΟΛΕΜΙΩΝ ΣΧΗΜΑΤΙΖΟΜΕΝΩΝ ΦΕΥΓΕΙΝ ΜΗ ΑΠΛΩΣ ΚΑΙ ΩΣ ΕΤΥΧΕΝ ΕΧΕΣΘΑΙ ΤΗΣ ΔΙΩΞΕΩΣ.]

1. Ἐπειδὴ δὲ πολλάκις θυομένοις ὡς μὲν εἰς μάχην καλὰ γίγνεται τὰ ἱερά, διὰ δὲ μάχης ὅλον ἐνίοτε στρατευμάτων ὄλεθρον προσημαίνει, τῶν ἀναγκαιοτάτων ἡγοῦμαι περὶ τούτου φράσαι. 2. τῆς γὰρ συμπάσης οἰκουμένης πολλὰς καὶ παντοίας εἶναι συμβέβηκεν ἰδέας

42 *καὶ ταῖς ἀπὸ τῶν τόπων δυσωδίαις νόσους καὶ λοι-
μοὺς ἐμβάλλει στρατεύμασι, καὶ πολλῶν μὲν ἐκά-
κωσε τὰς εὐεξίας, πολλοὺς δ' ἀπώλεσεν, ὥστε μὴ
μόνον ὀλίγον, ἀλλὰ καὶ ἀσθενὲς ἀπολείπεσθαι στρά-
τευμα.*

ΚΕΦΑΛΑΙΟΝ Θ.

[ΠΕΡΙ ΤΟΥ ΣΥΝΕΧΩΣ ΥΠΑΛΛΑΣΣΕΙΝ ΤΑ ΑΠΛΗΚΤΑ.]

1. *Χρήσιμον δέ που καὶ σωτήριον στρατοπέδῳ μηδ'
ἐπὶ τῆς αὐτῆς μένειν παρεμβολῆς, ἐὰν μὴ χειμαδεύῃ
καὶ τοῖς σκηνώμασι διὰ τὴν ὥραν τοῦ καιροῦ πεπολι-
σμένη τυγχάνῃ· αἱ γὰρ τῶν ἀναγκαίων ἐκκρίσεις ἐπὶ
τῶν αὐτῶν γιγνόμεναι χωρίων ἀτμοὺς διεφθορότας
ἀναπέμπουσαι συμμεταβάλλουσι καὶ τὴν τοῦ περιέχον-*
43 *τος ἀέρος χύσιν.* 2. *Ἐν δὲ ταῖς χειμασίαις γυμναζέτω
τὰ στρατόπεδα καὶ πολεμικὰ καὶ σύντροφα ποιείσθω
τοῖς δεινοῖς, μήτ' ἀργεῖν ἐῶν μήτε ῥᾳθυμεῖν· ἡ μὲν
γὰρ ἀργία τὰ σώματα μαλθακὰ καὶ ἀσθενῆ κατεσκεύ-
ασεν, ἡ δὲ ῥᾳθυμία τὰς ψυχὰς ἀνάνδρους καὶ δειλὰς
ἐποίησεν· αἱ γὰρ ἡδοναὶ δελεάζουσαι τῷ καθ' ἡμέ-
ραν συνήθει τὰς ἐπιθυμίας διαφθείρουσι καὶ τὸν εὐ-
τολμότατον.* 3. *ὅθεν οὐ μακρὰν ἀπάγειν τοὺς ἄνδρας
τῶν πόνων· ἐπειδὰν γὰρ μετὰ χρόνον ἀναγκάζωνται
πρὸς τὰ πολεμικὰ χωρεῖν, οὔθ' ἡδέως ἐξίασιν οὔτ'
ἐπὶ πολὺ μένουσιν, ἀλλ' ἐκδεδιῃτημένοι ταχὺ μὲν*
44 *ὀρρωδοῦσι, πρὶν ἢ καὶ πειρᾶσαι τὰ δεινά, ταχὺ δὲ
καὶ πειράσαντες ἀποχωροῦσιν, οὔτ' ἐλπίζειν οὔτε
φέρειν τοὺς κινδύνους δυνάμενοι.*

ΚΕΦΑΛΑΙΟΝ Ι.

α΄.

[ΠΕΡΙ ΤΟΥ ΔΕΙΝ ΓΥΜΝΑΖΕΙΝ ΤΟΝ ΣΤΡΑΤΟΝ, ΑΔΕΙΑΣ ΟΥΣΗΣ.]

1. *Διόπερ ἀγαθοῦ στρατηγοῦ καὶ τὰ χρήσιμα τότε κατασκευάζειν, ὅτ᾽ οὐκ ἐπείγουσιν αἱ τῶν ἐκ παρατάξεως ἀγώνων ἀνάγκαι, καὶ τὰ ἄχρηστα διὰ τὴν τῶν σωμάτων ἄσκησιν ἐπιτάττειν. ἱκανὴ γὰρ στρατοπέδοις ἄνεσις, κἂν σφόδρα ταλαίπωροι ὦσιν, ἡ μὴ διὰ τῶν δεινῶν εἰς τὸ ἀληθινὸν ἀγώνισμα πεῖρα. γυμναζέτω δὲ τοιοῖσδέ τισι τρόποις.*

2. *ἐκταττέτω πρῶτον ἀναδοὺς τὰ ὅπλα πᾶσιν, ἵν᾽* 45
ἐν μελέτῃ σφίσιν ᾖ τὸ μένειν ἐν τάξει, καὶ ταῖς ὄψεσι καὶ τοῖς ὀνόμασι συνήθεις ἀλλήλοις γιγνόμενοι, τίς ὑπὸ τίνα καὶ ποῦ καὶ μετὰ πόσους, ὑπ᾽ ὀξὺ παράγγελμα πάντες ὦσιν ἐν τάξει· καὶ τάς τε ἐκτάσεις καὶ συστολὰς καὶ ἐγκλίσεις ἐπὶ λαιὰ καὶ δεξιά, καὶ λόχων μεταγωγὰς καὶ διαστήματα καὶ πυκνώσεις, καὶ τὰς δι᾽ ἀλλήλων ἀντεξόδους καὶ εἰσόδους, καὶ τὰς κατὰ λόχους διαιρέσεις, καὶ τὰς κατατάξεις καὶ τὴν ἐπὶ φάλαγγα ἐκτείνουσαν καὶ τὴν ἐπὶ βάθος ὑποστέλλουσαν, καὶ τὴν ἀμφιπρόσωπον μάχην, ὅτ᾽ ἂν οἱ κατ᾽ οὐρὰν ἐπιστρέψαντες πρὸς τοὺς κυκλουμένους μάχωνται, καὶ τὰς ἀνακλήσεις ἐκδιδασκέτω.

3. *καθάπερ γὰρ ἐπὶ τῶν μουσικῶν ὀργάνων οἱ μὲν ἀρχὴν ἔχοντες τοῦ μανθάνειν ἐπιτιθέντες τοὺς δα-* 46
κτύλους ἐπί τε τὰ τρήματα τῶν αὐλῶν καὶ διαστήματα τῶν χορδῶν πολλάκις ἄλλον ἔθεσαν ἐπ᾽ ἄλλην καὶ οὐ κατὰ τὴν ἁρμονικὴν διάστασιν, εἶτα μόλις ἐπεκτείναντες βραδὺ μὲν αἴρουσι τοὺς δακτύλους, βραδὺ δὲ τιθέασιν, οἱ δ᾽ ἐν μελέτῃ τῆς μουσικῆς

ἀνεπιτηδεύτως ἤδη ἐρρυθμισμένῃ τῇ χειρὶ δι' ὀξύτη-
τος μεταφέρουσιν, ὅπῃ τε βούλονται παραθλίψαι τῆς
ἀναπνοῆς καὶ ἀνοῖξαι καὶ παραψῆλαι χορδῆς· τοῦτον
δήπου τὸν τρόπον οἱ μὲν ἀσυνήθεις καὶ ἀνάσκητοι τῆς
τάξεως διὰ ταράχου πολλοῦ μόλις ἀλλήλων διαμαρ-
τάνοντες ἐγκατατάσσονται πολὺν ἀναλίσκοντες χρό-
νον, οἱ δὲ συγκεκροτημένοι διὰ τέχους, ὡς εἰπεῖν
αὐτόματοι, φέρονται πρὸς τὴν τάξιν ἐναρμόνιόν τινα
καὶ καλὴν ἐκπληροῦντες ὄψιν.

4. εἶτα διελὼν τὰ στρατεύματα πρὸς ἀλλήλους
ἀσιδήρῳ μάχῃ συναγέτω νάρθηκας ἢ στύρακας ἀκον-
τίων ἀναδιδούς, εἰ δέ τινα καὶ βεβωλασμένα πεδία
εἴη, βώλους τε κελεύων αἴροντας βάλλειν· ὄντων δὲ
καὶ ἱμάντων ταυρείων χρήσθων ἐπὶ τὴν μάχην· δεί-
47 ξας δ' αὐτοῖς καὶ λόφους ἢ βουνοὺς ἢ ὀρθίους τόπους
κελευέτω σὺν δρόμῳ καταλαμβάνεσθαι· ποτὲ δὲ καὶ
ἐπιστήσας ἐπ' αὐτῶν τινας τῶν στρατιωτῶν καὶ ἀνα-
δοὺς ἃ μικρῷ πρόσθεν ἔφην ὅπλα, τούτους ἐκβα-
λοῦντας ἑτέρους ἐκπεμπέτω· καὶ ἤτοι τοὺς μείναντας
ἐπαινείτω καὶ μὴ ἐκπεσόντας ἢ τοὺς ἐκβαλόντας. 5. ἐκ
γὰρ τῆς τοιαύτης ἀσκήσεως καὶ γυμνασίας ὑγιαίνει
μὲν τὸ στράτευμα, πᾶν δ' ὅ τι οὖν ἥδιον ἐσθίει καὶ
πίνει, κἂν λιτὸν ᾖ, πολυτελέστερον οὐθὲν ἐπιζητοῦν·
ὁ γὰρ ἀπὸ τῶν πόνων λιμὸς καὶ τὸ δίψος ἱκανὸν ὄψον
ἐστὶν καὶ γλυκὺ κρᾶμα, καὶ στερρότερά τε τὰ σώματά
48 σφισι γίγνεται καὶ ἄκμητα, καὶ συνεθίζεται τοῖς μέλ-
λουσι δεινοῖς, ἱδρῶτι καὶ πνεύματι καὶ ἄσθματι καὶ
θάλπεσιν ἀσκιάστοις καὶ κρυμοῖς ὑπαίθροις ἐγγυμνα-
ζόμενα.

6. παραπλησίως δὲ γυμναζέτω καὶ τὸ ἱππικὸν
ἁμίλλας ποιούμενος καὶ διώγματα καὶ συμπλοκὰς καὶ
ἀκροβολισμοὺς ἐν τοῖς ἐπιπέδοις καὶ περὶ αὐτὰς τὰς

ῥίζας τῶν λόφων, ἐφ' ὅσον δυνατόν ἐστι καὶ τῶν τραχέων ἐκφαίνειν· οὐ γὰρ οἷόν τε βιάζεσθαι πρὸς ἀνάντη καὶ κατὰ κρανοῦς ἐκπιάζεσθαι. 49

β'.

[ΠΕΡΙ ΠΡΟΝΟΜΩΝ.]

7. *Σωφρονείτω δὲ περὶ τὰς προνομὰς καὶ μὴ ἐφιέτω ταῖς δυνάμεσιν, ἐπειδὰν εἰς εὐδαίμονα πολεμίων εἰσβάλῃ χώραν, ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας· αἱ γὰρ μέγισται συμφοραὶ κἂν τοῖς τοιοῖσδε γίγνονται· πολλάκις γὰρ ἀτάκτοις καὶ σποράσι περὶ τὴν λείαν σεσοβημένοις ἐπιπεσόντες οἱ πολέμιοι καὶ διὰ τὸ ἀσύντακτον τοῦ πλήθους καὶ διὰ τὸ βαρεῖς εἶναι τοὺς ἀποχωροῦντας ταῖς ὠφελείαις οὔτε τοῖς ὅπλοις χρῆσθαι δυναμένους οὔτ' ἀλλήλοις ἐπικουρῆσαι πολλοὺς διέφθειραν.* 8. *εἰ δέ τινες δίχα τοῦ τὸν στρατηγὸν κελεῦσαι προνομεύοιεν, οὗτοι κολαζέσθων. αὐτός γε μὴν ὅτ' ἂν ἐπὶ τὴν λείαν ἐκπέμπῃ, τοῖς ψιλοῖς καὶ ἀνόπλοις συντεττέτω μαχίμους ἱππεῖς καὶ πεζούς, οἳ περὶ μὲν τὴν λείαν οὐκ ἀσχολήσονται, μένοντες δ' ἐν τάξει παραφυλάξουσι τοὺς προνομεύοντας, ἵν' ᾖ σφισιν ἀσφαλὴς ἡ ἀποχώρησις.* 50

γ'.

[ΠΕΡΙ ΚΑΤΑΣΚΟΠΩΝ.]

9. *Εἰ δὲ συλλάβοι ποτὲ κατασκόπους, μὴ μιᾷ κεχρήσθω γνώμῃ· ἀλλ', ἐὰν μὲν ἀσθενέστερα τὰ ἴδια ἤπερ τὰ παρὰ τῶν πολεμίων εἶναι νομίζῃ, κτεινάτω τούτους, ἂν δὲ καὶ ὁπλισμῷ καλῷ κεχρημένος ᾖ καὶ παρασκευαῖς ἐντελέσι καὶ δυνάμει πολλῇ καὶ εὐεξίᾳ*

σωμάτων καὶ πειθηνίῳ στρατεύματι καὶ ἡγεμόσιν ἀρίστοις καὶ ἐμπειρίᾳ μεμελετημένῃ, παραλαβὼν τοὺς κατασκόπους καὶ ἐν κόσμῳ τὴν στρατιὰν ἐπιδειξάμενος οὐκ ἂν ἁμάρτοι ποτὲ καὶ ἀθώους ἀποπέμψας. τὰ μὲν γὰρ πλεονεκτήματα τῶν ἀντιπολέμων ἀγγελλόμενα φοβεῖσθαι συνηνάγκασεν, τὰ δ' ἐλαττώματα θαρρεῖν παρεστήσατο.

δ'.

[ΠΕΡΙ ΝΥΚΤΟΦΥΛΑΚΩΝ.]

10. *Φύλακας δὲ καταταττέτω καὶ πλείους, ἵν' ἐν μέρει διελόμενοι τὴν τῆς νυκτὸς ὥραν οἱ μὲν ὑπνοῦν οἱ δὲ γρηγορεῖν αἱρῶνται· οὔτε γὰρ ἀναγκαστέον οὔθ' ὑπισχνουμένοις πιστευτέον ὅλην ἀγρυπνήσειν νύκτα τοὺς αὐτούς· εἰκὸς γάρ ποτε καὶ παρὰ γνώμην ἐνδιδόντων τῶν μελῶν αὐτόματον ὕπνον ἐπελθεῖν. 11. ὀρθοὶ
51 δ' ἑστῶτες φυλαττόντων· αἱ γὰρ καθέδραι καὶ ἀναπτώσεις συνεκλύουσαι τὰ σώματα μαραίνουσιν εἰς ὕπνον, ἡ δ' ἀνάστασις καὶ ὁ τόνος τῶν σκελῶν ἐγρήγορσιν ἐντίθησι τῇ διανοίᾳ. 12. καιόντων δ' οἱ φύλακες πυρὰ πορρωτέρω τῆς στρατοπεδείας· οὕτως γὰρ τοὺς μὲν προσιόντας διὰ τοῦ φωτὸς ἐκ πολλοῦ συνόψονται, τοῖς δ' ἐκ τοῦ φωτὸς ἐν σκότῳ τυγχάνοντες οὐκ ἀθρήσονται, μέχρις ἂν εἰς χεῖρας ἔλθωσιν.*

ε'.

[ΠΕΡΙ ΛΑΘΡΑΙΑΣ ΑΝΑΧΩΡΗΣΕΩΣ ΤΟΥ ΣΤΡΑΤΕΥΜΑΤΟΣ.]

13. *Εἰ δὲ βούλοιτό ποτε νύκτωρ ἀναστῆσαι τὸ στράτευμα λανθάνων τοὺς πολεμίους, ἢ τόπους προκα-
52 ταλαβέσθαι προαιρούμενος ἢ τοὺς ὄντας φεύγων ἢ*

μηδέπω βουλόμενος εἰς ἀνάγκην ἐλθεῖν τοῦ μάχεσθαι, πυρὰ πολλὰ καύσας ἀναχωρείτω· βλέποντες μὲν γὰρ οἱ πολέμιοι τὰ φῶτα δοκοῦσι κατὰ χώραν αὐτὸν μένειν, ἀφωτίστου δὲ μεταξὺ γενομένης τῆς παρεμβολῆς ὑπόνοιαν ἀναλαβόντες, ὡς φεύγουσιν, ἐνέδρας τε προεκπέμπουσι καὶ διώκουσιν.

ϛʹ.

[ΠΕΡΙ ΣΤΡΑΤΗΓΩΝ ΚΟΙΝΟΛΟΓΟΥΜΕΝΩΝ ΤΟΙΣ ΤΩΝ ΕΝΑΝΤΙΩΝ ΣΤΡΑΤΗΓΟΙΣ.]

14. Ἐὰν δʼ ἐπὶ τῶν αὐτῶν μένων εἰς ὄψιν ἔρχηταί ποτε τῷ τῶν πολεμίων στρατηγῷ, κοινολογησόμενος, ὡς αὐτὸς εἰπεῖν ἢ ἀκοῦσαί τι βουλόμενος, ἐκλεξάμενος τοὺς κρατίστους καὶ ἀξιοπρεπεστάτους τῶν νέων, εὐρώστους καλοὺς μεγάλους ὅπλοις διαπρεπέσι κοσμήσας ἔχων περὶ αὐτόν, ἀπαντάτω· πολλάκις γὰρ τοι- 53
όνδε τὸ πᾶν ἀπὸ μέρους ὀφθέντος ἠλπίσθη, καὶ οὐκ ἐξ ὧν ἤκουσεν ὁ στρατηγὸς ἐπείσθη, τί δεῖ ποιεῖν, ἀλλʼ ἐξ ὧν εἶδεν, ἐφοβήθη.

ζʹ.

[ΠΕΡΙ ΑΥΤΟΜΟΛΩΝ.]

15. Τῶν δʼ αὐτομόλων εἴ τινες ἢ καιρὸν ἀφικνοῦνται μηνύσοντες ἢ ὥραν ἐπιθέσεως, ἢ ὁδὸν ἐπαγγέλλονται καθηγήσασθαι καὶ διὰ σκοπῶν ἀοράτων τοῖς πολεμίοις ἄξειν, δήσας αὐτοὺς ἀγέτω, τοῦτο ποιῶν σφισι φανερόν, ὡς, ἐὰν μὲν ἀληθεύσωσι καὶ ἐπὶ σωτηρίᾳ καὶ νίκῃ πάντα ποιήσωσι τοῦ στρατεύματος, λύσει τέ σφας καὶ δωρεὰς δώσει καταξίους, ἐὰν δʼ ἐξαπατή- 54
σωσι καὶ ψεύσωνται τοῖς σφετέροις ἐγχειρίσαι βουλόμενοι τὸ στράτευμα, παρʼ αὐτὸν ἐκεῖνον τὸν καιρὸν

ὄντες ἐν δεσμοῖς ὑπὸ τῶν κινδυνευόντων κατασφαγήσονται· πίστις γὰρ αὐτομόλου τι μηνύοντος αὕτη βεβαιοτάτη, τὸ μὴ αὐτὸν εἶναι τῆς αὑτοῦ ψυχῆς κύριον, ἀλλὰ τοὺς ὁδηγουμένους.

η'.

[ΠΕΡΙ ΤΟΥ ΟΡΑΝ ΚΑΙ ΤΗΝ ΤΩΝ ΠΟΛΕΜΙΩΝ ΠΑΡΕΜΒΟΛΗΝ.]

16. Ὁράτω δὲ καὶ τὴν τῶν πολεμίων παρεμβολὴν ἐμπείρως· μήτε γάρ, ἐὰν ἐν ἐπιπέδῳ καὶ κατὰ κύκλον ἴδῃ κείμενον βραχὺν τὴν περίμετρον καὶ συνεσταλμένον χάρακα, δοκείτω τοὺς πολεμίους ὀλίγους εἶναι — πᾶς γὰρ κύκλος ἐλάττω τὴν τοῦ σχήματος ὄψιν ἔχει τῆς ἐξ ἀναλόγου στερεομετρουμένης θεωρίας, καὶ πλείους δύναται δέξασθαι τὸ ἐν αὐτῷ περιγραφόμενον εὖρος, ἢ ἰδὼν ἄν τις ὄψει τεκμήραιτο —, μήτε, ἂν αἱ πλευραὶ τοῦ χάρακος ἐπὶ μῆκος ἐκτείνωσι καὶ κατά τι μέρος στεναὶ τυγχάνωσιν ἢ σκολιαὶ καὶ πολυγώνιοι καὶ ὀξυγώνιοι, πολὺ πλῆθος ἐλπιζέτω· τῆς μὲν γὰρ στρατοπεδείας ἡ ὄψις μεγάλη φαίνεται, τοὺς δ' ἐν αὐτῇ περιειλημμένους ἄνδρας οὐ πάντως πλείονας ἔχει τῶν ἐν κύκλῳ περιγραφομένων. 17. οἱ δ' ἐπὶ τῶν ὀρῶν καὶ λόφων χάρακες, ἐὰν μὴ συμφυεῖς ὦσι πάντῃ, μείζους μὲν ὁρῶνται τῶν ἐν τοῖς ἐπιπέδοις, ἐλάττους δὲ ἢ κατὰ τὴν ὄψιν ἄνδρας περιέχουσιν· πολλὰ γὰρ ἀνθρώπων ἐντὸς ἀπολείπεται γυμνὰ μέρη· τῶν γὰρ τοιούτων τόπων ἀνάγκη πολλὰ μὲν εἶναι βάραθρα, πολλὰ δὲ κρημνώδη καὶ τραχέα καὶ ἀκατασκήνωτα, τοῦ δὲ χάρακος πρὸ τῶν ἀνθρώπων τιθεμένου, τούτου τὸ μῆκος εὐλόγως ἐπεκτείνεται. 18. μήτ' οὖν, ἐπειδὰν ἴδῃ βραχὺν καὶ συνεσταλμένον, κατα-

φρονείτω συλλογιζόμενος καὶ τὸν τόπον καὶ τὸ σχῆμα, 55
μήτ᾽, ἂν καὶ παραμήκη, καταπληττέσθω.

19. ταῦτα μέντοι γιγνώσκων εὐκαίρῳ ποτὲ στρατηγίᾳ χρησάσθω, καὶ καταστρατοπεδεύσας ἐν ὀλίγῳ κατὰ τὸ προειρημένον σχῆμα, καί, εἰ δέοι, καὶ συνθλίψας τὸ στράτευμα μὴ προαγέτω μήτε δεικνύτω τοῖς ἀντεστρατοπεδευκόσι, καὶ δὴ προκαλουμένοις εἰς μάχην μὴ ἐξαγέτω· δοκείτω δὲ καὶ δεδιέναι. 20. πολλάκις γὰρ οἱ πολέμιοι καταφρονήσαντες ὡς ὀλίγων ὄντων τῶν ἐναντίων, ὄψει καὶ οὐκ ἐμπειρίᾳ στρατηγικῇ τὰ πράγματα κρίνοντες, ῥαθυμότερον ἀνεστράφησαν ἀφυλάκτως καὶ ἀτάκτως τῆς ἰδίας προϊόντες παρεμβολῆς, ὡς οὐ τολμησόντων σφίσι τῶν πολεμίων ἐπεξελεύσεσθαι, ἢ καὶ τῷ χάρακι περιστάντες πολιορκοῦσιν ἀπροσδόκητοι τοῦ μέλλοντος ἐκχυθήσεσθαι πλήθους· ἡ δ᾽ ἀνελπιστία τῶν δεινῶν ἀμελεστέρους ἐποίησε τοὺς στρατιώτας. ἔνθα δεῖ τὸν καιρὸν ἁρπάσαντα κατὰ πολλὰς ἐκδραμόντα τοῦ χάρακος πυλίδας ἐν τάξει τῶν ὑποκειμένων ἀνδρείως ἔχεσθαι πραγμάτων. 21. ὁ δ᾽ εἰδὼς οὕτω στρατηγεῖν εἴσεται, κἂν ὑπὸ τῶν πολεμίων ἐν τοῖς αὐτοῖς καταστρατηγῆται, καὶ δρᾶσαί τι φρόνιμος ἔσται καὶ φυλάξασθαι προμηθής· ἐξ ὧν γὰρ αὐτὸς εἴσεται, τί δεῖ ποιεῖν, ἐκ τούτων ἑτέρου ποιοῦντος γνώσεται, τί χρὴ μὴ παθεῖν· αἱ γὰρ ἴδιαι πρὸς τὸ λυπεῖν ἐμπειρίαι καὶ τὰς τῶν πέλας ἐπινοίας τεκμαίρονται.

θ'.

[ΠΕΡΙ ΑΠΟΡΡΗΤΩΝ.]

22. *Προάγειν δ᾽ εἰ δέοι νύκτωρ ἢ μεθ᾽ ἡμέραν ἐπί*
τι τῶν ἀπορρήτων, ἢ φρούριον ἢ πόλιν ἢ ἄκρα ἢ πα- 56

ρόδους καταληψόμενον ἤ τι τῶν ἄλλων δράσοντα, ἃ διὰ τάχους λαθόντα τοὺς πολεμίους, ἄλλως δ' οὐκ ἔστι πρᾶξαι, μηδενὶ προλεγέτω, μήτ' ἐπὶ τί μήτε τί ποιήσων ἄγει τὴν στρατιάν, εἰ μή τισι τῶν ἡγεμόνων ἀναγκαῖον εἶναι νομίζοι προειπεῖν. 23. γενόμενος δ' ἐπ' αὐτῶν τῶν τόπων ἐγγὺς ὄντος τοῦ παρ' ὃν δρᾶσαί τι δεῖ καιροῦ διδότω τὸ παράγγελμα καὶ τί δεῖ πράττειν σημαινέτω· ταχὺ δὲ τοῦτο ἔστω καὶ δι' ὀλίγης ὥρας· ἅμα γὰρ οἱ ἡγεμόνες ἀκούουσι καὶ οἱ ὑποτεταγμένοι τούτοις ἴσασιν. 24. ἄφρων δὲ καὶ ἀτελής, ὅστις ἂν πρὸ τοῦ δέοντος εἰς τὸ πλῆθος ἀνακοινώσηται τὴν
57 πρᾶξιν· οἱ γὰρ πονηροὶ μάλιστα περὶ τοὺς τοιούτους αὐτομολοῦσι καιρούς, παρ' οὓς ἐροῦντές τι καὶ μηνύσοντες οἴονται τιμῆς καὶ δωρεᾶς τεύξεσθαι παρὰ τῶν πολεμίων· οὐκ ἔστιν δ' ἀφ' οὗ στρατεύματος οὐκ ἀποδιδράσκουσι πρὸς ἀλλήλους δοῦλοί τε καὶ ἐλεύθεροι κατὰ πολλὰς προφάσεις, ἃς ἀνάγκη παρέχεσθαι πόλεμον.

ι'.

[ΠΕΡΙ ΤΗΣ ΠΡΟ ΜΑΧΗΣ ΕΠΙΣΚΕΨΕΩΣ ΤΩΝ ΙΕΡΩΝ.]

25. Μήτε δ' εἰς πορείαν ἐξαγέτω τὸ στράτευμα μήτε πρὸς μάχην ταττέτω, μὴ πρότερον θυσάμενος· ἀλλ' ἀκολουθούντων αὐτῷ θύται καὶ μάντεις. ἄριστον μὲν γὰρ καὶ αὐτὸν ἐμπείρως ἐπισκέπτεσθαι δύνασθαι τὰ ἱερά· ῥᾷστόν γε μὴν ἐν τάχει μαθεῖν ἐστιν καὶ αὐτὸν αὐτῷ σύμβουλον ἀγαθὸν γενέσθαι. 26. γενομένων δὴ καλῶν τῶν ἱερῶν ἀρχέσθω πάσης πράξεως καὶ καλείτω τοὺς ἡγεμόνας πάντας ἐπὶ τὴν ὄψιν τῶν ἱερῶν, ἵνα θεασά-
58 μενοι τοῖς ὑποταττομένοις θαρρεῖν λέγοιεν ἀπαγγέλλοντες, ὡς οἱ θεοὶ κελεύουσι μάχεσθαι· πάνυ γὰρ

ἀναθαρροῦσιν αἱ δυνάμεις, ὅτ' ἂν μετὰ τῆς τῶν θεῶν γνώμης ἐξιέναι νομίζωσιν ἐπὶ τοὺς κινδύνους· αὐτοὶ γὰρ ὀπιπεύονται κατ' ἰδίαν ἕκαστος καὶ σημεῖα καὶ φωνὰς παρατηροῦσιν, ἡ δ' ὑπὲρ πάντων καλλιέρησις καὶ τοὺς ἰδίᾳ δυσθυμοῦντας ἀνέρρωσεν. 27. ἐὰν δ' ἐπὶ τοὐναντίον τὰ ἱερὰ γένηται, μένειν ἐπὶ τῶν αὐτῶν, κἂν σφόδρα τι ἐπείγῃ, πᾶν ὑπομένειν τὸ δύσχρηστον — οὐθὲν γὰρ δύναται παθεῖν χεῖρον, ὧν προμηνύει τὸ δαιμόνιον —, ὡς, ἄν γέ τι κρεῖττον ἔσεσθαι μέλλῃ τῶν παρόντων, ἀνάγκη καλλιερεῖν, θύεσθαι δὲ τῆς αὐτῆς ἡμέρας πολλάκις· ὥρα γὰρ μία καὶ ἀκα- 59
ρὴς χρόνος ἢ φθάσαντας ἐλύπησεν ἢ ὑστερήσαντας. 28. καί μοι δοκεῖ τὰς κατ' οὐρανὸν ἀστέρων κινήσεις καὶ ἀνατολὰς καὶ δύσεις καὶ σχημάτων ἐγκλίσεις τριγώνων καὶ τετραγώνων καὶ διαμέτρων ἡ θυτικὴ διὰ σπλάγχνων ἀλλοιομόρφῳ θεωρίᾳ προσημαίνειν, ὧν αἱ παρὰ μικρὸν διαφοραὶ καὶ δυνάμεις καὶ ἀποθειώσεις ἐν ἡμέρᾳ μιᾷ μᾶλλον δ' ὥρᾳ καὶ βασιλεῖς ἐποίησαν καὶ αἰχμαλώτους.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

α'.

[ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΙ ΤΩΝ ΠΟΛΕΜΙΩΝ ΣΧΗΜΑΤΙΖΟΜΕΝΩΝ ΦΕΥΓΕΙΝ ΜΗ ΑΠΛΩΣ ΚΑΙ ΩΣ ΕΤΥΧΕΝ ΕΧΕΣΘΑΙ ΤΗΣ ΔΙΩΞΕΩΣ.]

1. Ἐπειδὴ δὲ πολλάκις θυομένοις ὡς μὲν εἰς μάχην καλὰ γίγνεται τὰ ἱερά, διὰ δὲ μάχης ὅλον ἐνίοτε στρατευμάτων ὄλεθρον προσημαίνει, τῶν ἀναγκαιοτάτων ἡγοῦμαι περὶ τούτου φράσαι. 2. τῆς γὰρ συμπάσης οἰκουμένης πολλὰς καὶ παντοίας εἶναι συμβέβηκεν ἰδέας

τόπων, ἄδηλον δέ, ἐν ὁποίοις ἕκαστοι πολεμήσουσιν·
60 καὶ τῆς μὲν σφῶν αὐτῶν ἐμπειρίαν ἔχουσι χώρας ἄν-
θρωποι, τὴν δ' ἀλλοτρίαν οὐκ ἴσασιν. 3. πολλάκις δ'
εἰ στρατηγὸς ἀκούσας μιᾶς ἡμέρας ὁδὸν ἀπέχειν τοὺς
πολεμίους ἀναστήσας ἄγει τὸν στρατόν, ἐπειγόμενος
διὰ μάχης ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ' ὑποχωρούν-
των ἐπίτηδες καὶ μὴ μενόντων, ὡς κατορρωδοῦσιν
ἕπεται, τῶν δὲ ταὐτὸ τοῦτο ποιούντων, ἕως ἔλθωσιν
εἰς δυσχωρίας καὶ περικεκλεισμένους ὄρεσι τόπους,
ἐπίκειται μηδὲν ὑφορώμενος, εἶτα ἐμβαλὼν εἰς τοὺς
τόπους ὑπὸ τῶν πολεμίων ἀπεκλείσθη τῆς εἰσβολῆς
ᾗ τὸ στράτευμα εἰσῆλθε, καὶ καταλαβόμενοι τάς τε
εἰς τοὔμπροσθεν διόδους καὶ κύκλῳ τὰ μετέωρα πάντα
61 κατασχόντες, ὥσπερ ἐν ζωγρείῳ τινὶ συνεπέδησαν
μὲν τοὺς πολεμίους, ὁ δὲ παριὼν μὲν ὑπὸ τῆς ὁρμῆς
ἐφέρετο δοκῶν ἐπικεῖσθαι φυγομαχοῦσι τοῖς πολε-
μίοις, οἷς προσελθὼν οὐκ ἔγνω, μετὰ δὲ ταῦτα περι-
βλεψάμενος τά τε πρόσω καὶ ὀπίσω καὶ παρὰ πλευράν,
καὶ πάντα πλήρη θεασάμενος πολεμίων ἢ συνηκον-
τίσθη μετὰ τοῦ στρατεύματος, ἢ ἀπομάχεσθαι μὴ δυ-
νάμενος καὶ μὴ παραδιδοὺς λιμῷ διέφθειρε πάντας,
ἢ παραδοὺς κυρίους ἐποίησε τοὺς πολεμίους τοῦ ὅ τι
62 βούλονται διαθεῖναι. 4. δεῖ τοίνυν τὰς ὑποχωρήσεις
ὑφορᾶσθαι τῶν πολεμίων καὶ μὴ ἀπειροκάλως ἕπε-
σθαι καὶ περιβλέπεσθαι δὲ μᾶλλον τοὺς τόπους ἢ
τοὺς πολεμίους καὶ δι' ὧν ἄγει χωρίων ὁρᾶν, ἐπιλο-
γίζεσθαι δέ, ὅτι ταύτῃ πάλιν ὑποστρέψαι δεῖ, καὶ
ἤτοι μηδ' εἰσβάλλειν, ἀλλ' ἀποτρέπεσθαι τῆς πορείας,
ἢ εἰσβάλλοντα προορᾶν καὶ εἰς τὰς ὑπερβολὰς καὶ
τοὺς συνάπτοντας αὐχένας τῶν ὀρῶν ἀπολείπειν τοὺς
παραφυλάττοντας, ἵν' ἀσφαλής σφισιν ἡ ἀνακομιδὴ
γίγνηται. 5. ταῦτα δ' εἰρήσθω καὶ τοῦ καταστρατηγεῖν

οὕτως ἕνεκα καὶ τοῦ μὴ καταστρατηγεῖσθαι· καλὸν μὲν γὰρ καὶ τὸ λαβεῖν οὕτως δύνασθαι πολεμίους, ἀναγκαῖον δὲ τὸ μὴ ληφθῆναι.

β΄.

[ΠΕΡΙ ΤΟΥ ΠΡΟΣΙΕΣΘΑΙ ΤΟΥΣ ΑΠΑΓΓΕΛΛΟΝΤΑΣ ΤΙ.]

6. Προσιέσθω δὲ καὶ πάντα τὸν βουλόμενόν τι
ἀπαγγέλλειν καὶ δοῦλον καὶ ἐλεύθερον καὶ νύκτωρ
καὶ μεθ᾽ ἡμέραν καὶ ἐν πορείᾳ καὶ ἐν κατασκηνώσει
καὶ ἀναπαυόμενος καὶ ἐπὶ λουτροῦ καὶ ἐπὶ τροφῆς·
οἱ γὰρ ἀναβαλλόμενοι καὶ δυσπρόσιτοι καὶ τοῖς ὑπη- 63
ρέταις τοὺς προσιόντας ἀνακόπτειν κελεύοντες πολ-
λῶν καὶ μεγάλων εἰκότως διαμαρτάνουσι πραγμάτων,
ἢ καὶ τοῖς ὅλοις ῥαθυμοῦντες σφάλλονται· πολλάκις
γὰρ ἐν ὀξεῖ τὸ δυνάμενον καιρῷ φθασθῆναι πάρεισί
τινες μηνύοντες.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

[ΠΕΡΙ ΑΡΙΣΤΟΠΟΙΙΑΣ.]

1. Ἀντιστρατοπεδεύων δὲ πολεμίων χάρακι μηδὲ τῆς κατὰ καιρὸν ἀριστοποιίας ἀμελείτω· ἐὰν μὲν γὰρ ἐφ᾽ ἑαυτῷ νομίζῃ τὸ ὅτε βούλεται τὸ στράτευμα πρὸς μάχην ἐκτάττειν εἶναι, καὶ ἡνίκ᾽ ἂν ἐθέλῃ, παραγγελλέτω ταῖς δυνάμεσιν ἀριστοποιεῖσθαι· ἐὰν δ᾽ εἰς τοσαύτην ἀνάγκην ἐληλυθὼς τυγχάνῃ διά τινας τόπους ἢ χάρακος ἀσθένειαν ἤ τινας ἄλλας αἰτίας, ὥστ᾽ ἐπὶ τοῖς πολεμίοις ἀπολελεῖφθαι τὸ ἐξάγειν ὁπότε προαιροῦνται καὶ τὴν ἀνάγκην σφίσιν ἐπιτιθέναι τοῦ τὰ ὅπλα λαμβάνειν καὶ ἀντιπαρατάττεσθαι, μὴ ὀκνείτω καὶ ἕω-

θεν ἀριστοποιεῖσθαι σημαίνειν, μὴ φθάσωσι νήστισιν ἐπιθέντες οἱ πολέμιοι τὴν ἀνάγκην τοῦ μάχεσθαι.
2. καὶ τὸ σύνολον οὐκ ἐν μικρῷ θετέον οὐδὲ παροραττέον τὴν τῶν τοιούτων πρόνοιαν· ἐμφαγόντες γὰρ
64 στρατιῶται μετρίως, ὥστε μὴ πολὺν ἐμφορτίσασθαι τῇ γαστρὶ κόρον, δυναμικώτεροι πρὸς τὰς μάχας εἰσίν· πολλάκις καὶ παρὰ τοῦθ' ἡττήθη στρατόπεδα τῆς ἰσχύος ἐλλειπούσης διὰ τὴν ἔνδειαν, ὅταν μὴ ἐν ὀξεῖ καιρῷ κρίνηται τὰ τῆς μάχης, ἀλλὰ δι' ἡμέρας ὅλης λαμβάνῃ τὸ τέλος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

[ΠΕΡΙ ΤΟΥ ΕΙΝΑΙ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΕΥΘΥΜΟΝ ΕΝ ΤΑΙΣ ΔΥΣΠΡΑΓΙΑΙΣ.]

1. Ὅτ' ἂν δέ τις ἐμπέσῃ δυσθυμία στρατεύματι καὶ φόβος ἢ συμμαχίας τοῖς πολεμίοις ἀφιγμένης ἢ προτερήματός σφισι γεγονότος, ὁ στρατηγὸς τότε δὴ μάλιστα τοῖς στρατιώταις ἱλαρὸς καὶ γεγηθὼς καὶ ἀκατάπληκτος φαινέσθω· 2. αἱ γὰρ ὄψεις τῶν ἡγεμόνων συμμετασχηματίζουσι τὰς ψυχὰς τῶν ὑποταττομένων,
65 καὶ στρατηγοῦ μὲν εὐθυμουμένου καὶ ἱλαρὸν βλέποντος ἀναθαρρεῖ καὶ τὸ στρατόπεδον ὡς οὐθενὸς ὄντος δεινοῦ, κατεπτηχότος δὲ καὶ λυπουμένου συγκαταπίπτουσι ταῖς διανοίαις ὡς μεγάλου σφίσι κακοῦ προφαινομένου. 3. διὸ χρὴ πλέον τῷ σχήματι τοῦ προσώπου στρατηγεῖν τὴν τοῦ πλήθους εὐθυμίαν ἢ τοῖς λόγοις παρηγορεῖν· λόγοις μὲν γὰρ πολλοὶ καὶ ἠπίστησαν ὡς τοῦ καιροῦ πεπλασμένοις ἕνεκεν, ὄψιν δὲ θαρροῦσαν ἀνυπόκριτον εἶναι νομίζοντες ἐπιστώσαντο

τὴν ἀφοβίαν· ἀγαθὴ δ' ἡ ἐξ ἀμφοῖν ἐπιστήμη τοῦ τε εἰπεῖν, ἃ δεῖ, καὶ ὀφθῆναι, ὁποῖον δεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

α'.

[ΠΟΤΕ ΔΕΙ ΦΟΒΟΝ ΕΜΒΑΛΛΕΙΝ ΤΩΙ ΣΤΡΑΤΕΥΜΑΤΙ ΤΩΙ ΙΔΙΩΙ ΤΟΝ ΑΠΟ ΤΩΝ ΕΝΑΝΤΙΩΝ.]

1. *Καθάπερ γε μὴν ἐν καιρῷ στρατεύματος ἀναθάρσησις ὤνησεν, οὕτως καὶ φόβος ὠφέλησεν. ὅτ' ἂν γὰρ ῥαθυμῇ στρατόπεδον καὶ ἀπειθέστερον ᾖ τοῖς ἡγουμένοις, τὸν ἀπὸ τῶν πολεμίων ὑποσημαίνειν δεῖ κίνδυνον, οὐχ ἥκιστα φοβεροποιοῦντα τὴν ἐκείνων ἐφεδρείαν· οὐ γὰρ δειλοὺς ἔσται ποιεῖν οὕτως, ἀλλ' ἀσφαλεῖς· ἐν μὲν γὰρ ταῖς δυσθυμίαις θαρρεῖν ἀναγκαῖον, ἐν δὲ ταῖς ῥαθυμίαις φοβεῖσθαι· τοὺς μὲν γὰρ δειλοὺς ἀνδρείους ποιεῖ, τοὺς δὲ θρασεῖς προμηθεῖς.*
2. *ἀμφότερα δὲ συμβαίνει στρατοπέδοις, καὶ οὕτως κα-* 66
ταπεπλῆχθαι πολεμίους ὥστε μηδὲν ἐθέλειν τολμᾶν, καὶ οὕτως καταφρονεῖν ὥστε μηδὲν φυλάττεσθαι· πρὸς ἑκάτερον δὲ δεῖ τὸν στρατηγὸν ἡρμόσθαι καὶ εἰδέναι, πότε δεῖ τἀντίπαλα ταπεινὰ καὶ λόγῳ καὶ σχήματι ποιεῖν, καὶ πότ' αὐτὰ δεινὰ καὶ φοβερώτερα.

β'.

[ΠΕΡΙ ΤΟΥ ΘΑΡΡΥΝΕΙΝ ΤΟ ΔΕΔΙΟΣ ΣΤΡΑΤΕΥΜΑ.]

3. *Μελλούσης δὲ μάχης, ὅτ' ἄδηλον ἔχοντα τὰ στρατεύματα τὴν κρίσιν τοῦ πολέμου διατετάρακται τῷ φόβῳ, δυνηθεὶς πῃ λαβεῖν αἰχμαλώτους ὁ στρατηγὸς*

ἢ ἀπ' ἐνέδρας ἢ διαπροβολισάμενος ἢ καὶ ἀποστατοῦν-
τας τῆς ἰδίας παρεμβολῆς, εἰ μέν τινας γενναίους
τοῖς φρονήμασι καὶ τοῖς σώμασι καταμάθοι, τούτους
ἢ ἀποκτεινάτω παραχρῆμα λαβὼν ἢ δήσας παραδότω
τοῖς ἐπὶ ταῦτα τεταγμένοις φυλάττειν κελεύσας, ὅπως
μὴ πολλοὶ θεάσωνται τοὺς ἄνδρας, εἰ δ' ἀσθενεῖς καὶ
67 ἀγεννεῖς καὶ μικροψύχους, ἔτι καὶ προαπειλήσας σφί-
σιν ἐπὶ τῆς ἰδίας σκηνῆς καὶ προδουλώσας σφῶν τῷ
φόβῳ τὰς ψυχὰς εἰς τὰ πλήθη προαγέτω δακρύοντας
καὶ δεομένους, ἅμα λέγων καὶ ἐνδεικνύμενος τοῖς
στρατιώταις, ὡς ἀγεννεῖς καὶ ταπεινοὶ καὶ οὐδενὸς
ἄξιοι, καὶ ὡς πρὸς τοιούτους ἐστὶν ἄνδρας αὐτοῖς ἡ
μάχη δεδιότας οὕτως τὸν θάνατον, ἁπτομένους γονά-
των καὶ προκυλιομένους τῶν ἑκάστου ποδῶν. 4. ἐπα-
ναθαρρεῖ γὰρ ἐπὶ τούτοις ὁ στρατὸς ἤδη προκατανενοη-
κὼς τῶν πολεμίων ὄψεις τε καὶ πάθη ψυχῆς· ἀεὶ γάρ,
68 ὃ μηδέπω τις ἑώρακεν, ἐλπίζει μεῖζον γίγνεσθαι τῆς
ἀληθείας, ἔτι καὶ τῷ τοῦ μέλλοντος φόβῳ τὴν ἐλπίδα
μετρεῖ πρὸς τὸ χαλεπώτερον.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

[ΟΤΙ ΔΙΑΦΟΡΑΙ ΠΟΛΛΑΙ ΤΩΝ ΤΑΞΕΩΝ.]

Τάξις δ' οὐ μία πολέμου, πολλαὶ δὲ καὶ διάφοροι
καὶ παρὰ τοὺς ὁπλισμοὺς καὶ παρὰ τοὺς στρατευομέ-
νους καὶ παρὰ τοὺς τόπους καὶ παρὰ τοὺς ἀντιπολέ-
μους, ὧν τὰς διαφορὰς ὁ στρατηγὸς ἐπ' αὐτῶν εἴσε-
69 ται τῶν καιρῶν· ἃ δ' ἂν οὐχ ἥκιστα πολλαῖς ἁρμόζοι
παρατάξεσι δίχα τῶν ἐπ' αὐτῶν τῶν πραγμάτων
ἀνάγκην ἐχουσῶν νοεῖσθαι, ταῦθ' ὡς ἐν κεφαλαίῳ
δίειμι.

ΚΕΦΑΛΑΙΟΝ Ις.

[ΟΤΙ ΠΡΟΣ ΤΟ ΑΝΤΙΠΟΛΕΜΟΝ ΚΑΙ ΤΟ ΙΔΙΟΝ ΣΥΝΤΑΞΕΙ.]

Ἱππεῖς μὲν δὴ στρατηγὸς οὐχ οὕτως, ὡς βούλεται,
μᾶλλον δ' ὡς ἀναγκάζεται, τάξει· πρὸς γὰρ τὸ ἀντι-
πόλεμον ἱππικὸν καὶ τὸ ἴδιον στήσει. ταττέτω δ' ὡς
τὰ πολλὰ κατὰ τὰς ἐκ παρατάξεως μάχας ἐπὶ κέρως,
ἵνα καὶ κατὰ πρόσωπον καὶ ἐκ πλαγίων προσβάλλον-
τες καὶ τόπῳ μείζονι χρώμενοι, μεθ' οὓς οὐκ ἔτ' ἄλλοι 70
τεταγμένοι τυγχάνουσιν, ἔχωσιν ἀποχρῆσθαι τῇ τῆς
ἱππικῆς ἐπιστήμῃ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

[ΟΤΙ ΤΟΥΣ ΨΙΛΟΥΣ ΑΚΟΝΤΙΣΤΑΣ ΚΑΙ ΤΟΞΟΤΑΣ ΚΑΙ ΣΦΕΝΔΟΝΙΣΤΑΣ ΠΡΩΤΟΥΣ ΣΤΗΣΕΙ ΤΗΣ ΦΑΛΑΓΓΟΣ.]

Ψιλοὺς δέ, ἀκοντιστὰς καὶ τοξότας καὶ σφενδονι-
στάς, πρώτους πρὸ τῆς φάλαγγος τάξει· κατόπιν μὲν 71
γὰρ ὄντες πλείονα κακὰ διαθήσουσι τοὺς ἰδίους ἢ
τοὺς πολεμίους, ἐν μέσοις δ' αὐτοῖς ἄπρακτον ἕξουσι
τὴν ἰδίαν ἐμπειρίαν, οὔθ' ὑποχωρεῖν ἀνὰ πόδα δυνά-
μενοι κατὰ τὴν ἀνάτασιν τῶν ἀκοντίων, οὔτ' ἐξ ἐπι-
δρομῆς βάλλειν προηγουμένων ἄλλων καὶ παρὰ ποσὶν
ὄντων, οὐδὲ μὴν οἱ σφενδονῆται κυκλόσε τὸν δῖνον
ἀποτελεῖν τῆς σφενδόνης παρὰ πλευρὰν ἑστώτων φι-
λίων ὁπλιτῶν καὶ πρὸς τὸν ῥόμβον ἀντιπταιόντων, οἵ τε 72
τοξόται προϊόντες μὲν τῶν ἄλλων εἰς αὐτὰ τὰ σώματα
καὶ κατὰ σκοπὸν ἐκτοξεύουσι τὰ βέλη, μετὰ δὲ τοὺς
λόχους ἢ ἐν αὐτοῖς μέσοις ὄντες εἰς ὕψος τοξεύουσιν,

ὥστε πρὸς μὲν τὴν ἄνω φορὰν τόνον ἔχειν τὸ βέλος, αὖθις δέ, κἂν κατὰ κεφαλῆς πίπτῃ τῶν πολεμίων, ἐκλελύσθαι καὶ μὴ πάνυ τι λυπεῖν τοὺς ἐχθρούς.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

[ΠΕΡΙ ΤΟΥ ΕΝ ΤΟΙΣ ΤΡΑΧΕΣΙ ΤΟΠΟΙΣ ΤΑΤΤΕΙΝ ΤΟΥΣ ΨΙΛΟΥΣ.]

Εἰ δὲ συμβαίνει γίγνεσθαι τὴν μάχην ἐν χωρίοις τινὰς μὲν χθαμαλούς τινὰς δὲ βουνοειδεῖς ἔχουσι τόπους, τότε δὴ μάλιστα τοὺς ψιλοὺς ἐν τοῖς τραχέσι ταττέτω, καὶ δή, κἂν αὐτὸς τὰ πεδινὰ κατειλημμένος ᾖ, τῶν δὲ πολεμίων μέρη τινὰ τῆς φάλαγγος ὀχθώδεις διακατέχῃ τόπους, κατὰ τούτους ἐπαγέτω τοὺς
73 *ψιλούς· ῥᾷόν τε γὰρ βαλόντες ὑποχωροῦσιν ἀπὸ τῶν τραχέων, ῥᾷστά τε τοῖς ἀνάντεσιν ἐπαναθέουσιν, ἂν ἐλαφροὶ τυγχάνωσιν.*

ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

[ΠΕΡΙ ΤΟΥ ΧΩΡΙΑ ΕΧΕΙΝ ΤΑΣ ΠΑΡΑΤΑΞΕΙΣ ΔΙ' ΩΝ ΟΦΕΙΛΟΥΣΙΝ ΟΙ ΨΙΛΟΙ ΕΝΤΟΣ ΤΩΝ ΚΟΝΤΩΝ ΕΙΣΕΡΧΟΜΕΝΟΙ ΥΠΟΣΤΕΛΛΕΣΘΑΙ.]

1. *Ἔστω δὲ διαστήματα κατὰ τὰς τάξεις, ἵν', ἐπει-*
74 *δὰν ἐκκενώσωσιν ἔτι προαγόντων τῶν πολεμίων τὰ βέλη, πρὶν εἰς χεῖρας ἐλθεῖν τὰς φάλαγγας, ἐπιστρέψαντες ἐν κόσμῳ διεξίωσι μέσην τὴν φάλαγγα καὶ ἀταράχως ἐπὶ τὴν οὐραγίαν ἀποκομισθῶσιν· οὔτε γὰρ κυκλεύειν αὐτοὺς ἅπαν τὸ στράτευμα καὶ κάμπτειν κατὰ κέρας ἀσφαλές ἐστιν — τάχα γάρ που φθάσουσιν*

αὐτοὺς ἐν τούτῳ συμμίξαντες οἱ πολέμιοι καὶ μέσους
ἀπολαβόντες —, οὔτε διὰ τῶν πεπυκνωμένων βιάζε- 75
σθαι, καὶ εἰς τὰ ὅπλα ἐμπίπτοντας τάραχον ἐμποιεῖν
ταῖς τάξεσιν ἄλλου πρὸς ἄλλον ἐνσείοντος. 2. αἱ δὲ κατὰ
κέρας ἔφοδοι τῶν ψιλῶν πλείονα λυμαίνονται τοὺς πο-
λεμίους, ἐκ πλαγίων ἀκοντιζόντων καὶ εἰς τὰ γυμνὰ
παραβιαζομένων παίειν. 3. ἡ δὲ τῆς σφενδόνης ἄμυνα
χαλεπωτάτη τῶν ἐν τοῖς ψιλοῖς ἐστιν· ὅ τε γὰρ μόλι-
βδος ὁμόχρους ὢν τῷ ἀέρι λανθάνει φερόμενος, ὥστ᾽
ἀπροοράτως ἀφυλάκτοις τοῖς τῶν πολεμίων ἐμπίπτειν
σώμασιν, αὐτῆς τε τῆς ἐμπτώσεως σφοδρᾶς οὔσης καὶ
ὑπὸ τοῦ ῥοίζου τριβόμενον τῷ ἀέρι τὸ βέλος ἐκπυ-
ρωθὲν ὡς βαθυτάτω δύεται τῆς σαρκός, ὥστε μηδ᾽
ὁρᾶσθαι, ταχὺ δὲ καὶ τὸν ὄγκον ἐπιμύειν.

ΚΕΦΑΛΑΙΟΝ Κ. 76

[ΟΠΩΣ ΔΕΙ, ΕΑΝ ΑΠΟΡΗΙ ΨΙΛΗΣ ΣΥΜΜΑΧΙΑΣ Ο ΣΤΡΑΤΗΓΟΣ, ΟΙ ΔΕ ΠΟΛΕΜΙΟΙ ΕΥΠΟΡΩΣΙΝ, ΕΠΙΦΕΡΕΣΘΑΙ ΑΥΤΟΙΣ.]

1. Εἰ δ᾽ αὐτὸς μὲν ἐνδεὴς εἴη τῆς τῶν ψιλῶν συμμα-
χίας, οἱ δὲ πολέμιοι ταύτῃ πλεονεκτοῖεν, οἱ μὲν πρω-
τοστάται πυκνοὶ πορευέσθων ἔχοντες ἀνδρομήκεις
θυρεούς, ὥστε σκέπειν ὅλα τὰ σώματα τοῖς μήκεσιν,
οἱ δὲ μετὰ τούτους καὶ οἱ κατόπιν τούτων ἄχρι τῶν
τελευταίων ὑπὲρ κεφαλῆς ἀράμενοι τοὺς θυρεοὺς τέως
ἐχόντων, ἄχρις ἂν ἐντὸς γένωνται βέλους· οὕτως γάρ,
ὡς εἰπεῖν, κεραμωθέντες οὐθὲν πείσονται δεινὸν ὑπὸ
τῶν ἐκβόλων. 2. εἰ δὲ παρ᾽ ἑκατέροις ἡ τῶν ψιλῶν εἴη 77
βοήθεια, πρῶτοι πρὸ τῆς ἐκ χειρὸς μάχης ἀκροβολι-
ζέσθων τοῖς ἀντιπάλοις, ἢ μετὰ τὴν συμπλοκὴν τῆς

φάλαγγος ἐκ πλαγίων ἐπιθέοντες ἀποχρήσθων τοῖς βέλεσιν· συνελαύνονται γὰρ εἰς ὀλίγον καὶ οὐχ ἧττον θορυβοῦνται τοῖς τοιούτοις ἀμυντηρίοις.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

[ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΙΣ ΠΟΛΥ ΜΗΚΟΣ ΕΚΤΕΙΝΕΙΝ ΤΗΝ ΦΑΛΑΓΓΑ ΤΑΣ ΚΥΚΛΩΣΕΙΣ ΤΩΝ ΕΝΑΝΤΙΩΝ ΦΟΒΟΥΜΕΝΟΥΣ.]

1. Τὰς δὲ κυκλώσεις φυλάττεσθαι βουλόμενος μήθ' οὕτως ἐπὶ μῆκος ἐκτεινέτω τὴν δύναμιν, ὥστε πάμπαν ἀσθενῆ καὶ ἀβαθῆ ποιῆσαι τὴν φάλαγγα — ταχὺ γάρ που συμβαίνει τοὺς πολεμίους διαρρήξαντας αὐτὴν δίοδον ποιεῖσθαι, καὶ μηκέτι παρὰ κέρας ἐνεργεῖν ταῖς κυκλώσεσιν, ἀλλὰ διεκπεσόντας μέσους κατὰ νώτου γίγνεσθαι τῶν ἐναντίων· τὸ δ' αὐτὸ μὴ μόνον φυλαττέσθω παθεῖν, ἀλλὰ καὶ ζητείτω ποιεῖν, ἐὰν ἀσθενῆ καὶ λεπτὴν κατανοήσῃ τὴν τῶν πολεμίων φάλαγγα —,
78 μήθ' οὕτως ἐπ' οὐρὰν συστελλέτω τὴν παράταξιν εἰς πολὺ βάθος ὑποστέλλων, ὥστ' ἐκ τοῦ ῥᾴστου τοὺς πολεμίους ὑπερκεράσαντας ἐντὸς αὐτὴν λαβεῖν. 2. ἰσχυροποιείτω μέντοι γε τὴν οὐραγίαν καὶ τοὺς παρὰ πλευρὰν τῶν κεράτων μὴ ἔλαττον τῶν πρωτοστατῶν· οὐχ ἧττον γὰρ ἀποκωλύουσιν οἱ κατ' οὐρὰν τὰς κυκλώσεις τῶν ἐπὶ κέρας ἐκτεινομένων, ἐὰν ἤτοι φθάσας ὁ στρατηγὸς τὸ μέλλον ἁπλώσας τὴν οὐραγίαν καὶ παρὰ τὰ κέρατα τῆς φάλαγγος ἀναβιβάσας ἑκατέρωθεν παραστήσῃ τοὺς κατόπιν εἰς τὸ πρόσωπον τῶν πολεμίων, ἢ καὶ παραγγείλῃ τοῖς ἐφθασμένοις ἤδη κυκλωθῆναι τὰ νῶτα τοῖς τῶν προηγουμένων νώτοις ἐγκλίναντας ἀμφίστομον ποιεῖσθαι τὴν μάχην. 3. ἀγχίνους μὲν στρα-

τηγός τις πολλοὺς ὁρῶν τοὺς πολεμίους αὐτὸς ἐλάττοσι στρατιώταις μέλλων κινδυνεύειν ἐξελέξατο καὶ ἐπετήδευσε τοιούτων ἐπιτυχεῖν τόπων, ἐν οἷς ἢ παρὰ ποταμίαν ὀφρὺν ταξάμενος ἀπωθεῖται ταύτῃ τὴν κύκλωσιν 79
τῶν πολεμίων, ἢ παρώρειαν ἐκλεξάμενος αὐτοῖς τοῖς ὄρεσιν ἀποκλείσει τοὺς ὑπερκεράσαι βουλομένους, ὀλίγους ἐπιστήσας ἐπὶ τῶν ὑψηλῶν τοὺς ἀποκωλύσοντας ὑπὲρ κεφαλὴν ἀναβάντας γίγνεσθαι τοὺς πολεμίους. 4. *οὐ μὴν ἡ στρατηγικὴ φρόνησις ἐνταῦθα συλλαμβάνεται μόνον, ἀλλὰ καὶ ἡ τύχη· δεῖ γὰρ ἐπιτυχεῖν τοιούτων χωρίων· οὐ γὰρ αὐτῷ γε κατασκευάσασθαι δυνατὸν τοὺς τόπους· τῶν ὄντων μέντοι τοὺς ἀμείνους ἐκλέξασθαι καὶ τοὺς συνοίσοντας ἐννοῆσαι φρονίμου.*

5. *Πολλάκις δ' εἰώθασιν οἱ μεγάλῃ δυνάμει καὶ πολυάνδρῳ κεχρημένοι μηνοειδὲς σχῆμα ποιήσαντες τῆς* 80
παρατάξεως ἐπιέναι νομίζοντες, ὅτι προσάγονται τοὺς πολεμίους καὶ κατ' ἄνδρα βουλομένους συνάπτειν εἶτα κατὰ τὸ ἡμικύκλιον εἰς ὁδὸν κυρτουμένους ἐναπολήψονται τῷ περιέχοντι κόλπῳ, τὰς ἰδίας κεραίας ἐπισυνάπτοντες ἀλλήλαις εἰς κύκλου σχῆμα. 6. *πρὸς οὓς* 81
ἀντεπακτέον οὐχ ὧδε· τριχῇ δὲ διελὼν τὴν ἰδίαν δύναμιν τῶν μὲν δυεῖν ἑκατέρῳ μέρει κατὰ κέρας προσβαλλέτω τοῖς πολεμίοις, τῷ δ' ἑνί, τοῖς εἰς τὸν μέσον κόλπον τοῦ μηνοειδοῦς ἀντιπαρατεταγμένοις, ἐναντίος ἑστάτω καὶ μὴ προαγέτω· ἢ γὰρ μένοντες ἐπὶ τοῦ κυκλοειδοῦς σχήματος οἱ κατὰ μέσην τὴν φάλαγγα τεταγμένοι τῶν ἐχθρῶν ἄπρακτοι μηδὲν δρῶντες ἑστήξονται, ἢ προϊόντες εἰς τοὔμπροσθεν, εἰ βούλοιντο προάγειν φαλαγγηδὸν, εἰς εὐθεῖαν ἐκ τοῦ σιγματοειδοῦς ἁπλούμενοι σχήματος, ἀλλήλους ἐκθλίψουσι καὶ λύσουσι τὴν τάξιν — τῶν γὰρ ἐπὶ κέρως ἐπὶ τῆς αὐτῆς 82
μενόντων χώρας καὶ μαχομένων οὐχ οἷόν τε τὸ ἡμι-

κύκλιον εἰς εὐθεῖαν ἀνελθεῖν —· ἔνθα δὴ τεταραγμένων αὐτῶν καὶ λελυκότων τὴν τάξιν τῷ τρίτῳ τάγματι καὶ ἐφέδρῳ προσβαλλέτω τοῖς ἀπὸ τοῦ μέσου κυρτώματος προάγουσιν ἀτάκτως εἰς τοὔμπροσθεν. 7. ἐὰν δὲ διαμένωσιν ἐπὶ τοῦ κοίλου σχήματος, τοὺς ψιλοὺς καὶ ἐκηβόλους ἔνθα κατ' ἀντικρὺ ταττέτω· βάλλοντες γὰρ αὐτοὺς πολλὰ λυπήσουσιν. 8. οὐ μὴν ἀλλὰ καὶ εἰ λοξῇ πάσῃ τῇ ἰδίᾳ φάλαγγι προσβάλλει κατὰ θάτερον κέρας τῶν πολεμίων, οὐκ ἂν ἁμάρτοι πρὸς τὴν ἐκ τοῦ μηνοειδοῦς σχήματος κύκλωσιν οὕτως ἀντεπιών· ἐπὶ πολὺ γὰρ οἱ ἐξ ἐναντίας εἰς χεῖρας ἰέναι πανστρατιᾷ κωλυόμενοι κατ' ὀλίγους κερασθήσονται, τῶν ἐπὶ θατέρου κέρως μόνων μαχομένων, οἳ καὶ πρῶτοι κατ' ἀνάγκην συμμίξουσι διὰ τὴν λοξὴν ἔφοδον.

9. οὐκ ἄχρηστον δέ ποτε καὶ ἀντιπαραταξάμενον ὑπὸ πόδα τῷ στρατεύματι χωρεῖν, ὡς καταπεπληγμένον,
83 ἢ καὶ ἐπιστρέψαντα παραπλησίαν φυγῇ ποιεῖσθαι τὴν ὑποχώρησιν ἐν τάξει, εἶτ' αὖθις μεταβαλόμενον ἀντεπιέναι τοῖς ἐπιοῦσιν· ἐνίοτε γὰρ ὑπὸ χαρᾶς οἱ πολέμιοι δόξαντες φεύγειν τοὺς ἐναντίους λύσαντες τὰς τάξεις ἐπιχέονται προπηδῶντες ἄλλων ἄλλοι, ἐφ' οὓς ἀκίνδυνον ἐπιστρέψαντας μάχεσθαι καὶ αὐτῷ τῷ παρ' ἐλπίδα τοῦ στῆναι θάρσει καταπληξαμένους εἰς
84 φυγὴν αὖθις τοὺς πάλαι διώκοντας τρέπεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

[ΠΕΡΙ ΤΟΥ ΕΧΕΙΝ ΚΕΧΩΡΙΣΜΕΝΟΥΣ ΕΠΙΛΕΚΤΟΥΣ ΕΙΣ ΒΟΗΘΕΙΑΝ ΤΩΝ ΚΑΤΑΠΟΝΟΥΜΕΝΩΝ.]

1. Ἐχέτω δέ που καὶ στρατιώτας λογάδας ἰδίᾳ τεταγμένους ἀπὸ τῆς φάλαγγος ὥσπερ ἐφέδρους τοῦ πο-

λέμου πρὸς τὰ καταπονούμενα μέρη τῆς δυνάμεως, ἵν' ἐξ ἑτοίμου τοὺς ἐπικουρήσοντας ἐπάγῃ· καὶ ἄλλως οὐκ ὀλίγον ὤνησαν ἀκμῆτες ἐπελθόντες ἤδη κεκοπιακόσιν· τούς τε γὰρ τεταλαιπωρηκότας ἤδη τῶν φίλων ἀνέλαβον καὶ τοῖς πολεμίοις ἐκλελυμένοις ἀκμάζοντες ἐπέθεντο. 2. γίγνοιτο δ' ἄν τι καὶ τούτου χρησιμώτερον, ἐκ τῆς παρατάξεως ἀπωτέρω σταδίοις, ὁπόσοις ἂν ἀποχρῆν αὐτῷ δοκῇ, ἐκπέμψαι μέρος τι τῆς αὐτοῦ στρατιᾶς ἀπροόρατον τοῖς πολεμίοις, παραγγεῖλαί τέ σφισιν, ἐπειδὰν συμβάλῃ τοῖς ἐναντίοις, τότε πυθομένους παρὰ τῶν σκοπῶν ἀναστάντας ἐπάγεσθαι· καὶ μάλιστα τοῦτο ποιητέον, ὅταν προσδόκιμος οὖσα συμμαχία τοῦ καιροῦ καθυστερῇ· δόξαντες γὰρ οἱ πολέ- 85
μιοι τούτους ἐκείνους εἶναι καὶ συμμάχους ποθὲν ἥκειν τοῖς ἐναντίοις, ἴσως ἂν ἔτι καὶ προσιόντων πρὶν ἢ συμμῖξαι τοὺς ἐπιβάλλοντας εἰς φυγὴν ὁρμήσαιεν, οὐ τοσοῦτον, ὅσον ἐστίν, ἀλλὰ πλεῖον ἐπιέναι πλῆθος νομίζοντες. 3. ἄλλως τε καὶ ἐν αὐτοῖς τοῖς δεινοῖς ἐπιφάνειαι πολεμίων ἀπροοράτων ἐκπλήττουσι τὰς ψυχάς· προλαμβάνουσαι γάρ τι χεῖρον, οὗ πείσονται, φοβερώτερον ἐκδέχονται τὸ μέλλον. 4. ἐκπληκτικωτάτη δ', ἣ καὶ δραστικωτάτη μάλιστα πάντων, ἡ κατὰ νώτου τῶν πολεμίων αἰφνίδιος ἐπιβολή, εἴ πῃ δυνατὸν γένοιτο προεκπέμψαντι στρατιωτῶν σύνταγμα νύκτωρ ἐκπεριελθεῖν κελεῦσαι τοὺς πολεμίους, ἵνα κατόπιν αὐτῶν γένωνται πάντες, ὥστε ἕωθεν ἀναστάντας ἐκ τῆς ἐνέδρας μετὰ τὸ συμμῖξαι πρὸς μάχην τὰ στρατεύματα κατὰ τὴν οὐραγίαν ἐπιφαίνεσθαι τοῖς πολεμίοις· 86
οὐδὲ γὰρ φεύγουσιν ἂν ἔτι σφίσιν ἐλπὶς ἀπολείποιτο σωτηρίας, οὐδ' εἰς τοὐπίσω δυναμένοις ἐπιστραφῆναι διὰ τοὺς ἐξ ἐναντίας μαχομένους, οὐδ' εἰς τὸ πρόσω φέρεσθαι διὰ τοὺς κατόπιν ἐπικειμένους.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

[ΠΕΡΙ ΤΟΥ ΕΝ ΤΩΙ ΚΑΙΡΩΙ ΑΥΤΩΙ ΤΗΣ ΜΑΧΗΣ ΕΚΦΩΝΕΙΝ ΧΑΡΜΟΣΥΝΑ ΤΟΙΣ ΥΠΗΚΟΟΙΣ· ΕΙ ΚΑΙ ΨΕΥΔΗ, ΟΜΩΣ ΣΥΜΦΕΡΕΙ.]

1. *Καὶ δή ποτε παριππαζόμενος ἐμβοησάτω τοῖς φί-
λοις, εἰ μὲν ἐπὶ τοῦ δεξιοῦ τύχοι κέρως ὤν, "νικῶ-
σιν ἄνδρες οἱ ἐπὶ τοῦ λαιοῦ τὸ δεξιὸν κέρας
τῶν πολεμίων", εἰ δ' ἐπὶ τοῦ λαιοῦ, νικᾶν λεγέτω
τὸ φίλιον δεξιόν, ἐάν τε κατ' ἀλήθειαν ᾖ τοῦτο γιγνό-
μενον, ἐάν τε μή· καὶ γὰρ δὴ τὸ ψεῦδος ἀναγκαῖον
εἰπεῖν, ὅπου "μέγα νεῖκος ὄρωρεν"· οἷον βοῆσαι
87 πάλιν αὖ μακρὰν ἀποστατοῦντος τοῦ τῶν πολεμίων
ἡγεμόνος ἢ ἐπὶ θατέρου κέρως ὄντος ἢ τὰ μέσα συνέ-
χοντος τῆς φάλαγγος, "τέθνηκεν ὁ τῶν πολεμί-
ων στρατηγὸς" ἢ "βασιλεύς", ἢ ὅστις ἂν ποτ' ᾖ.
2. καὶ ταῦτα χρὴ βοᾶν οὕτως, ὥσθ' ἅμα καὶ τοὺς πο-
λεμίους κατακούειν· οἵ τε γὰρ φίλιοι τοὺς σφετέρους
ἀκούοντες ἐπικυδεστέρους ἀναθαρροῦσι καὶ διπλά-
σιοι γίγνονται ταῖς προθυμίαις, οἵ τε ἐχθροὶ τὰ σφῶν
αὐτῶν ἐλαττώματα πυνθανόμενοι συγκαταπίπτουσι
ταῖς διανοίαις, ὥστ' ἔστιν ὅτε καὶ εἰς φυγὴν ἅμα τῷ
δέξασθαι τοιαύτην φήμην ὁρμᾶν. 3. οὕτως πολλάκις
συνήνεγκε καὶ τοὺς φιλίους ἅμα τοῖς πολεμίοις ἐξα-
πατῆσαι, τοῖς μὲν τὰ κρείττω, τοῖς δὲ τὰ χείρω ψευ-
δόμενον.*

ΚΕΦΑΛΑΙΟΝ ΚΔ. 88

[ΠΕΡΙ ΤΟΥ ΟΙΚΕΙΟΥΣ ΠΡΟΣ ΟΙΚΕΙΟΥΣ ΚΑΙ ΓΝΩΡΙΜΟΥΣ ΠΡΟΣ ΓΝΩΡΙΜΟΥΣ ΤΑΤΤΕΙΝ.]

Φρονίμου δὲ στρατηγοῦ καὶ τὸ τάττειν ἀδελφοὺς παρ' ἀδελφοῖς, φίλους παρὰ φίλοις, ἐραστὰς παρὰ παιδικοῖς· ὅταν γὰρ ᾖ τὸ κινδυνεῦον πλησίον τὸ προσφιλέστερον, ἀνάγκη τὸν ἀγαπῶντα φιλοκινδυνότερον ὑπὲρ τοῦ πέλας ἀγωνίζεσθαι· καὶ δή τις αἰδούμενος μὴ ἀποδοῦναι χάριν ὧν εὖ πέπονθεν αἰσχύνεται καταλιπὼν τὸν εὐεργετήσαντα πρῶτος αὐτὸς ἄρξαι φυγῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ. 89

[ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙ' ΕΑΥΤΟΥ ΔΙΔΟΝΑΙ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΤΑ ΣΗΜΕΙΑ ΕΙΤΕ ΤΗΣ ΣΥΜΒΟΛΗΣ ΕΙΤΕ ΑΛΛΗΣ ΤΙΝΟΣ ΠΡΑΞΕΩΣ, ΑΛΛΑ ΔΙΑ ΤΩΝ ΗΓΕΜΟΝΩΝ.]

1. *Πᾶν δὲ παράγγελμα καὶ σύνθημα καὶ παρασύνθημα διδότω διὰ τῶν ἡγεμόνων· ἐπιόντα γὰρ κηρύττειν ἅπασιν ἰδιώτου καὶ ἀπείρου κομιδῇ καθέστηκεν, καὶ χρόνος ἐν τῷ παραγγέλλειν ἀναλίσκεται, καὶ θόρυβος ὁμοῦ πάντων ἀλλήλους ἐρωτώντων· εἶθ' ὁ μὲν προσέθηκέ τι πλεῖον ὧν ὁ στρατηγὸς εἶπεν, ὁ δ' ἀφείλετο τοῦ ῥηθέντος παρὰ τὴν ἄγνοιαν.* 2. *δεῖ δὲ τοῖς πρώτοις ἡγεμόσιν εἰπεῖν, ἐκείνους δ' ἀπαγγεῖλαι τοῖς μετ' αὐτούς, εἶτα τούτους τοῖς κατόπιν, εἶθ'* 90
ἑξῆς ἄχρι τῶν τελευταίων, τοὺς πρώτους τοῖς ὑπὸ πόδα σημαίνοντας· οὕτως γὰρ ἐν τάχει καὶ μετὰ κόσμου καὶ μεθ' ἡσυχίας εἴσονται, παραπλησίου τοῦ παραγγέλματος τοῖς φρυκτωροῦσι γιγνομένου· 3. *καὶ γὰρ*

ἐκείνων, ὅταν ὁ πρῶτος ἄρῃ τὸν φρυκτόν, ὁ δεύτερος τῷ μετ' αὐτὸν ἐπύρσευσεν, εἶθ' ὁ τρίτος τῷ τετάρτῳ, καὶ τέταρτος πέμπτῳ, καὶ πέμπτος ἕκτῳ καὶ καθ' ἕνα πάντες ἀλλήλοις, ὥστ' ἐν ὀξεῖ διὰ μήκους σταδίων τὸ σημανθὲν ὑπὸ τοῦ πρώτου πάντας ἐπιγνῶναι.

ΚΕΦΑΛΑΙΟΝ Κ.

[ΠΕΡΙ ΤΟΥ ΜΗ ΜΟΝΟΝ ΣΥΝΘΗΜΑΤΑ, ΑΛΛΑ ΚΑΙ ΠΑΡΑΣΥΝΘΗΜΑΤΑ ΔΙΔΟΝΑΙ.]

1. Τὸ δὲ παρασύνθημα μὴ διὰ φωνῆς λεγέσθω,
ἀλλὰ διὰ σώματος γιγνέσθω, ἢ νεύματι χειρὸς ἢ
ὅπλων συγκρούσει ἢ ἐγκλίσει δορατίου ἢ παραφορᾷ
ξίφους, ἵνα μὴ μόνον γενομένης ποτὲ ταραχῆς πι-
91 στεύσωσι τῷ λεγομένῳ συνθήματι — τοῦτο γὰρ δύναν-
ται καὶ πολέμιοι καταλαβέσθαι πολλάκις ἀκούοντες —,
ἀλλὰ καὶ τῷ παρασυνθήματι. 2. χρησιμώτατον δέ που
τοῦτο καὶ πρὸς τὰς ἑτερογλώσσους συμμαχίας τῶν
ἐθνῶν· οὔτε γὰρ λέγειν οὔτε ξυνιέναι δυνάμενοι φω-
νῆς ἀλλοτρίας αὐτῷ τῷ παρασυνθήματι κρίνουσι τό
τε φίλιον καὶ τὸ πολέμιον. διδόσθω δὲ ταῦτα, κἂν
μὴ μάχεσθαι μέλλωσιν, ἐν ταῖς παρεμβολαῖς πρὸς
τὰς ἀδήλους ταραχάς.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ.

[ΠΕΡΙ ΤΟΥ ΜΗ ΛΥΕΙΝ ΤΑΣ ΤΑΞΕΙΣ ΜΗΤΕ ΕΝ ΤΑΙΣ ΔΙΑΤΑΞΕΣΙ ΜΗΤΕ ΕΝ ΤΑΙΣ ΥΠΟΧΩΡΗΣΕΣΙΝ.]

Παραγγελλέτω δὲ καὶ τὰς ὑποχωρήσεις ἐν τάξει ποιεῖσθαι καὶ τὰς διώξεις, ἵν' ἧττόν τε σφαλλόμενοι

βλάπτωνται μὴ κατ' ἄνδρα σποράδες ἐν ταῖς φυγαῖς ὑποπίπτοντες τοῖς πολεμίοις, πλείονά τε κατορθοῦντες βλάπτωσι κατὰ τάξεις καὶ λόχους ἰσχυρότεροι τοῖς φεύγουσιν ἐπιφαινόμενοι, πρὸς δὲ καὶ ἀσφαλέστεροι· πολλάκις γὰρ ἀτάκτως ἐπιφερομένους οἱ πολέμιοι θεασάμενοι συμφρονήσαντες αὖθις ἐκ μεταβολῆς αὐτῶν καταστάντες εἰς τάξιν παλίντροπον ἐποιήσαντο τὴν δίωξιν· ὅλως δὲ μηδέν σφισιν ἄμεινον εἶναι λεγέτω τοῦ μένειν ἐν τάξει μηδ' ἐπισφαλέστερον τοῦ λύειν.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ. 92

[ΠΕΡΙ ΤΟΥ ΔΙ' ΕΠΙΜΕΛΕΙΑΣ ΕΧΕΙΝ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΛΑΜΠΡΟΝ ΕΚΤΑΤΤΕΙΝ ΤΟ ΣΤΡΑΤΕΥΜΑ.]

Μεμελημένον δ' ἔστω τῷ στρατηγῷ λαμπρὸν ἐκτάττειν τὸ στράτευμα τοῖς ὅπλοις, ῥᾳδία δ' ἡ φροντὶς αὕτη παρακαλέσαντι τὰ ξίφη θήγειν καὶ τὰς κόρυθας καὶ τοὺς θώρακας σμήχειν· δεινότεροι γὰρ οἱ ἐπιόντες φαίνονται λόχοι τοῖς τῶν ὅπλων αἰθύγμασιν, καὶ πολλὰ τὰ δι' ὄψεως δείματα προεμπίπτοντα ταῖς ψυχαῖς ταράττει τὸ ἀντιπόλεμον.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ. 93

[ΠΕΡΙ ΤΟΥ ΕΝ ΤΩΙ ΚΑΙΡΩΙ ΤΗΣ ΣΥΜΒΟΛΗΣ ΑΛΑΛΑΖΕΙΝ.]

1. Ἐπαγέτω δὲ καὶ τὸ στράτευμα σὺν ἀλαλαγμῷ, ποτὲ δὲ καὶ σὺν δρόμῳ· καὶ γὰρ ὄψις καὶ βοὴ καὶ πάταγος ὅπλων ἐξίστησι τὰς τῶν ἐναντίων διανοίας. 94
2. ἀνατεινόντων δὲ κατὰ τὰς ἐφόδους ἀθρόοι, πρὶν εἰς

χεῖρας ἐλθεῖν, ὑπὲρ τὰς κεφαλὰς μετέωρα τὰ ξίφη πρὸς τὸν ἥλιον θαμὰ παρεγκλίνοντες· ἐσμηγμέναι γὰρ αἰχμαὶ καὶ λαμπρὰ ξίφη καὶ ἐπάλληλα παραμαρμαίροντα πρὸς ἀνταύγειαν ἡλίου δεινὴν ἀστραπὴν πολέμου προεκπέμπει· καὶ ταυτὶ μὲν εἰ γίγνοιτο καὶ παρὰ τοῖς πολεμίοις, ἀντικαταπλήττειν ἀναγκαῖον, εἰ δὲ μή, προεκπλήττειν.

3. ἐνίοτε δέ ποτε χρήσιμον ἐν καιρῷ μὴ φθάνειν ἐκτάττοντα τὴν δύναμιν, ἀλλὰ τέως ἐντὸς τοῦ χάρακος κατέχειν, ἄχρις ἂν κατοπτεύσῃ τὴν τῶν πολεμίων παράταξιν, ὁποία τίς ἐστι καὶ ὡς τέτακται καὶ ἐφ' οἵων ἵσταται χωρίων.

ΚΕΦΑΛΑΙΟΝ Λ.

[ΟΤΙ ΔΕΙ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΠΡΟ ΤΟΥ ΠΟΛΕΜΟΥ ΣΥΛΛΟΓΙΖΕΣΘΑΙ, ΤΙΣ ΟΦΕΙΛΕΙ ΥΠΑΝΤΗΣΑΙ ΚΑΤΑ ΤΗΝ ΣΥΜΒΟΛΗΝ ΤΩΙ ΔΕΙΝΙ ΚΑΙ ΤΙΣ ΤΩΙ ΑΛΛΩΙ ΚΑΙ ΟΥΤΩΣ ΚΑΘΕΞΗΣ ΕΞΕΤΑΖΕΙΝ ΤΟΥΣ ΙΔΙΟΥΣ ΑΡΧΟΝΤΑΣ ΠΡΟΣ ΤΟΥΣ ΤΩΝ ΕΝΑΝΤΙΩΝ.]

Εἶτά που τότε συλλογισάμενον, τίνας τίσιν ἀντιτάττειν χρὴ καὶ τίνα τρόπον, ὥσπερ ἀγαθὸν ἰατρὸν προκατανοήσαντα νόσον σώματος ἀντεπάγειν τὰ ἀλεξήματα καὶ τὴν δύναμιν ἐκτάττειν, ὡς ἂν ἄριστ' αὐτῷ δόξαι συμφέρειν· ἀναγκάζονται γὰρ οἱ στρατηγοὶ πολλάκις καὶ πρὸς τοὺς ὁπλισμοὺς τῶν ἐναντίων καὶ πρὸς τὰ ἔθνη καὶ πρὸς τὰ ἤθη τὰ ἴδια στρατεύματα κοσμεῖν καὶ παρατάττειν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ.

[ΠΕΡΙ ΤΟΥ, ΕΑΝ ΟΙ ΕΝΑΝΤΙΟΙ ΠΡΟΤΕΡΕΥΩΣΙ ΤΩΙ ΙΠΠΙΚΩΙ, ΕΚΛΕΓΕΣΘΑΙ ΣΤΕΝΟΥΣ ΤΟΠΟΥΣ.]

1. *Ἱπποκρατούντων δὲ τῶν πολεμίων, ἐὰν ᾖ δυνα-
τόν, ἐπιλεγέσθω χωρία τραχέα καὶ στενὰ καὶ παρ' ὄ- 97
ρη, ἃ ἥκιστ' ἱππάσιμα, ἢ φυγομαχείτω κατὰ δύναμιν,
ἕως ἂν ἐπιτηδείους εὕρῃ τόπους καὶ τοῖς οἰκείοις
ἁρμόζοντας τάγμασιν.* 2. *ἀπολελείφθων δέ τινες καὶ
ἐπὶ τοῦ χάρακος οἱ παραφυλάττοντες τὴν παρεμβολὴν
στρατιῶται καὶ πρὸς τὴν τῆς ἀποσκευῆς φυλακήν,
ἵνα μὴ κατανοήσας ὁ στρατηγὸς τῶν πολεμίων ἔρημον
ὄντα πέμψῃ τοὺς ἁρπασομένους τὰ ἐν αὐτῷ καὶ κατα-
ληψομένους τὸ χωρίον.*

ΚΕΦΑΛΑΙΟΝ ΛΒ.

[ΠΕΡΙ ΤΟΥ ΜΗΔΕΝ ΠΑΡΑΚΕΚΙΝΔΥΝΕΥΜΕΝΟΝ ΠΟΙΕΙΝ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ.]

1. *Τοὺς μὲν γὰρ ἢ τὰ ἴδια καθαιροῦντας ἐρύματα
στρατηγοὺς ἢ ποταμοὺς διαβαίνοντας ἢ κρημνοὺς καὶ
βάραθρα κατόπιν ποιουμένους τῶν φιλίων, ἵν' ἢ μέ-
νοντες νικῶσιν ἢ βουληθέντες φεύγειν ἀπόλωνται, οὔ-
τε πάμπαν ἐπαινεῖν οὔτε ψέγειν ἔχω· πᾶν γὰρ τὸ παρα-
κεκινδυνευμένον μᾶλλον τόλμης ἐστὶν ἢ γνώμης καὶ τῇ
τύχῃ κεκοινώνηκε πλεῖον ἢ τῇ κρίσει.* 2. *ὅπου γὰρ ἢ
νικῶντα δεῖ κρατεῖν ἢ ἡττηθέντα τοῖς ὅλοις ἐσφάλθαι,
πῶς ἐνταῦθ' ἄν τις ἢ φρονήσει τὸ νικᾶν ἢ προαιρέ-
σει τὸ ἡττᾶσθαι μαρτυρήσειεν;* 3. *ἐγὼ δὲ στρατιώταις
μὲν ἐκ στρατεύματος φιλοτόλμως κινδυνεύειν ἐπι-
τρεπτέον εἶναι νομίζω — καὶ γὰρ δρῶντές τι μεῖζον* 98
ὤνησαν καὶ παθόντες οὐθὲν τοσοῦτον ἐλύπησαν —,

στρατεύματι δὲ παντὶ τὴν ἄδηλον ἐκκυβεύειν τύχην οὐ δοκιμάζω. 4. μάλιστα δ' ἁμαρτάνειν οὗτοί μοι δοκοῦσιν, οἵ τινες ἐν μὲν τῷ νικᾶν ὀλίγα λυπήσειν μέλλοντες τοὺς πολεμίους, ἐν δὲ τῷ ἡττᾶσθαι μεγάλα βλάψειν τοὺς φίλους ἀποχρῶνται τοιούτοις στρατηγήμασιν.

5. εἰ δὲ πρόδηλος μὲν σφισιν ὁ ὄλεθρος εἴη, κἂν μὴ παραβόλοις ἐγχειρήσωσι στρατηγίαις, πρόδηλος δὲ καὶ ἡ τῶν πολεμίων ἡττηθέντων ἀπώλεια, τότ' οὐκ ἄν μοι δόξειεν ἁμαρτάνειν ἀποφράττων τὰς φυγὰς τῶν φιλίων· ἄμεινον γὰρ ἐν τῷ τολμᾶν ἐπ' ἀδήλῳ τῷ τάχα μηδὲ πείσεσθαί τι δεινὸν ἅμα καὶ δρᾶσαι ζητεῖν, ἢ ἐπὶ προδήλῳ τῷ μηδὲν δρῶντας ἀπολέσθαι πάντας ἀτόλμως ἡσυχάζειν. 6. ὑποδεικνύτω μέντοι μὴ μόνον ἐν τοῖς τοιούτοις χωρίοις, ὅπου κατ' ἀλήθειαν οὐκ ἔστι σωτηρία τοῖς φεύγουσιν, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ καὶ πάσῃ μάχῃ διδασκέτω διὰ πλειόνων, ὅτι τοῖς μὲν φεύγουσι πρόδηλος ὁ ὄλεθρος, ὡς ἂν ἤδη μετ' ἐξουσίας ἐπικειμένων τῶν πολεμίων μηδενὸς ἔτι δυναμένου διακωλύειν τοὺς διώκοντας πᾶν ὃ βούλονται διαθεῖναι τοὺς φεύγοντας, τοῖς δὲ μένουσιν ἄδηλος ὁ θάνατος ἀμυνομένοις. 7. οἵ τινες γὰρ πεπεισμένοι τυγχάνουσιν ἐν ταῖς παρατάξεσιν, ὡς φεύγοντες μὲν αἰσχρῶς ἀπολοῦνται, μένοντες δ' εὐκλεῶς τεθνήξονται, καὶ χεῖρον' ἀεὶ προσδοκῶσιν ἐκ τοῦ καταλιπεῖν τὴν τάξιν ἢ ἐκ τοῦ φυλάττειν, ἄριστοι κατὰ τοὺς κινδύνους ἄνδρες ἐξετάζονται. 8. διόπερ ἀγαθὸν μέν, εἰ πάντας οὕτως ἔχειν γνώμης πεῖσαι στρατηγός, εἰ δὲ μή, ἀλλὰ μέντοι γ' ὡς πλείστους· ἢ γὰρ παντελεῖς περιεποιήσατο νίκας ἢ μικροῖς ἐλαττώμασι περιέπεσεν.

9. τῶν δ' ἐκ προλήψεως καὶ πρὶν ἢ συμβαλεῖν ἐπινοουμένων στρατηγοῖς αἱ παρ' αὐτὸν τὸν τῆς μάχης

αιρὸν ἐπίνοιαι νίκης καὶ ἀντιστρατηγήσεις ἔστιν ὅτε
αἱ πλείους καὶ θαυμασιώτεραι γίγνονται τοῖς τὴν
τρατηγικὴν ἐμπειρίαν ἠσκηκόσιν, ἃς οὐκ ἔστιν ὑποση-
ῆναι λόγῳ ἢ προβουλεῦσαι. 10. ὥσπερ γὰρ οἱ κυβερνῆ-
αι πρὸς μὲν τὸν πλοῦν ἐκ λιμένων ἀνάγονται πάντ' 99
ξηρτυμένοι τὰ κατὰ τὴν ναῦν, ἐπειδὰν δ' ἐμπέσῃ
ειμών, οὐχ ὃ βούλονται ποιοῦσιν, ἀλλ' ὃ ἀναγκά-
ονται, πολλὰ καὶ πρὸς τὸν ἀπὸ τῆς τύχης ἐπείγοντα
ίνδυνον εὐτόλμως παραβαλλόμενοι, καὶ οὐ τὴν ἀπὸ
ῆς μελέτης εἰσφερόμενοι μνήμην, ἀλλὰ τὴν ἐκ τῶν
αιρῶν βοήθειαν· οὕτως οἱ στρατηγοὶ τὴν μὲν δύνα-
ιν ἐκτάξουσιν, ὅπως σφίσι νομίζουσι συνοίσειν,
πειδὰν δ' ὁ τοῦ πολέμου περιστῇ χειμὼν πολλὰ
ραύων καὶ παραλλάττων καὶ ποικίλας ἐπάγων πε-
ιστάσεις, ἡ τῶν ἀποβαινόντων ἐν ὀφθαλμοῖς ὄψις
πιζητεῖ τὰς ἐκ τῶν καιρῶν ἐπινοίας, ἃς ἡ ἀνάγκη 100
ῆς τύχης μᾶλλον ἢ ἡ μνήμη τῆς ἐμπειρίας ὑποβάλλει.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ.

[ΠΕΡΙ ΤΟΥ ΜΗ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΑΥΤΟΧΕΙΡΙ ΠΟΛΕΜΕΙΝ.]

1. *Μαχέσθω* δ' ὁ στρατηγὸς αὐτὸς προμηθέστερον ἢ τολμηρότερον, ἢ καὶ τὸ παράπαν ἀπεχέσθω τοῦ τοῖς πολεμίοις εἰς χεῖρας ἰέναι· καὶ γὰρ εἰ κατὰ τοὺς ἀγῶνας ἀνυπέρβλητον ἀνδρίαν εἰσενέγκαιτο, τοσοῦτον οὐδὲν ὠφελῆσαι δύναται στράτευμα μαχόμενος, ὅσον ἀποθανὼν βλάψαι· στρατηγοῦ γὰρ ἡ γνώμη πλέον ἰσχύει τῆς ῥώμης· 2. σώματος μὲν γὰρ ἀνδρίᾳ δρᾶσαί τι μέγα καὶ στρατιώτης δύναται, γνώμης δὲ προμηθείᾳ

βουλεῦσαί τι κρεῖττον οὐκ ἄλλος. 2. ὅνπερ δ' ἂν τρόπον, εἰ κυβερνήτης ἀφειμένος τῶν οἰάκων, ἃ δεῖ τοὺς ναύτας ποιεῖν, αὐτὸς πράττοι, κινδυνεύειν ἂν συμβαίη τὸ σκάφος, τοῦτον, εἰ στρατηγὸς ἀποστὰς τοῦ
101 γνώμῃ τι βουλεύειν ἐπὶ τὰς τῶν στρατιωτῶν καταβαίνοι χρείας, ἡ τῶν ὅλων ἀκυβέρνητος ἀμέλεια τὴν ἀναγκαιοτέραν ἄπρακτον ποιήσει βοήθειαν. 3. ὅμοιον δὴ κρίνω τὸν στρατηγὸν ἐμπαραβαλέσθαι τῇ ἑαυτοῦ ψυχῇ τοῦτο τῷ τῆς συμπάσης, εἰ πείσεταί τι. δυνάμεως ἀκηδεῖν· εἰ γάρ, ἐν ᾧ τοῦ σύμπαντος ἡ σωτηρία στρατεύματός ἐστιν, οὗτος οὐδὲν εἰ τεθνήξεται πεφρόντικεν, τὸ πᾶν αἱρεῖται συνδιαφθεῖραι, καὶ ὀρθῶς δ' ἄν τις αἰτιάσαιτο τοῦτον ὡς ἄπρακτον στρατηγὸν μᾶλλον ἢ ἀνδρεῖον. 4. ὁ μὲν γὰρ πολλὰ γνώμῃ στρατηγήσας ἀρκεσθήσεται σεμνυνόμενος ἐπὶ ταῖς ἀπὸ ψυχῆς εὐπραγίαις, ὅστις δ' οὕτως ἀπειρόκαλός ἐστιν, ὥστ' ἄν, εἰ μὴ διὰ μάχης εἰς χεῖρας ἔλθοι τοῖς πολεμίοις, οὐδὲν αὐτὸν ἄξιον εἰργάσθαι νομίζειν, οὐκ ἀνδρεῖος, ἀλλὰ * καὶ τολμηρός ἐστιν. 5. ὅθεν ἐπι-
102 φαίνειν μὲν δεῖ τῷ πλήθει τὸ φιλοκίνδυνον, ἵνα τὴν προθυμίαν ἐκκαλῆται τῶν στρατιωτῶν, ἀγωνίζεσθαι δ' ἀσφαλέστερον, καὶ τοῦ θανάτου μὲν καταφρονεῖν, εἴ τι πάσχοι τὸ στράτευμα, μηδ' αὐτὸν αἱρούμενον ζῆν, σωζομένου δὲ καὶ τὴν ἰδίαν φυλάττειν ψυχήν· ἤδη γὰρ ἐπικυδέστερα τὰ τῶν φιλίων ὄντα ποτὲ στρατηγὸς ἀποθανὼν ἐμείωσεν· οἱ μὲν γὰρ πταίοντες ἐπανεθάρρησαν τὸ ἀντίπαλον ἀστρατήγητον ἰδόντες, οἱ δ' εὐτυχοῦντες ἐδυσθύμησαν τὸν ἴδιον ἡγεμόνα ζητοῦντες. 6. στρατηγοῦ δ' ἔστι τὸ παριππάζεσθαι ταῖς τάξεσιν, ἐπιφαίνεσθαι τοῖς κινδυνεύουσιν, ἐπαινεῖν τοὺς ἀνδριζομένους, ἀπειλεῖν τοῖς ἀποδειλιῶσιν, παρακαλεῖν τοὺς μέλλοντας, ἀναπληροῦν τὸ ἐλλεῖπον,

ἀντιμετάγειν εἰ δέοι λόχον, ἐπαμύνειν τοῖς κάμνουσιν, προορᾶσθαι τὸν καιρόν, τὴν ὥραν, τὸ μέλλον.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ. 103

[ΠΕΡΙ ΤΟΥ ΕΥΕΡΓΕΤΕΙΝ ΚΑΤΑ ΤΟ ΜΕΤΡΟΝ ΕΝΑ ΕΚΑΣΤΟΝ ΤΩΝ ΑΝΔΡΑΓΑΘΟΥΝΤΩΝ.]

1. *Ἀνακαλεσάμενος δ' ἐκ τῆς μάχης πρῶτον μὲν ἀποδιδότω τοῖς θεοῖς θυσίας καὶ πομπάς, αἷς ἐκ τοῦ καιροῦ χρῆσθαι πάρεστιν, τὰ νομιζόμενα χαριστήρια μετὰ τὴν τοῦ πολέμου παντελῆ νίκην ἐπαγγελλόμενος ἀποδώσειν· ἔπειτα τοὺς μὲν ἀρίστους ἐν τοῖς κινδύνοις ἐξετασθέντας τιμάτω δωρεαῖς καὶ τιμαῖς, αἷς νόμος, τοὺς δὲ κακοὺς φανέντας κολαζέτω.* 2. *τιμαὶ δ'* 104
ἔστωσαν μὲν καὶ αἱ κατὰ τὰ πάτρια καὶ κατὰ τὰ παρ' ἑκάστοις νόμιμα· στρατηγικαὶ δ' αὗται πανοπλίαι, κόσμοι, λαφύρων δόσεις, πεντηκονταρχίαι, ἑκατονταρχίαι, λοχαγίαι, τάξεων ἀφηγήσεις, καὶ αἱ ἄλλαι αἱ κατὰ νόμους παρ' ἑκάστοις ἡγεμονίαι· τῶν μὲν ἰδιωτῶν τοῖς ἀνδραγαθήσασιν αἱ ἥττους ἐξουσίαι, τῶν δ' ἡγεμόνων τοῖς ἀριστεύσασιν αἱ μείζους ἡγεμονίαι· αὗται γὰρ ἀμοιβαί τε μεγαλόψυχοι τοῖς ἤδη τὸ γενναῖον εἰργασμένοις προτροπαί τε ἀναγκαῖαι τοῖς τῶν αὐτῶν ἐπιθυμοῦσιν. 3. *ὅπου δὲ τιμὴ μὲν ἀποδίδο-* 105
ται τοῖς ἀγαθοῖς, τιμωρία δ' οὐ παραπέμπεται τῶν κακῶν, ἐνταῦθα καλὰς ἐλπίδας ἔχειν ἀνάγκη τὸ στρατόπεδον· οἱ μὲν γὰρ ἐφοβήθησαν ἁμαρτάνειν, οἱ δ' ἐφιλοτιμήθησαν ἀνδραγαθεῖν. 4. *ἔνθα μέντοι χρὴ καὶ νικῶντα μὴ κατ' ἄνδρα μόνον ἀμοιβὰς ἐκτίνειν, ἀλλὰ καὶ τῷ σύμπαντι στρατεύματι τῶν κινδύνων ἐπικαρπίαν ἀποδιδόναι· τὰ γὰρ τῶν πολεμίων ἐπιτρεπέτω*

τοῖς στρατιώταις διαρπάζειν, εἰ χάρακος ἢ ἀποσκευῆς ἢ φρουρίου κυριεύσειεν, ὅτε δὲ καὶ πόλεως, εἰ μή τι μέλλοι περὶ αὐτῆς χρηστότερον βουλεύειν. 5. οὕτως γὰρ ἂν καὶ μάλιστα μήπω τέλος εἰληφότος τοῦ πολέμου συνοίσοι πρὸς τὰ μέλλοντα προθυμότερον ἐπὶ τὰς μάχας αὐτῶν ἐξιόντων, εἰ μὴ νομίζομεν τοὺς μὲν θηρευτικοὺς κύνας δελεάζειν ἀναγκαῖον εἶναι τοῖς κυνηγοῖς αἵματι θηρίων καὶ τοῖς τοῦ συλληφθέντος ζώου σπλάγχνοις, τοῖς δὲ νικῶσι στρατιώταις τὰ τῶν ἡττημένων εἰς προτροπὴν οὐ μάλα δή τι συμφέρον ἀποδιδόναι.

106

ΚΕΦΑΛΑΙΟΝ ΛΕ.

α΄.

[ΟΥ ΧΡΗ ΠΑΝΤΟΤΕ ΕΠΙΤΡΕΠΕΙΝ ΤΑΣ ΑΡΠΑΓΑΣ· ΚΑΙ ΟΤΙ ΤΑ ΣΩΜΑΤΑ ΟΥ ΧΡΗ ΑΡΠΑΖΕΙΝ, ΑΛΛΑ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΠΙΠΡΑΣΚΕΙΝ.]

1. *Τὰς δ' ἁρπαγὰς οὔτ' ἐπὶ πάσης μάχης ἐπιτρεπτέον, οὐδ' ἀεὶ πάντων, ἀλλ' ὧν μέν, ὧν δ' οὔ, τῶν δὲ σωμάτων ἥκιστα· ταῦτα δὲ πιπράσκειν τὸν στρατηγόν. 2. εἰ δὲ χρημάτων δέοι καὶ δαπάνης κοινῆς καὶ μεγάλης, καὶ ὅσα ἄγεται καὶ φέρεται πάνθ' ὡς αὐτὸν ἀναπέμπεσθαι κηρυττέτω. 3. γνοίη δ' ἂν αὐτὸς ἄριστα πρὸς τοὺς καιρούς, εἰ τὰ πάντα δέοι λαμβάνειν, εἴτ' ἐκ μέρους, εἴτε μηθὲν ὧν ἔτυχεν· οὐ γε μὴν ἔστι πο-*
107 *λέμου καὶ τοῖς κοινοῖς εἶναι χρημάτων δαψίλειαν καὶ τοῖς στρατιώταις ἀνεπικώλυτον ὠφέλειαν· ἤδη δὲ καὶ παρὰ τοὺς τῶν ἡττημένων πλούτους καὶ παρὰ τὰς τῶν τόπων εὐδαιμονίας αἱ ὠφέλειαί σφισι δαψιλέστεραι γίγνονται.*

β΄.

[ΠΕΡΙ ΑΙΧΜΑΛΩΤΩΝ.]

4. Τοὺς δ' αἰχμαλώτους, ἐὰν ὁ πόλεμος ἔτι συνε-
στὼς ᾖ, μὴ κτεινέτω, μάλιστα μέν, κἂν δοκῇ αὐ- 108
τοῖς, πρὸς οὓς ἐστιν ὁ πόλεμος, τοὺς συμμάχους ἀναι-
ρεῖν, ἥκιστα δὲ καὶ τότε τοὺς ἐνδοξοτάτους καὶ λαμ-
προὺς παρὰ τοῖς πολεμίοις, ἐνθυμούμενος τὰ ἄδηλα
τῆς τύχης καὶ τὸ παλίντροπον τοῦ δαιμονίου φιλοῦν-
τος ὡς τὰ πολλὰ νεμεσᾶν, ἵν' εἴ τινων αὐτοὶ ἢ σω-
μάτων, ὧν πολὺς πόθος, ἢ φρουρίου κρατήσαιεν,
ἱκανὰ ἀντικαταλλάγματα δοὺς ἔχῃ κομίσασθαι τὰ
τῶν φιλίων, ἢ τότε γε μὴ βουλομένων ἐνδίκως εἰς
ἴσον ἀμύνηται. 5. μετὰ δὲ τὰ κατορθώματα καὶ τοὺς
κινδύνους ἐπιτρεπέσθων αὐτοῖς εὐωχίαι τε καὶ κλι- 109
σίαι καὶ πόνων ἀνέσεις, ἵν' εἰδότες, οἷον τέλος ἐστὶ
τοῦ μαχομένους νικᾶν, ὑπομένωσι τὰ δυσχερῆ πάντα
πρὸ τοῦ νικᾶν.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ.

α΄.

[ΠΕΡΙ ΤΟΥ ΘΑΠΤΕΙΝ ΤΟΥΣ ΕΝ ΠΟΛΕΜΩΙ ΑΝΑΙΡΟΥΜΕΝΟΥΣ.]

1. Προνοείσθω δὲ τῆς τῶν νεκρῶν κηδείας, μήτε καιρὸν μήθ' ὥραν μήτε τόπον μήτε φόβον προφασιζόμενος, ἄν τε τύχῃ νικῶν, ἄν τε ἡττώμενος· ὁσία μὲν γὰρ καὶ ἡ πρὸς τοὺς ἀποιχομένους εὐσέβεια, ἀναγκαία δὲ καὶ ἡ πρὸς τοὺς ζῶντας ἀπόδειξις. 2. ἕκαστος γὰρ τῶν στρατιωτῶν ὡς αὐτὸς ἀμελούμενος, εἰ πεσὼν ἔτυχεν, παρ' ὀφθαλμοῖς ὁρῶν τὴν τύχην καὶ

ὑπὲρ τοῦ μέλλοντος καταμαντευόμενος, ὡς οὐδ' αὐτός, εἰ τεθναίη, ταφησόμενος ἐπαχθῶς φέρει τὴν ἀτύμβευτον ὕβριν.

β'.

[ΠΕΡΙ ΤΟΥ ΕΠΑΝΟΡΘΟΥΣΘΑΙ ΤΗΝ ΕΛΑΤΤΩΣΙΝ.]

3. *Εἰ δὲ ἡττῷτο*, παραμυθησάμενος τοὺς ἀνασωθέντας ἐκ τῆς μάχης ἐφεδρευέτω, καιρὸν ἔνθα που καὶ μᾶλλον οἰόμενος ἐπανορθώσασθαι τὴν ἐλάττωσιν. 4. εἰώθασι γὰρ ὡς τὰ πολλὰ μετ' εὐπραγίας οἱ στρατιῶται ῥαθυμότερον ἐκλύεσθαι περὶ τὰς φυλακάς· ἡ γὰρ τῶν πέλας καταφρόνησις ἀμελείας σφίσι γίγνεται αἰτία τῶν οἰκείων, οὕτως τε πολλάκις τὰ εὐτυχήματα πλεῖον ἔβλαψε τῶν δυστυχημάτων. 5. ὁ μὲν γὰρ πταίσας ἐδιδάχθη καὶ φυλάξασθαι τὸ μέλλον, ἐξ ὧν ἔπαθεν, ὁ δὲ τοῦ δυστυχεῖν ἄπειρος οὐδ', ὡς δεῖ φυλάξαι τὰς εὐπραγίας, ἔμαθεν. 6. εἶτ' αὖ νικῶν τὴν αὐτὴν ἐχέτω προμήθειαν ὑπὲρ τοῦ μὴ παθεῖν ἀμελῶν, ἣν ἂν εἰς τὸ δρᾶσαί τι τοὺς ἐχθροὺς ῥαθυμοῦντας εἰσενέγκαιτο. φόβος γὰρ εὔκαιρος ἀσφάλεια προμηθής, ὡς καὶ καταφρόνησις ἄκαιρος εὐεπιβούλευτος τόλμα.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ.

[ΠΕΡΙ ΤΟΥ ΕΝ ΚΑΙΡΩΙ ΕΙΡΗΝΗΣ ΜΗ ΑΦΥΛΑΚΤΩΣ ΕΙΝΑΙ.]

1. *Ἀνοχὰς δὲ* ποιησάμενος μηδ' ἐπιτιθέσθω μηδ' αὐτὸς ἀφύλακτος ἔστω· ἀλλὰ τὸ μὲν ἥσυχον ἐχέτω πρὸς τοὺς πολεμίους, ὡς ἐν εἰρήνῃ, τὸ δ' ἀσφαλὲς εἰς τὸ μὴ παθεῖν, ὡς ἐν πολέμῳ. 2. δεῖ γὰρ οὐκ ἀσύν-

θηκον ἐν σπονδαῖς εἶναι οὔτ' αὐτόν τι φθάνειν ἀσεβὲς δρῶντα, ἀλλ' ὕποπτον, ὡς φυλάττεσθαι τὸ ἀπὸ τῶν πολεμίων ὕπουλον· ἄδηλοι γὰρ αἱ τῶν 111
σπεισαμένων γνῶμαι. 3. καὶ παρὰ σοὶ μὲν ἔστω τὸ βέβαιον τοῦ μὴ ἀδικῆσαι διὰ τὸ εὐσεβές, παρὰ δὲ τοῖς πολεμίοις ὑπονοείσθω τὸ μὴ πιστὸν διὰ τὸ ἀπεχθές· ἀσφαλὴς γὰρ οὗτος καὶ προμηθής, ὃς οὐδὲ βουληθεῖσι τοῖς πολεμίοις ἐπιθέσθαι τὸν τοῦ δύνασθαι παρασπονδῆσαι καιρὸν ἀπολείπει. 4. οἵτινες δ' ἐπὶ τοῖς θεοῖς ποιοῦνται τὴν ὑπὲρ ὧν ἂν πάθωσιν ἐκδικίαν, εὐσεβὲς μὲν φρονοῦσιν, οὐ μὴν ἀσφαλῆ*· 5. κομιδῇ γὰρ ἀνοήτων ἐστὶν ἐλπίδι τοὺς παρασπονδήσαντας ἐκτίσειν δίκας ἀπρονοήτως ἔχειν τοὺς περὶ σφῶν κινδύνους, ὥσπερ αὐτοὺς σῴζεσθαι μέλλοντας ἅμα τῷ τοὺς ἐχθροὺς ἀπόλλυσθαι, ἐξὸν μετὰ τῆς τῶν ἰδίων πραγμάτων ἀσφαλείας πεῖραν λαμβάνειν τῆς τῶν πολεμίων ἀσεβείας· οὕτως γὰρ αὐτοί τε διὰ τὸ προμηθὲς οὐκ ἂν πταίσαιεν ἐπιβουλευθέντες, ἀσεβήσουσί τε οἱ πολέμιοι τῷ ἐπιχειρῆσαι καὶ δοκεῖν πεποιηκέναι, εἰ ἐδυνήθησαν.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ.

α΄.

[ΠΕΡΙ ΤΟΥ ΤΑΣ ΠΡΟΣΑΓΟΜΕΝΑΣ ΠΟΛΕΙΣ ΕΝ ΑΔΕΙΑΙ ΕΧΕΙΝ ΚΑΙ ΦΙΛΑΝΘΡΩΠΙΑΙ.]

1. Ταῖς δὲ προσχωρούσαις πόλεσιν, εἴ τινες ἐπιτρέποιεν αὑτὰς ἀρξάμεναι, φιλανθρώπως καὶ χρη- 112
στῶς προσφερέσθω· προσαγάγοιτο γὰρ ἂν οὕτως καὶ τὰς ἄλλας. ἡ γὰρ ἐλπὶς τοῦ τῶν αὐτῶν τεύξεσθαι δελεάζουσα προσάγεται τοὺς πολλοὺς αὐτοὺς ἑκόντας

ἐγχειρίζειν. 2. ὅστις δὲ πικρῶς εὐθὺς καὶ πολεμικῶς
προσφέρεται κύριος γενόμενος πόλεως ἢ διαρπάζων
ἢ κτείνων ἢ κατασκάπτων, ἀλλοτριωτέρας διατίθησι
τὰς ἄλλας πόλεις, ὥστε καὶ τὸν πόλεμον αὐτῷ ἐπίπο-
νον καὶ τὴν νίκην δύσελκιν κατασκευάζειν· 3. εἰδότες
γάρ, ὡς ἀπαραίτητόν ἐστιν ἡ τῶν ὑποχειρίων πρὸς
τοῦ κρατήσαντος τιμωρία, πᾶν ὁτιοῦν ὑπομένουσι
καὶ ποιεῖν καὶ πάσχειν ὑπὲρ τοῦ μὴ παραδοῦναι τὰς
πόλεις. 4. οὐθὲν γὰρ οὕτως κατασκευάζει γενναίους,
ὡς φόβος ὧν μέλλουσι πείσεσθαι κακῶν εἴξαντες· ἡ
γὰρ προσδοκία τῶν δεινῶν ἐκ τοῦ καθυφεῖσθαι τὰ
σφέτερα δεινὴν ἐντίθησι φιλοτιμίαν ἐν τοῖς κινδύ-
νοις. 5. χαλεπαὶ δ' αἱ πρὸς τοὺς ἀπεγνωσμένους πεῖραι
μάχης· οὐδὲν γὰρ χρηστότερον ἐλπίζοντες ἐκ τοῦ πα-
ραχωρεῖν ὧν πείσονται κινδυνεύοντες αἱροῦνται μετὰ
τοῦ πολλὰ δρᾶν καὶ πάσχειν. 6. ὅθεν αἱ πολιορκίαι
τοῖς ὧδε στρατηγοῖς ἄφροσι καὶ τεθηριωμένοις τα-
113 λαίπωροι γίγνονται καὶ πολυχρόνιοι, ποτὲ δὲ καὶ
ἀτελεῖς, οὐχ ἥκιστα δὲ σφαλεραί τε καὶ ἐπικίνδυνοι.

β'.

[ΠΩΣ ΧΡΗΣΤΕΟΝ ΠΡΟΔΟΤΑΙΣ.]

7. Τοῖς δὲ προδόταις τάς τε πίστεις καὶ τὰς ἐπαγγε-
λίας φυλαττέτω, μὴ διὰ τοὺς γεγονότας, ἀλλὰ διὰ
τοὺς ἐσομένους, ἵν' εἰδότες, ὡς ὀφείλεταί σφισι χά-
ρις, ἑλόμενοι τὰ τῶν πολεμίων ἐπὶ τὰς αὐτὰς εὐερ-
γεσίας τρέπωνται· λαμβάνει γάρ τι μᾶλλον ὁ προ-
δότῃ διδοὺς ἢ χαρίζεται. 8. διὸ χρὴ προθύμως ἐκτίνειν
τὰς ἀμοιβάς· οὐ γὰρ δικαστὴς τῆς ἀδικηθείσης πό-
λεώς ἐστιν, ἀλλὰ στρατηγὸς τῆς ἑαυτοῦ πατρίδος.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ.

α'.

[ΠΕΡΙ ΤΟΥ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΕΝ ΓΝΩΣΕΙ ΕΙΝΑΙ ΤΗΣ ΤΩΝ ΑΣΤΡΩΝ ΚΙΝΗΣΕΩΣ.]

1. Πρὸς δὲ τὰς ἐπιθέσεις καὶ τὰς ἐκ προδοσίας νυκτε-
ρινὰς καταλήψεις τῶν πόλεων οὐκ ἄπειρον εἶναι δεῖ 114
τῆς ὑπεργείου κατὰ τὴν νύκτα φορᾶς τῶν ἀπλανῶν,
ἐπεὶ πολλάκις ἀπράκτους ἕξει τὰς ἐπιβολάς. 2. ἔστιν
γὰρ ὅτε συντέτακταί τις τῶν προδοτῶν τρίτην ἢ τε-
τάρτην ἢ ὁπόστην ἄν τις εὔκαιρον ὥραν νομίζῃ τῆς νυ-
κτός, ἀνοίξειν τὰς πύλας ἤ τινας κατασφάξειν τῶν ἐπὶ
τῆς πόλεως ἀντιπραττόντων ἢ φρουρᾷ τῶν ἔνδον πο-
λεμίων ἐπιθήσεσθαι· κἄπειτα δυεῖν θάτερον συμ- 115
βέβηκεν, ἤτοι θᾶττον ἢ ἔδει προσπελάσαντα τὸν τῶν
πολεμίων στρατὸν κατάφωρον γενέσθαι, πρὶν ἢ τοὺς
προδότας ἑτοίμους εἶναι, καὶ οὕτως ἀποκωλυθῆναι
τῆς πράξεως, ἢ ὑστερήσαντα τοῖς μὲν προδόταις αἴ-
τιον γενέσθαι θανάτου φωραθεῖσιν, αὐτὸν δὲ μηδὲν
τῶν προκειμένων ἀνύσαι. 3. διόπερ χρὴ καὶ τὴν ὁδὸν
τεκμαιρόμενον, ὅθεν ἐξοδεῦσαι δεῖ, καὶ τῶν σταδίων
καὶ τῆς ὥρας στοχαζόμενον, ὅσον εἰς τὴν πορείαν
ἀναλώσει, καὶ ἀπὸ τῶν ἄστρων ὁρῶντα, πόσον τὸ
παρῳχηκὸς ἤδη καὶ πόσον τὸ ἀπολειπόμενον μέρος,
οὕτως ἀκριβῶς συλλογισάμενον, ἵνα μήτε φθάσῃ μή-
τε βραδύνῃ, πρὸς αὐτὴν ἥκειν τὴν ὥραν τοῦ συντε- 116
ταγμένου καιροῦ καὶ ἔτι προσιόντα ἀκούεσθαι καὶ
ἐντὸς εἶναι τῶν τειχῶν.

β'.

[ΠΩΣ ΗΜΕΡΑΣ ΑΙΡΕΙΝ ΧΡΗ ΠΟΛΙΝ.]

4. *Εἰ δ' ἡμέρας ἀναστήσας ἄγοι στράτευμα πόλεις ἐκ προδοσίας ληψόμενος κατὰ τὴν συγκειμένην ὥραν, τοὺς κατὰ τὴν ὁδὸν ὑποπίπτοντας ἅπαντας προαποστέλλων ἱππεῖς συλλαμβανέτω, μή τις τῶν ἐπὶ τῆς χώρας φθάσας ἀποδραμὼν μηνύσῃ τὴν ἔφοδον τῶν πολεμίων, ἀλλ' αἰφνιδίως ἀφυλάκτοις ἡ ἐπιφάνεια γένηται τοῦ στρατεύματος. 5. ἐπελθόντα δ' ἐξαίφνης ἀπροσδοκήτοις χρή, κἂν μὴ κατὰ προδοσίαν μέλλῃ λαμβάνειν, ἀλλ' ἐκ προρρήσεως ἀγωνίζεσθαι διὰ μάχης, μὴ ἀναβάλλεσθαι, ἀλλ' ὡς ὅτι μάλιστα φθάνειν προσβάλλοντα εἴτε φρουρίῳ εἴτε χάρακι εἴτε πόλει, μάλιστα δ' ὅτ' ἂν ὀλίγον εἶναι δοκῇ τὸ φίλιον στράτευμα καὶ τῶν ἐχθρῶν ἐλαττούμενον· 6. αἱ γὰρ ἀπρόληπτοι τῶν πολεμίων ἐπιφάνειαι διὰ τὸ παράλογον ἐκπλήττουσι τοὺς ἐναντίους, κἂν ὦσι κρείττους, ἕως, ἄν γε συνθεωρήσωσιν αὐτοὺς καὶ βουλεύσασθαι καὶ ἀναθαρρῆσαι καιρὸν λάβωσι, κατὰ μικρὸν ἀναγκάζονται καταφρονεῖν· οὕτως ἐνίοτε τὰ πρῶτα καὶ ἀρχόμενα φοβερώτερα τῶν χρονιζομένων εἶναι δοκεῖ. 7. διὸ πολλάκις ἤδη τινὲς τῷ παραδόξῳ τῆς ἐπιφανείας καταπληξάμενοι τοὺς ἐναντίους ἢ ταχὺ καὶ ἄκοντας ὑπέταξαν ἢ ποιεῖν ἑκόντας ἠνάγκασαν τὰ προσταττόμενα.*

ΚΕΦΑΛΑΙΟΝ Μ.

[ΠΕΡΙ ΠΟΛΙΟΡΚΙΑΣ.]

1. *Πολιορκία δὲ στρατιωτῶν ἀνδρίαν ἐπιζητεῖ καὶ στρατηγικὴν ἐπίνοιαν καὶ μηχανημάτων παρασκευήν·*

ἀσφαλὴς μέντοι καὶ μὴ ἧττον ἀπροόρατος τῶν πολι- 117
ορκουμένων ἔστω· τὸ γὰρ ἐπιβουλευόμενον, ὅτ' ἂν οἷ κακοῦ τυγχάνει γιγνώσκῃ, τηρεῖ μᾶλλον τὸ ἐπιβουλεῦον· 2. ὁ μὲν γὰρ ἔξω κινδύνου δοκῶν εἶναι πράττει τι τῶν προκειμένων, ὁπότ' ἂν αὐτῷ δόξῃ, ὁ δ' ἐν αὐτῷ τῷ κινδυνεύειν ὑπάρχων ζητεῖ φθάσας δρᾶσαί τι, ὁπότ' ἂν καιρὸν λάβῃ· διὸ χρὴ τὸν πολιορκοῦντα καὶ τάφρῳ καὶ χάρακι καὶ φυλακαῖς τὸ ἴδιον ἀσφαλίζεσθαι στρατόπεδον. 3. καὶ γὰρ οἱ μὲν πολιορκοῦντες, ὅ τι ἂν μέλλωσι πράττειν, ὁρῶνται τοῖς ἀπὸ τοῦ τείχους, οἱ δὲ πολιορκούμενοι πρόβλημα τὸ τεῖχος ἔχοντες ἀόρατοι πολλάκις ἐκχυθέντες διὰ πυλῶν ἢ μηχανὰς 118
ἐνέπρησαν ἢ στρατιώτας ἐφόνευσαν ἤ, ὅ τι κατὰ χεῖράς σφισιν εἴη, τοῦτ' ἐποίησαν.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ.

[ΠΕΡΙ ΤΟΥ ΕΧΕΙΝ ΕΝΕΔΡΑΣ ΤΟΝ ΠΟΛΙΟΡΚΟΥΝΤΑ ΠΡΟ ΤΩΝ ΠΥΛΩΝ.]

1. Ἥκιστα δ' ἂν τοῦτο τολμήσαιεν, εἰ παρὰ πύλαις καὶ πυλίσι μικραῖς λόχους ὁ πολιορκῶν προκαθίσῃ στρατηγὸς τοὺς τὰς αἰφνιδίους ἐκδρομὰς τῶν πολεμίων ἀποκωλύσοντας, ἐπεὶ κἂν πολλάκις λάθοιεν ἐπιθέμενοι τοῖς ἐκτός. 2. χρήσιμοι δὲ τὰ πολλὰ νύκτωρ τοῖς πολιορκοῦσιν αἱ προσβολαί· τοῖς γὰρ ἔνδον οὐ δυναμένοις ὁρᾶν τὰ γιγνόμενα διὰ τὸ σκότος δεινότερα δοκεῖ τὰ πραττόμενα, καὶ τὴν πρόληψιν ἀναγκάζονται χαλεπωτέραν ἔχειν τῶν κατ' ἀλήθειαν ἐνεργουμένων, ὅθεν ταραχαί τε καὶ θόρυβοι γίγνονται οὐδενὸς δυναμένου σωφρονεῖν ἐν τοῖς τοιούτοις, ἀλλὰ καὶ πολλὰ τῶν οὐ δρωμένων ὡς γίγνεται λε-

γόντων, οὔθ' ὅπῃ προσβαλοῦσιν εἰδέναι δυναμένων, οὔθ' ὁπόσοι, οὔθ' ὁποίοις μέρεσι, διαδρομαὶ δὲ δεῦρο κἀκεῖσε καὶ βοαὶ καὶ θάμβη Πανικὸν ἔχοντα τάραχον.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ.

α'.

[ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΦΟΒΟΣ ΨΕΥΔΗΣ ΜΑΝΤΙΣ ΕΣΤΙΝ.]

119 1. *Ὁ γὰρ φόβος ψευδὴς μάντις, ἃ δέδοικε, ταῦτ' οἰήσεται καὶ γίγνεσθαι, καὶ πᾶν τὸ ἐν νυκτί, κἂν μικρὸν ᾖ, φοβερώτερον τοῖς πολιορκουμένοις· οὐδεὶς γάρ, ὃ βλέπει, λέγει διὰ τὸ σκότος, ἀλλὰ πᾶς, ὃ ἀκούει· καὶ ἑνός που φανέντος ἢ δυεῖν ἐπὶ τείχους πολεμίων τὸ πᾶν ἤδη στράτευμα τῶν τειχῶν ἐπιβεβηκέναι δόξαντες ἀπετράπησαν, ἐρήμους καταλιπόντες ἐπάλξεις καὶ πύλας.*

β'.

[ΟΤΙ ΑΥΤΟΝ ΧΡΗ ΠΑΡΑΔΕΙΓΜΑ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΓΙΓΝΕΣΘΑΙ ΤΟΙΣ ΣΤΡΑΤΙΩΤΑΙΣ.]

2. *Εἰ δέ τι διὰ χειρὸς ὁ στρατηγὸς ἐξεργάσασθαι σπεύδοι, μὴ ὀκνείτω πρῶτος αὐτὸς ὀφθῆναι ποιῶν· οὐ γὰρ οὕτως ταῖς ἀπὸ τῶν κρειττόνων ἀπειλαῖς ἀναγκαζόμενοί τι ποιοῦσιν, ὡς ταῖς ἀπὸ τῶν σεμνοτέρων διατροπαῖς· ἰδὼν γάρ τις τὸν ἡγεμόνα πρῶτον*
120 *ἐγχειροῦντα καὶ ὅτι δεῖ σπεύδειν ἔμαθε καὶ μὴ ποιεῖν ᾐδέσθη καὶ ἀπειθεῖν ἐφοβήθη· καὶ οὐκ ἔθ' ὡς δοῦλον ἐπιταττόμενον διετέθη τὸ πλῆθος, ἀλλ' ὡς ἐξ ἴσου παρακαλούμενον διετράπη.*

γ΄.

[ΠΕΡΙ ΠΟΛΙΟΡΚΗΤΗΡΙΩΝ ΜΗΧΑΝΗΜΑΤΩΝ.]

3. *Πολλῶν δὲ καὶ ποικίλων ἐκ τῶν μηχανῶν
πολιορκητηρίων χρήσεται κατὰ δύναμιν ὁ στρατηγός.
οὐ γὰρ ἐπ' ἐμοὶ τὸ λέγειν, ὅτι δεῖ κριοὺς ἔχειν ἢ ἑλε-
πόλεις ἢ σαμβύκας ἢ πύργους ὑποτρόχους ἢ χελώνας
χωστρίδας ἢ καταπέλτας· τῆς γὰρ τῶν πολεμούντων
τύχης καὶ πλούτου καὶ δυνάμεως ἴδια ταῦτα καὶ τῆς
τῶν ἑπομένων ἀρχιτεκτόνων ἐπινοίας εἰς τὰς ὀργανικὰς
κατασκευάς. 4. στρατηγοῦ δ' ἰδίας ἀγχινοίας ἔργον τοι-
όνδ' ἂν εἴη, εἰ βούλοιτο προσβάλλειν μηχανάς· καθ'
ἓν μὲν ἀποχρήσθω μέρος τοῖς ἔργοις αὐτοῖς — οὐδὲ γὰρ 121
ἄλλως ἄν τις εὐπορήσειεν ἐν κύκλῳ παντὶ τῷ τείχει
περιστῆσαι μηχανάς, εἰ μὴ πάνυ μικρὰ πόλις εἴη —, εἰς
πολλὰ δὲ τάγματα διελὼν τὸ στράτευμα κατὰ τἄλλα
τοῦ τείχους μέρη κελευέτω τὰς κλίμακας προσφέρειν·
οὕτως γὰρ εἰς ἀμηχανίαν οἱ πολιορκούμενοι πολλὴν
ἐμπίπτουσιν· 5. ἄν τε γὰρ ἀμελήσαντες τῶν ἄλλων
μερῶν τοῦ τείχους ἐπὶ τὰς προσβολὰς τῶν μηχανῶν
ἀμύνωσιν, ἅπαντες οἱ κατὰ τὰς κλίμακας μηδενὸς
ἀποκωλύοντος ῥᾳδίως ἐπιβαίνουσι τῶν τειχῶν, ἄν
τε διελόντες σφᾶς αὐτοὺς ἐπιβοηθήσωσι κατὰ μέρη,
σφοδροτέρας ἐνεργείας γιγνομένης κατὰ τὰς ἐμβολὰς
τῶν ὀργάνων οἱ καταλειφθέντες οὐδὲ μάχεσθαι τού-
τοις * ἀδυνατήσουσι τὸ ἐπιφερόμενον κακὸν ἀποκρού-
εσθαι. 6. διόπερ καθάπερ ἀγαθὸν παλαιστὴν προδει-
κνύειν μὲν καὶ σκιάζειν εἰς πολλὰ μέρη δεῖ περι-
σπῶντα καὶ ἐπισφάλλοντα δεῦρο κἀκεῖσε πρὸς πολλὰ
τοὺς ἀντιπάλους, ἑνὸς δὲ ζητεῖν ἐγκρατῶς λαβόμενον
ἀνατρέψαι τὸ πᾶν σῶμα τῆς πόλεως.*

δ'.

122 [ΠΩΣ ΧΡΗ ΔΙΑΤΕΛΕΙΝ ΕΠΕΙΓΟΝΤΑ ΤΑ ΤΗΣ ΠΟΛΙΟΡΚΙΑΣ.]

7. *Εἰ δ' ἐν τάχει σπεύδοι τις ἐξελεῖν φρούριον ἢ πόλιν ἢ χάρακα καὶ αὐτῷ κάμνοι ἡ δύναμις μηδὲ μίαν ὥραν ἀποστῆναι βουλομένῳ τῶν ἐρυμάτων, εἰς τάγματα διελὼν τὸ στράτευμα, ὅσ' ἂν ἱκανὰ εἶναί οἱ δοκῇ κατὰ τὴν ἀναλογίαν τοῦ πλήθους καὶ κατὰ τὸ μέγεθος τῆς πολιορκουμένης πόλεως, νυκτὸς ἀρξάμενος εὐθὺς τῷ μὲν πρώτῳ προσβαλλέτω τάγματι τῷ δευτέρῳ κελεύσας ἐφεδρεύειν καὶ ἑτοίμῳ εἶναι, τῷ δὲ τρίτῳ καὶ τετάρτῳ, καὶ εἰ τύχοι πέμπτον ὄν, παραγγελλέτω τρέπεσθαι κατὰ κοῖτον·* 8. *εἶτα, ὅταν τῷ πρώτῳ καταπειράσῃ τινὰ χρόνον, τούτους μὲν ἀνακαλεσάμενος ἀποπεμπέτω κοιμησομένους, σημαινέτω δὲ τῷ δευτέρῳ προϊέναι τοῦ χάρακος, ὁ δὲ τρίτος ταγματάρχης ἀναστήσας ἐν τούτῳ καθοπλιζέτω τὸ ὑφ' ἑαυτὸν τάγμα·* 9. *καὶ μετὰ τοὺς δευτέρους τὴν ἴσην ὥραν τοῖς πρώτοις ἀγωνίζεσθαι ἄξει τὸ τρίτον, κοιμάσθω δὲ τὸ δεύτερον τάγμα, μετὰ τοῦτο δ' αὖ τὸ τέταρτον, εἶθ' ἑξῆς τὸ πέμπτον, ἐν μέρει τῶν στρα-*
123 *τιωτῶν ἀναπαυομένων.* 10. *ὁμοίως δ' ἐπισυναπτούσης τῆς ἡμέρας οἱ πρῶτοι τῇ νυκτὶ προσβαλόντες ἕωθεν πάλιν πρῶτοι προσαγόντων· εἶθ' ὥρας, εἰ μὲν ἓξ εἴη τάγματα, δύο κινδυνεύσαντες, εἰ δὲ πέντε, δυσὶν ἔτι μικρὸν ἐπιθέντες, εἰ δὲ τέτταρα, τρεῖς, εἰ δὲ τρία, τέτταρας, ἀπιόντες ἀριστοποιείσθων, ἑξῆς δ' οἱ μετ' αὐτοὺς καὶ πάλιν οἱ μετὰ τούτους ἄχρι τῶν τελευταίων, ὥστε κύκλον τινὰ περιάγεσθαι.* 11. *τούτου γὰρ συμβαίνοντος ἀμφότερ' ἂν γίγνοιτο· καὶ αἱ προσβολαὶ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν*

ἀδιάλειπτοι προσαχθήσονται, καὶ οἱ προσβάλλοντες ἀκμῆτες καὶ νεαροὶ τὰς ἀναπαύσεις ἐν μέρει ποιούμενοι μαχοῦνται. 12. τοὺς μέντοι πολιορκουμένους, μηδ' ἂν πάνυ πολλοὶ τυγχάνωσιν, οἰέσθω τις τὸ αὐτὸ στρατήγημα ἀντεισοίσεσθαι· τὸ γὰρ κινδυνεῦον, οὐδ' ἂν ἐπιτρέπῃ τις, ὕπνῳ χαρίζεσθαι βούλεται· φόβῳ γὰρ τοῦ δεινοῦ, παρ' ὃν ἀναπαύεται χρόνον, ὡς ἁλωσομένης τῆς πόλεως ἐγρήγορεν· καὶ τὸ πολιορκούμενον, κἂν ὀλίγον ᾖ τὸ πολιορκοῦν αὐτό, πασσυδὶ προσαμύνει, καὶ πᾶν ὅσον ἐντειχίδιόν ἐστι κεκίνηται, ὅτι καὶ τὸ μέλλον φοβερώτερον, ὡς, εἰ παρὰ μικρὸν ἀμελήσαιεν, ἀπολούμενοι πάντες. 13. ὅθεν δὴ πᾶσ' ἀνάγκη τρυχομένους αὐτοὺς καὶ μηδὲ μίαν ὥραν ἀνάπαυλαν ἴσχοντας, ἀλλὰ καὶ ἀγρυπνίαις καὶ πόνοις κάμνοντας, εἶτα καὶ πρὸς τὰ μέλλοντα τεταλαιπωρηκότας ἀσθενέστερον τοῖς σφετέροις προσαμύνειν ἢ τοὺς δεησομένους καὶ παραδώσοντας τὴν πόλιν ἐκπέμπειν.

ε΄. 124

[ΠΩΣ ΧΡΗ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΑΝΑΠΑΥΕΣΘΑΙ.]

14. Αὐτὸς οὖν ὁ στρατηγός, ἴσως φήσει τις, ἐξ ἀδάμαντος ἢ σιδήρου κεχάλκευται μόνος ἄγρυπνος ἑστὼς ἐπὶ τοῖς αὐτοῖς ἔργοις; οὐ δῆτα· ἀλλὰ παρ' ὃν ἀναπαύεται χρόνον — οὗτος δ' ὀλίγος ἔστω καὶ σύντομος —, ἕνα τῶν ἐν δόξῃ πιστοτάτων καὶ ἀνδρειοτάτων ἡγεμόνα τῶν καὶ τὰ δεύτερα τῆς στρατηγικῆς ἀρχῆς ἐχόντων ἐπιστησάτω τοῖς ἔργοις.

ϛʹ.

[ΠΩΣ ΤΑ ΔΟΚΟΥΝΤΑ ΤΗΣ ΠΟΛΕΩΣ ΜΕΡΗ ΑΝΑΛΩΤΑ ΕΙΝΑΙ ΠΟΛΛΑΚΙΣ ΕΥΑΛΩΤΑ ΓΙΓΝΕΤΑΙ.]

15. *Ἐνίοτε δὲ τὰ δοκοῦντα μέρη πόλεως εἶναι κρημνώδη καὶ πέτραις ἀποτόμοις ὠχυρωμένα τῶν διὰ χειρὸς ἀνεστηκότων τειχῶν ἔδωκε τοῖς πολιορκοῦσιν ἀφορμὰς μείζους εἰς τὸ νικᾶν· εἴωθε γάρ πως ὡς τὰ πολλὰ τὰ τοιαῦτα τῶν πόλεων, ὅσα φύσει πιστεύεται*
125 *τὸ ἐρυμνόν, ἀφυλακτεῖσθαι καὶ ἥκιστα φροντίδι παραγρυπνεῖσθαι στρατιωτῶν.* 16. *ἔνθα στρατηγὸς ἀγαθὸς ἐνόησεν ὃ δεῖ ποιῆσαι, καί τινας τῶν εὐτολμοτάτων παρακαλέσας ἐπαγγελίαις καὶ τιμαῖς ὀλίγους, οἷς ῥᾷον ἀναβαίνειν εἴτε δι᾽ αὐτῆς τῆς δυσχωρίας, εἴτε διὰ κλιμάκων, ἐκράτησε τῆς πράξεως· ὑποκαταβάντες γὰρ ἐντὸς τείχους ἢ πυλίδα διέκοψαν ἢ πύλην ἀνέῳξαν.*

ζʹ.

[ΠΕΡΙ ΤΗΣ ΑΠΟ ΤΩΝ ΣΑΛΠΙΓΓΩΝ ΩΦΕΛΕΙΑΣ.]

17. *Μέγα δ᾽ ἂν ὀνήσειε καί τι τοιόνδε συνεπινοηθέν, εἰ καὶ σαλπιγκτὰς οἱ φθάσαντες ἐπιβῆναι τοῦ τείχους ἀνιμήσαιεν· ἀκουσθεῖσα γὰρ πολεμία σάλπιγξ ἀπὸ τειχῶν ἐν νυκτὶ πολλὴν ἔκπληξιν ἐπιφέρει τοῖς πολιορκουμένοις ὡς ἤδη κατὰ κράτος ἑαλωκόσιν, ὥστε τὰς πύλας καὶ τὰς ἐπάλξεις ἀπολιπόντας φεύγειν·*
126 *ὅθεν δήπου συμβαίνει γίγνεσθαι τοῖς ἔξω στρατιώταις ῥᾳδίαν τήν τε τῶν πυλῶν ἐκκοπὴν καὶ τὴν ἐπὶ τὰ τείχη διὰ τῶν κλιμάκων ἀνάβασιν, οὐδενὸς ἔτι τῶν πολεμίων ἀπείργοντος· οὕτως που δυνατὸν ἑνὶ καὶ ἀνόπλῳ σαλπιγκτῇ πόλιν ἁλῶναι.*

η′.

[ΤΙ ΧΡΗ ΠΟΙΕΙΝ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΜΕΤΑ ΤΟ ΕΛΕΙΝ ΤΗΝ ΠΟΛΙΝ.]

18. *Εἰ δὲ δή τινα ἀκμάζουσαν ἔτι πλήθει τε καὶ δυνάμει πόλιν ἐρρωμένως ἑλὼν εἰς φόβον ἢ ὑπόνοιαν ἥκοι, μή ποτε κατὰ τάγματα καὶ συστροφὰς ὑπαντιάζοντες ἀμύνωνται τοὺς ἐπεισπίπτοντας ἢ τὰ μετέωρα καταλαμβανόμενοι καὶ τὰ ἄκρα τῆς πόλεως ἔνθεν ἀντεπίοιεν ἐπὶ πολὺ κακώσοντες τοὺς πολεμίους, κηρυττέτω τοὺς ἀνόπλους μὴ κτεῖναι.* 19. *ἕως γὰρ ἕκαστος ἐλπίζει ληφθεὶς τεθνήξεσθαι, βούλεται φθάνειν δράσας καὶ πάσχων ἀλλά τι καὶ δρᾶν, πολλοί τ' ἤδη πολεμίους εἰσκεχυμένους ἐξήλασαν ἢ καὶ μὴ δυνηθέντες εἰς ἀκρόπολιν ἐρυμνὴν κατειλήθησαν, ἔνθεν αὖθις εἰς πόνον καὶ ταλαιπωρίαν κατέστησαν τοὺς πολεμίους, ὥστε δευτέραν ἐπαναιρεῖσθαι πολιορκίαν* ἢ καὶ πολυχρονιωτέραν, ἔστιν δ' ὅτε καὶ ἐπαλγεστέραν μετὰ πολλῆς πείρας κακῶν.* 20. *εἰ δὲ διαβοηθείη τόδε* 127 *τὸ κήρυγμα, τάχα μὲν καὶ πάντες, ὡς δὲ πρόδηλον εἰπεῖν, οἵ γε πλείους τὰ ὅπλα ῥίψουσιν· τῶν τε γὰρ βουλομένων δι' ὀργῆς ἕκαστος εἰς ἄμυναν ἰέναι δεδιὼς τὸν πέλας, μή ποτε οὐχ ἑαυτῷ ταὐτὰ φρονῇ, ῥίπτειν ἀναγκασθήσεται, ὥστε, κἂν πάντες βούλωνται τὰ ὅπλα φυλάττειν, διὰ τὴν πρὸς ἀλλήλους ὑπόνοιαν αὐτὸν ἕκαστον δεδιότα, μὴ μόνος ὡπλισμένος ληφθῇ, σπεύδειν ἀποτιθέμενον — οἱ γὰρ ὀξεῖς καιροὶ τὴν κοινὴν γνώμην φανερὰν οὐκ ἐῶσι γίγνεσθαι —, οἵ τε ἕτοιμοι πρὸς τὸ σῴζεσθαι, μέχρι μὲν οὐδὲν εἰς ἐλπίδα κεκήρυκται σωτηρίας, εἰ καὶ μὴ γνώμῃ, ἀλλ' ἀνάγκῃ τὸ ἐπιὸν ἀμύνονται κακόν, ἐπειδὰν δὲ μικρὰν ἐλπίδα τοῦ σῴζεσθαι λάβωσιν, ἱκέται τὸ λοιπὸν ἀντὶ πολεμίων*

ὑπαντῶσιν. 21. οὕτως τε ὁ μὲν κηρύξας καὶ τοὺς τὰ ὅπλα φυλάττειν βουλομένους ῥίπτειν αὐτὰ ἀναγκάζει· στρατιωτῶν δὲ θάνατος ἐν μὲν μάχαις εὐπαραμύθητος — δοκεῖ γὰρ τοῦ νικᾶν ἕνεκεν γεγονέναι —,
128 ἐν δὲ νίκαις καὶ καταλήψεσι πόλεων τοῖς νικῶσιν οἴκτιστος, ἀφροσύνης τε μᾶλλον ἢ ἀνδρίας μαρτύριον. 22. εἰ μέντοι μνησικάκως ἔχοι τοῖς ἡττημένοις στρατηγός, μὴ παρὰ τούτοις οἰέσθω τι φέρεσθαι βλάβος, ὅτι τοὺς ἐντυγχάνοντας μὴ εὐθὺς κτενοῦσιν· σχολῇ γὰρ βουλεύσεται μετὰ τοῦ ἀκινδύνου τὴν ἄμυναν ἀνανταγώνιστον ἔχων, τί χρὴ διαθεῖναι τοὺς ἑαλωκότας.

129 θ'.

[ΤΟΝ ΛΙΜΩΙ ΜΕΛΛΟΝΤΑ ΠΟΛΙΝ ΑΙΡΗΣΕΙΝ ΤΟΥΣ ΚΑΤΑ ΤΗΝ ΧΩΡΑΝ ΑΣΘΕΝΕΙΣ ΕΙΣ ΑΥΤΗΝ ΧΡΗ ΠΕΜΠΕΙΝ.]

23. *Εἰ* δὲ τὴν κατὰ κράτος ἀπεγνωκὼς ἐκπόρθησιν εἰς χρόνιον καταβαίνοι πολιορκίαν οἰόμενος λιμῷ πιέσας τὴν πόλιν αἱρήσειν, ἅ τιν' ἂν ἐπὶ τῆς χώρας ἔτι καταλάβῃ σώματα, τούτων τὰ μὲν ἐρρωμένα καὶ ἀκμάζοντα ταῖς ἡλικίαις εἰς ἄμυναν πολέμου λαβών, ὅ τι περ ἂν αὐτῷ δόξῃ, διαθέσθω, γύναια δὲ καὶ παιδάρια καὶ ἀσθενεῖς ἀνθρώπους καὶ γεγηρακότας ἑκὼν εἰς τὴν πόλιν ἀποπεμπέτω· ταῦτα γὰρ ἄχρηστα μὲν εἰς τὰς πράξεις ἔσται, τὰς δὲ παρεσκευασμένας τοῖς ἔνδον τροφὰς θᾶττον συναναλώσει, καὶ πολεμίων μᾶλλον ἢ φιλίων ἐφέξει τρόπον.

ι΄.

[ΟΠΟΙΟΝ ΕΙΝΑΙ ΧΡΗ ΤΟΝ ΣΤΡΑΤΗΓΟΝ ΜΕΤΑ ΤΗΝ ΝΙΚΗΝ.]

24. *Εἰ δέ τῳ πάντα κατὰ δαίμονα καὶ νοῦν χωρήσειεν, ὥστε τοῖς ὅλοις ἐπιθεῖναι τοῦ πολέμου πράγμασι τέλος, ἔστω μὴ βαρὺς ἐπὶ ταῖς εὐπραγίαις, ἀλλ' εὔφορτος, μηδὲ τύφον ἀπηνῆ περιφέρων, ἀλλ' εὐμένειαν προσφιλῆ ἔχων· ὁ μὲν γὰρ φθόνον ἐγέννησεν, αὕτη δὲ ζῆλον ἐπεσπάσατο.* 25. *φθόνος μὲν οὖν ἐστιν ὀδύνη τῶν πρὸς τοὺς πέλας ἀγαθῶν, ζῆλος δὲ μίμησις τῶν παρ' ἄλλοις καλῶν, τοσοῦτόν τε διενήνοχεν ἀλλήλων, ὥστε τὸ μὲν φθονεῖν εὐχὴν εἶναι τοῦ καὶ παρ' ἄλλῳ τι καλὸν μὴ εἶναι, τὸ δὲ ζηλοῦν ἐπιθυμίαν τῆς τῶν ἴσων κτήσεως.* 26. *ἀνὴρ οὖν ἀγαθὸς οὐ μόνον πατρίδος τε καὶ στρατιωτικοῦ πλήθους ἄριστος ἡγεμών, ἀλλὰ καὶ τῆς περὶ αὐτὸν εἰς ἀεὶ εὐδοξίας ἀκινδύνου οὐκ ἀνόητος στρατηγός.*